ΒΙΒΛΙΟΘ
ΕΛΛΗ
ΠΑΤΕΡ

ΕΥΣΕ
ΚΑΙΣΑΡ
(ΜΕΡΟ

28

Printed in Greece
Athens 1961

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΙΚΟΣΤΟΣ ΟΓΔΟΟΣ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

(ΜΕΡΟΣ Ι΄)

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1961

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

Σελ.

ΚΕΙΜΕΝΑ

Εὐαγγελικὴ Ἀπόδειξις Θ' 13

» » Ι' 49

Ἀποσπάσματα ἐκ τοῦ XV βιβλίου 93

Ἀποσπάσματα ἐκ τοῦ Ὑπομνήματος εἰς τὴν Ὀκτάτευχον τοῦ Προκοπίου 98

Πρὸς τὰ ὑπὸ Φιλοστράτου εἰς Ἀπολλώνιον τὸν Τυανέα διὰ τὴν Ἱεροκλεῖ παραληφθεῖσαν αὐτοῦ τε καὶ τοῦ Χριστοῦ σύγκρισιν. 109

Περὶ τῆς Θεοφανείας 135

Περὶ τῆς καθόλου στοιχειώδους εἰσαγωγῆς 159

Ἐκλογαὶ Προφητικαὶ (Ἀποσπάσματα) 164

Περὶ τοῦ Βίου τῶν Προφητῶν (Ἀποσπάσματα) 303

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 309

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ ΟΝΟΜΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ 321

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΥΣΕΒΙΟΥ
ΕΥΑΓΓΕΛΙΚΗ ΑΠΟΔΕΙΞΙΣ

Τάδε ἔνεστιν ἐν τῷ ἐνάτῳ συγγράμματι τῆς περὶ τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς ἀποδείξεως.

Περὶ τῶν κατὰ τὴν ἐνανθρ<ώ>πησιν αὐτοῦ πραχθησομένων ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν·

α'. Ἀπὸ τῶν Ἀριθμῶν
β'. Ἀπὸ τοῦ Ἡσαΐου.
γ'. Ἀπὸ τῶν Ἀριθμῶν.
δ'. Ἀπὸ τοῦ Ὡσηέ.
ε'. Ἀπὸ τοῦ Ἡσαΐου.
ϛ'. Ἀπὸ τοῦ αὐτοῦ.
ζ'. Ἀπὸ Ψαλμοῦ ϟ'.
η'. Ἀπὸ τοῦ Ἡσαΐου.
θ'. Ἀπὸ Ψαλμοῦ ξζ'.
ι'. Ἀπὸ τοῦ Ἡσαΐου.
ια'. Ἀπὸ τοῦ Δευτερονομίου.
ιβ'. Ἀπὸ τοῦ Ἰώβ.
ιγ'. Ἀπὸ τοῦ Ἡσαΐου.
ιδ'. Ἀπὸ τοῦ αὐτοῦ.
ιε'. Ἀπὸ τοῦ αὐτοῦ.
ιϛ'. Ἀπὸ τοῦ αὐτοῦ.
ιζ'. Ἀπὸ τοῦ Ζαχαρίου.
ιη'. Ἀπὸ Ψαλμοῦ ριζ'.

Λόγος θ'.

I. Τί δὴ λείπεται ἐπὶ τούτοις ἀλλ' ἢ ταῖς ὑποσχέσεσιν ἀκολούθως διελθεῖν τὰ οἰκονομηθέντα ἐπὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ δὴ τοῦ θεοῦ λόγου; περὶ οὗ τὰ προπεπονημένα ἐν ὀκτὼ τοῖς πρὸ τούτου συγγράμμασιν διεληλύθαμεν, τοτὲ μὲν τὴν κατ' αὐτὸν θεολογίαν διερευνώμενοι,τοτὲ δὲ τὴν οὐρανόθεν εἰς ἡμᾶς κάθοδον καὶ τόν τε τρόπον ὁμοῦ καὶ τὴν προσηγορίαν καὶ τὸν χρόνον τῆς ἀφίξεως αὐτοῦ διασκοπούμενοι. ὧν ἀποδεδειγμένων καιρὸς ἤδη τὰ κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ συνιδεῖν παραστῆσαί τε ὅπως καὶ τούτων ἕκαστα παρ' Ἑβραίοις προαναπεφώνητο. τό γε μὴν τῶν προρρήσεων ἀποτέλεσμα διὰ τῆς τῶν ἱερῶν εὐαγγελιστῶν μαρτυρίας καὶ τῆς δι' αὐτῶν ἱστορηθείσης τῶν πραγμάτων ἀποβάσεως ἐπισφραγισθήσεται.

Πρῶτον οὖν ἁπάντων, ἐπειδὴ τὰ περὶ τῆς γενέσεως αὐτοῦ γένους τε καὶ φυλῆς καὶ σπέρματος ἀποδέδεικται, φέρε τὰ περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει αὐτοῦ νέου τινὸς καὶ ξενίζοντος παρὰ τοὺς συνήθεις ἀστέρος θεασώμεθα, ἐπεὶ καὶ τοῦτο πάλαι πρότερον ἐκ μακρῶν ἄνωθεν χρόνων παρὰ Μωσεῖ βοώμενον τοῦτον ἱστόρηται τὸν τρόπον·

I. Ἀπὸ τῶν Ἀριθμῶν. [Μωσῆς ἐν Ἀριθμοῖς περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος ἡμῶν ἀστέρος·] «φησὶ Βαλαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινὸς ὁρῶν, ἀκούων λόγια θεοῦ, ἐπιστάμενος ἐπιστήμην ὑψίστου, καὶ ὅρασιν τοῦ θεοῦ ἰδών, ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ· δείξω αὐτῷ, καὶ οὐχὶ νῦν· μακαρίζω, καὶ οὐκ ἐγγίζει· ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ, καὶ προνομεύσει πάντας υἱοὺς Σήθ. καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ· καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ. καὶ ἐξεγερθήσεται ἐξ Ἰακώβ, καὶ ἀπολεῖ σῳζόμενον ἐκ πόλεως.[1]»

Ἐπὶ ταύτῃ φασὶν τῇ προφητείᾳ κινηθέντας τοὺς διαδόχους Βαλαὰμ (σεσῶσθαι γὰρ αὐτήν, ὡς καὶ ἦν εἰκός, παρ' αὐτοῖς), ὁπηνίκα συνεῖδον ἐν οὐρανῷ ξενίζοντά τινα παρὰ τοὺς συνήθεις ἀστέρα[ς] κατὰ κορυφῆς, ὡς ἂν εἴποι τις, καὶ κατὰ κάθετον τῆς Ἰουδαίας ἐστηριγμένον, σπουδὴν πεποιῆσθαι ἐπὶ τὴν Παλαιστινῶν ἀφικέσθαι γῆν, ἱστορίας ἕνεκα τοῦ διὰ ⟨τοῦ⟩ φανέντος ἀστέρος σημαινομένου βασιλέως.

Μαρτυρεῖ τούτοις ὁ εὐαγγελιστὴς Ματθαῖος, λέγων· «τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱερουσαλὴμ

1. Ἀριθ. 24, 15-19.

λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.[1]» ὅτε καὶ παραπεμφθέντες εἰς Βηθλεὲμ «ἐπορεύθησαν, καὶ ἰδοὺ» πάλιν ὁ αὐτὸς «ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς, ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον. ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ.[2]»

Ταῦτα μὲν τὸ ἱερὸν εὐαγγέλιον, ὁ δέ γε τῆς προφητείας λόγος ἐπὶ τῇ τοῦ ἀστέρος ἐπιτολῇ καὶ τῇ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσει τίνα φησὶν ἔσεσθαι, συνιδεῖν ἄξιον· θραῦσιν ἀρχηγῶν Μωάβ, καὶ προνομὴν υἱῶν Σήθ, καὶ τῶν γε λοιπῶν τοῦ Ἰουδαίων ἔθνους πολεμίων κληρονομίαν· οὗτοι δὲ ἦσαν Ἐδὼμ καὶ Ἠσαῦ.[3] τί δὲ ᾐνίξατο διὰ τούτων ἢ διὰ μὲν τῶν ἀρχηγῶν Μωὰβ τὴν τῶν ἀοράτων ἀρχόντων καθαίρεσιν, αὐτῶν δὴ τῶν πάλαι παρὰ τοῖς Μωαβίταις θεολογουμένων δαιμόνων; ἀλλ' οὐχ ἑτέρων ἐμνήσθη, διὰ τὴν εἰδωλολατρίαν τοῦ Ἰσραὴλ τὴν ἐπὶ τῆς ἐρήμου γενομένην, ὅτε «ἐτελέσθη ὁ λαὸς τῷ Βεελφεγώρ[4]» (δαίμων δὲ ἦν οὗτος, ὡς θεὸς παρὰ τῷ βασιλεῖ Μωὰβ τῷ Βαλὰκ τιμώμενος). ἐπεὶ οὖν νενίκητο ὁ Ἰσραὴλ κατὰ τοῦτο τοῦ καιροῦ πρὸς τῶν ἀοράτων ἀρχόντων τοῦ Μωάβ, λέγω δὲ τῶν παρὰ τοῖς Μωαβίταις νενομισμένων θεῶν (εἰδωλολάτρησαν γοῦν καὶ «προσεκύνησαν» τοῖς γλυπτοῖς, ὥς φησιν ἡ γραφή·[5] «καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ[6]», δαίμων δὲ οὗτος τῶν Μωαβιτῶν ἦν), ὅτε καὶ ἐξεπόρνευσαν εἰς τὰς Μωαβίτιδας, εἰκότως τὸ μέλλον ἔσεσθαί ποτε καὶ τὴν εἰς τοὐναντίον τῶν πραγμάτων μεταβολὴν κατὰ καιρὸν ὁ Βαλαὰμ θεσπίζει λέγων· «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει ἡγεμόνας Μωάβ·[7]» ὡσεὶ σαφέστερον ἔλεγεν, τοὺς μεγαλαυχήσαντας κατὰ τοῦ Ἰσραὴλ δαίμονας τῶν Μωαβιτῶν ἐπὶ τῇ γενέσει τοῦ προφητευομένου θραῦσίν ποτε καὶ πτῶσιν παθεῖν, ὧν θραυσθέντων τοὺς «υἱοὺς Σὴθ» καὶ «Ἐδὼμ» καὶ «Ἠσαῦ» καὶ τὰ λοιπὰ ἔθνη[8], ἃ διὰ τούτων σημαίνεσθαι ἡγοῦμαι, τὰ πάλαι καταδεδουλωμένα τῇ δαιμονικῇ πλάνῃ, μεταβαλόντα τῆς δεισιδαιμονίας οἰκεῖα τοῦ θεσπιζομένου γενήσεσθαι. «καὶ ἔσται» γάρ φησιν, «Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ.[9]» οἱ γὰρ πάλαι ἐχθροὶ τοῦ θεοῦ καὶ τοῦ Ἰσραήλ, φησί, γενήσονται κληρονομία τοῦ προφητευομένου. αὐτὸς γὰρ ἦν ᾧ εἴρητο πρὸς τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ· «αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.[10]» ὧν εἰς τὸν κλῆρον τῶν ἁγίων μεταστάντων, τἀναντία τῷ Ἰσραὴλ ἔσεσθαι θεσπίζει. φησὶν γοῦν· «καὶ

1. Ματθ. 2, 1-2. 2. Ματθ. 2, 9-11. 3. Πρβλ. Ἀριθ. 24, 17-18. 4. Ἀριθ. 25, 3. 5. Πρβλ. Ἀριθ. 25, 1-2. 6. Ἀριθ. 25, 3. 7. Ἀριθ. 24, 17. 8. Πρβλ. Ἀριθ. 24, 17-18. 9. Ἀριθ. 24, 18. 10. Ψαλμ. 2, 8.

Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ.[1]» τί δὲ ἐποίησεν ἐν ἰσχύϊ ⟨ἢ⟩ τὴν πάντων μεγίστην ἀσέβειαν; διὸ «ἐξεγερθήσεται[2]» ἀπ' αὐτῶν καὶ ἐξαναστήσεται. τίς οὗτος ἢ ὁ προφητευόμενος τοῦ θεοῦ λόγος, ὃς καὶ ἀπώλεσεν «σῳζόμενον ἐκ πόλεως;[3]» οἶμαι δὲ τὴν Ἱερουσαλὴμ αἰνίττεσθαι, ἐξ ἧς ὤλετο πᾶς σῳζόμενος, ἢ καὶ τὸ πᾶν τοῦ ἔθνους αὐτῶν πολίτευμα. ταῦτα δὲ ὁποίου τέλους ἔτυχεν, ὁμοῦ τῇ τοῦ σωτῆρος ἡμῶν εἰς ἀνθρώπους ἐκλάμψει τῶν μὲν πρὶν εἰδωλολατρῶν ἐθνῶν εἰς τὸν αὐτῶν μεταστάντων κλῆρον, τοῦ δὲ Ἰουδαίων ἔθνους καὶ τῆς μητροπόλεως αὐτῶν πεπονθότων ὁποῖα οὐδεπώποτε, οὐ μακρῶν δεῖν οἶμαι λόγων.

Ἀλλὰ τὰ μὲν τῆς συμφωνίας τῆς τε προφητικῆς προρρήσεως καὶ τῆς εὐαγγελικῆς συμπεράνσεως ὧδέ πως ἐχέτω τέλους. τί δ' ἦν τὸ αἴτιον τῆς ἐπιλάμψεως τοῦ φανέντος ἀστέρος, συνιδεῖν ἄξιον. «εἰς σημεῖά» φησιν ὁ Μωσῆς καὶ «εἰς καιροὺς» τεθεῖσθαι τοὺς πάντας «ἐν τῷ στερεώματι» ὑπὸ τοῦ θεοῦ ἀστέρας.[4] ξένος δὲ ἦν καὶ οὐ συνήθης οὐδὲ τῶν πολλῶν καὶ γνωρίμων εἷς, ἀλλά τις καινὸς καὶ νέος ἀστὴρ ἐπιφανεὶς τῷ βίῳ σημεῖον ξένου «φωστῆρος[5]» ἐδήλου καταλάμψαντος τῷ παντὶ κόσμῳ, ὃς ἦν ὁ Χριστὸς τοῦ θεοῦ, μέγας καὶ νέος ἀστήρ, οὗ τὴν εἰκόνα συμβολικῶς ὁ φανεὶς τότε τοῖς μάγοις ἐπεφέρετο. ἐπειδὴ γὰρ καθ' ὅλης τῆς ἱερᾶς καὶ θεοπνεύστου γραφῆς ὁ προηγούμενος τῆς διανοίας σκοπὸς μυστικώτερα καὶ θεῖα βούλεται παιδεύειν, μετὰ τοῦ καὶ τὴν πρόχειρον διάνοιαν σῴζεσθαι ἐν μέρει τῶν ἱστορικῶς πεπραγμένων, εἰκότως καὶ ἡ μετὰ χεῖρας πρόρρησις ἐπληροῦτο πρὸς λέξιν ἐπὶ τῇ τοῦ προαναφωνηθέντος ἀστέρος ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος ἡμῶν προφητείᾳ. γίνονται μὲν οὖν καὶ ἐφ' ἑτέρων ἐπιδόξων καὶ ἐπιφανῶν ἀνδρῶν ξενιζόντων ἀστέρων ἐκλάμψεις, οἷον τῶν καλουμένων παρά τισιν κομητῶν, ἢ δοκίδων, ἢ πωγωνιῶν, ἤ τινων ἑτέρων τούτοις παραπλησίων ἐπὶ μεγάλοις πράγμασιν ἐξ ἔθους ἀναφαινομένων. ἀλλὰ τί γὰρ κρεῖττον ἢ μεῖζον τῷ παντὶ κόσμῳ γένοιτ' ἄν ποτε οἷον τὸ διὰ τῆς σωτηρίου ἐπιφανείας πᾶσιν ὑπάρξαν ἀνθρώποις νοερὸν φῶς, εὐσεβείας καὶ θεογνωσίας ἀληθοῦς κατάληψιν λογικαῖς ψυχαῖς κομιζόμενον; οὗ δὴ χάριν τὸ μέγα σημεῖον ὁ προφανεὶς ἐδήλου ἀστήρ, μέγαν καὶ νέον φωστῆρα ἐπιλάμψαντα τῷ παντὶ κόσμῳ τὸν Χριστὸν τοῦ θεοῦ πᾶσιν αἰνιττόμενος.

Κατὰ τὸ αὐτὸ δὲ ἡ προφητεία ἄνθρωπον ὁμοῦ καὶ ἀστέρα θεσπίζει δι' ὧν φησιν· «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ[6]», τὸν μὲν οὐράνιον φωστῆρα τὸν θεὸν λόγον εἶναι, τὸν αὐτὸν δὲ ἄνθρωπον ὀνομάζουσα. διαφόρως δὲ αὐτὸν καὶ ἐν ἑτέροις «ἀνατολὴν» ὁμοῦ καὶ «φῶς» καὶ «ἥλιον δικαιοσύνης» ἀπο-

---

1. Ἀριθ. 24, 18. 2. Ἀριθ. 24, 19. 3. Ἀριθ. 24, 19. 4. Πρβλ. Γεν. 1, 14. 5. Πρβλ. Γεν. 1, 14. 6. Ἀριθ. 24, 17.

καλεῖ, ὡς ἐν τοῖς πρώτοις ἀπεδείξαμεν. εἶτα τὸ μὲν θειότερον αὐτοῦ, ἅτε φωτίζον «πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον [1]», τῷ τῆς ἀνατολῆς ἐπεφήμισεν προσρήματι, φήσας· «ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ [2]», τὸν δὲ ἄνθρωπον διὰ τὸ συμβὰν περὶ αὐτὸν πάθος ὡς ἂν πεπτωκότα «ἀναστήσεσθαι [3]» θεσπίζει, ὁμοίως οἷς καὶ Ἡσαΐας περὶ αὐτοῦ φησιν· «καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσ⟨σ⟩αὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν.[4]» καὶ σαφές γε, τίνα τρόπον τὸ φῶς τοῦ σωτῆρος ἡμῶν ἐκ τοῦ Ἰακὼβ ἀνατεῖλαν [5] (τοῦτ' ἔστιν ἀπὸ τοῦ ἐκ περιτομῆς λαοῦ), πᾶσι τοῖς ἔθνεσιν, ἀλλ' οὐχὶ τῷ Ἰακὼβ ὅθεν καὶ προῆλθεν, ἐξέλαμψεν. τοῦτο δὲ καὶ ἀπὸ πλείστων ἑτέρων πάρεστιν ἐκλαβεῖν προφητειῶν, ὡς πρὸς αὐτὸν φασκουσῶν τὸν Χριστὸν «ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν [6]», οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν τοῦ Βαλαὰμ λόγων, δι' ὧν φησιν· «ἐξελεύσεται ἐκ τοῦ σπέρματος αὐτοῦ ἄνθρωπος, καὶ κυριεύσει ἐθνῶν πολλῶν.[7]» τίνος δὲ ἐκ σπέρματος ἢ τοῦ Ἰσραήλ, ὡς ἡ σύμφρασις παρέστησεν; καὶ δὴ κυριεύσας ἐθνῶν ὁ τοῦ σωτῆρος ἡμῶν λόγος ἀκολούθως τῇ προφητείᾳ τὰς πάλαι πρότερον αὐτῶν ἀρχούσας ἀοράτους καὶ μοχθηρὰς δυνάμεις καθεῖλεν, καὶ «τὰ πνευματικὰ τῆς πονηρίας [8]», τό τε στῖφος τὸ δαιμονικόν, «ἀρχηγοὺς Μωὰβ» καὶ «Σὴθ» καὶ «Ἐδὼμ» καὶ «Ἠσαῦ [9]» τροπικώτερον ἐν τοῖς μετὰ χεῖρας ὠνομασμένα. ἀσαφῶς δὲ κείμενον παρὰ τοῖς ἑβδομήκοντα τὸ «δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω, καὶ οὐκ ἐγγίζει [10]», σαφέστερον ὁ μὲν Ἀκύλας ἐξέδωκεν· «ὄψομαι αὐτόν, καὶ οὐ νῦν, προσκοπῶ αὐτόν, ἀλλ' οὐκ ἐγγύς», ὁ δὲ Σύμμαχος λευκότερον, φήσας· «ὁρῶ αὐτόν, ἀλλ' οὐκ ἐγγύς.» λέγοιτο δ' ἂν ταῦτα ὑπὸ τοῦ Βαλαὰμ ὡς μακροῖς ὕστερον μετ' αὐτὸν χρόνοις μελλόντων ἐπιτελεσθήσεσθαι τῶν δηλουμένων· μετὰ γοῦν δισχιλιοστὸν ἔτος τῆς προρρήσεως ἐπληροῦτο ταῦτα ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν εἰς ἀνθρώπους ἐπιδημίας.

II. Ἀπὸ τοῦ Ἡσαΐου. «Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.[11]»

Τὸ δ' αἴτιον τοῦ τὸν κύριον ἥξειν εἰς Αἴγυπτον θεσπίζεσθαι τόδε μοι εἶναι δοκεῖ. πρῶτοι μὲν πάντων Αἰγύπτιοι τῆς πολυθέου καὶ δαιμονικῆς πλάνης ἀπάρξασθαι λέγονται, καὶ τοῖς λοιποῖς πᾶσιν ἀνθρώποις αἴτιοι καταστῆναι δεισιδαιμονίας, ἀλλὰ καὶ πάντων μᾶλλον περὶ τὰς δαιμονικὰς ἐνεργείας τε καὶ περιεργίας ἠσχολῆσθαι. οὗτοι δὲ καὶ ὑπὸ τῆς ἐνθέου γραφῆς [12] ἐχθροὶ τοῦ λαοῦ τοῦ θεοῦ ἄνωθεν καὶ

1. Ἰω. 1, 9. 2. Ἀριθ. 24, 17. 3. Πρβλ. Ἀριθ. 24, 17. 4. Ἡσ. 11, 10. 5. Πρβλ. Ἀριθ. 27, 17. 6. Ἡσ. 49, 6. 7. Ἀριθ. 24, 7. 8. Ἐφεσ. 6, 12. 9. Πρβλ. Ἀριθ. 24, 17, 18. 10. Ἀριθ. 24, 17. 11. Ἡσ. 19, 1. 12. Πρβλ. Ἔξ. 1, 8 ἑξ.

ἐξ ἀρχῆς γεγονέναι μεμαρτύρηνται, καὶ ὅ γε παλαιὸς αὐτῶν βασιλεὺς ὁμολογῶν μὴ εἰδέναι τὸν κύριον ἀναγέγραπται, ὅτε δὴ ἔφασκεν «οὐκ οἶδα τὸν κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω.[1]» τὸ δὴ οὖν μέγα θαῦμα τῆς ἐνθέου τοῦ Χριστοῦ δυνάμεως παραστῆσαι βουλόμενος ὁ λόγος, θεσπίζει τοῦ κυρίου τὴν εἰς Αἴγυπτον ἄφιξιν, ἐφ' ᾗ μεταβολὴν οὐ τὴν τυχοῦσαν τῶν Αἰγυπτίων ἔσεσθαι προφητεύει, λέγων ἑξῆς· «καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν κύριον», οἱ πρὶν μὴ εἰδότες αὐτόν, «καὶ εὔξονται τῷ κυρίῳ εὐχάς[2]», καὶ τὰ τούτοις παραπλήσια. ἀνωτέρω μὲν οὖν ἐν τῷ πρὸ τούτου κεφαλαίῳ «κληρονομία» τοῦ θεσπιζομένου «Ἐδὼμ» καὶ «Ἠσαῦ[3]» ἐλέγετο, τῶν ἀλλοτρίων τοῦ Ἰσραὴλ οὕτω σημαινομένων· ἐνταῦθα δὲ ἡ Αἴγυπτος καὶ ὁ τῆς Αἰγύπτου λαὸς οὐκέτι τῶν εἰδώλων ἀλλ' αὐτοῦ τοῦ παρὰ τοῖς Ἰουδαίων προφήταις θεολογουμένου κυρίου θεσπίζεται. ἅπερ εἰ μὲν μὴ ὄψει συντελούμενα θεωρεῖται, οὐκ ἔστιν εἰπεῖν τὴν θεσπιζομένην ἄφιξιν τοῦ κυρίου εἰς τὴν Αἴγυπτον γεγονέναι· εἰ δὲ ὑπὲρ πάντα λόγον ἡ ἀλήθεια μαρτυρεῖ τοῖς πράγμασιν καὶ τοῖς ἀγνωμονεστάτοις ἐναργῶς δείκνυσιν αὐτοὺς Αἰγυπτίους τῆς μὲν ἐξ αἰῶνος πατροπαραδότου δεισιδαιμονίας ἀνακεχωρηκότας, οἰκειωθέντας δὲ τῷ θεῷ τῶν ταῦτα προαναφωνησάντων προφητῶν καὶ τοῦτον μόνον σέβοντας καὶ πάντα θάνατον ἀσπαζομένους ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας, ὥρα μὴ ἄλλως ταῦτα γεγονέναι συνομολογεῖν ἢ τοῦ κυριου ἐληλυθότος εἰς Αἴγυπτον ἀκολούθως τῇ προκειμένῃ προρρήσει.

Ἔστι μὲν οὖν καὶ ἄλλως τὸν λόγον αἰνίττεσθαι τροπικῶς τὸν περίγειον κόσμον, εἰς ὃν ὁ λόγος προφητεύει τὸν κύριον «ἐπὶ νεφέλης κούφης[4]» ἥξειν, οὕτω τὸν ἐκ παρθένου καὶ πνεύματος ἁγίου ληφθέντα αὐτῷ ἄνθρωπον αἰνιττόμενος, «χειροποίητα» δὲ «Αἰγύπτου[5]» σεισθήσεσθαι, τὰ τῶν ἐθνῶν ξόανα καὶ τοὺς ἐν αὐτοῖς δαίμονας, ὡς αὖ πάλιν Αἰγυπτίους ἡττωμένους πάντας, τοὺς πάλαι πρότερον περὶ τὴν εἰδωλολατρίαν ἐπτοημένους. πλὴν ἀλλὰ καὶ σωματικῶς τοῦ σωτῆρος ἡμῶν ἐπικομισθέντος τῇ Αἰγυπτίων χώρᾳ, ὅτε κατὰ τὸν χρησμὸν ἀναστὰς ὁ Ἰωσὴφ παρέλαβεν τὴν Μαριὰμ καὶ τὸ παιδίον καὶ ἦλθεν εἰς Αἴγυπτον[6], ἀπορρήτῳ δυνάμει καὶ ἐνεργείᾳ τὰς αὐτόθι τὸ πρὶν οἰκούσας πονηρὰς δυνάμεις εἰκὸς οὐ μικρῶς κεκινῆσθαι, καὶ μάλιστα ὅτε διὰ τῆς μετέπειτα διδασκαλίας αὐτοῦ μυρία πλήθη τῶν τὴν Αἴγυπτον οἰκούντων, τῆς τῶν δαιμόνων ἀποφυγόντα πλανήσεως, ἔτι καὶ νῦν τὸν τῶν ὅλων ὁμολογεῖ μόνον εἰδέναι θεόν. τὰ δ' ἐν τοῖς ἑξῆς ἐπιλεγόμενα, αἰνιγματώδη ὄντα πλείονός τε δεόμενα πραγματείας, ἐπ' οἰκείας σχολῆς ἑρμηνεύσομεν.

III. Ἀπὸ τῶν Ἀριθμῶν. «Φησὶν Βαλαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, φησὶν ἀκούων λόγια ἰσχυροῦ,

---

1. Ἐξ. 5, 2. 2. Ἠσ. 19, 21. 3. Ἀριθ. 24, 17-18. 4. Ἠσ. 19, 1.
5. Πρβλ. Ἠσ. 19, 1. 6. Πρβλ. Ματθ. 2, 14.

ὅστις ὅρασιν θεοῦ εἶδεν, ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ· ὡς καλοὶ οἱ οἶκοί σου, Ἰακώβ, αἱ σκηναί σου, Ἰσραήλ· ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡς παράδεισος ἐπὶ ποταμῶν· καὶ ὡς αἱ σκηναί, ἃς ἔπηξεν κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα. ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται ἡ Γὼγ βασιλεία, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ. θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ· ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυλιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσειν ἐχθρόν. κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οἱ εὐλογοῦντές σε εὐλόγηνται καὶ οἱ καταρώμενοί σε κεκατήρανται.[1]»

Ἀνωτέρω διὰ τῆς προτεταγμένης προφητείας φήσας ὁ χρησμὸς τὸν κύριον ἥξειν εἰς Αἴγυπτον, ἐδήλου τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διακομιδὴν τὴν ἅμα τοῖς γονεῦσιν εἰς Αἴγυπτον αὐτῷ γενησομένην· ἐν τούτοις δὲ τὴν ἐπάνοδον ἑξῆς καὶ ἀκολούθως τὴν ἀπ' Αἰγύπτου, ἣν ἅμα τοῖς γονεῦσιν εἰς τὴν γῆν τοῦ Ἰσραὴλ ἐποιήσατο, θεσπίζει, λέγων· «θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου.» μόνος δὲ ἦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ καὶ οὐδὲ ἄλλος ὁ ἐκ τοῦ σπέρματος Ἰσραὴλ καὶ τοῦ Ἰουδαίων ἔθνους προελθὼν καὶ πολλῶν κατακυριεύσας ἐθνῶν, ὥστε ἀναμφιλόγως ὁμολογεῖσθαι πέρας ἔχειν ἐπ' αὐτῷ καὶ τὴν παροῦσαν πρόρρησιν διαρρήδην ἐκφωνοῦσαν, ὅτι δὴ ἐκ τοῦ Ἰουδαίων ἔθνους «ἐξελεύσεταί» τις «ἄνθρωπος» «καὶ κυριεύσει ἐθνῶν πολλῶν.[2]» ἢ λεγέτω ὁ βουλόμενος εἴ ἔχοι ἄλλον συστῆσαι, τῶν πώποτε παρ' Ἑβραίοις ἐνδόξων, πολλῶν ἐθνῶν ἄρξαντα· ἀλλ' οὐκ ἂν εἴποι τις, ὅτι μηδὲ γέγονεν. ἐπὶ δέ γε τοῦ σωτῆρος ἡμῶν, κἂν ἡμεῖς μὴ λέγωμεν, αὐτή γε ἡ ἀλήθεια βοήσει καὶ μέγα κεκράξεται, ἄντικρυς παριστῶσα ὅπως ἡ ἔνθεος αὐτοῦ δύναμις διὰ τοῦ ἀναληφθέντος αὐτῷ ἐκ σπέρματος Ἰσραὴλ τοῦ κατὰ σάρκα ἀνθρώπου ἐκυρίευσεν καὶ εἰσέτι νῦν κυριεύει «ἐθνῶν πολλῶν.» αὐτὸς ἄρα οὗτος ἐκεῖνος ἦν καὶ οὐδ' ἄλλος, ὃν ἡ προφητεία προηγόρευσεν, καθ' ὃν καὶ «ἡ Γὼγ» ὑψώθη «βασιλεία», τῆς Χριστοῦ δυνάμεως συναυξούσης.[3] τοῦτον δ' ἐνταῦθά φασιν αἰνίττεσθαι καθ' Ἑβραίους τὸν τρόπον τὴν τῶν Ῥωμαίων βασιλείαν, ᾗ καὶ συνήκμασεν ἡ Χριστοῦ διδασκαλία. μέμνηται δὲ τοῦ Γὼγ καὶ ὁ προφήτης Ἰεζεκιήλ, «ἄρχοντα Ῥὼς Μοσὸχ καὶ Θοβὲλ[4]» ὀνομάζων· διὰ μὲν τοῦ Ῥὼς τὴν Ῥωμαίων, ὡς ἔοικεν, πόλιν αἰνιττόμενος, ἐπεὶ καὶ ἀρχὴ καὶ κεφαλὴ κατὰ τὴν Ἑβραίων φωνὴν διὰ τοῦ Ῥὼς δηλοῦται, διὰ δὲ τοῦ Μοσὸχ τὴν Μυσίαν καὶ τὰ πέριξ ταύτης ἔθνη, ὅσα νῦν οἰκεῖα Ῥωμαίων ἐστίν, διὰ δὲ τοῦ Θοβὲλ τὴν Ἰβηρίαν, ⟨ὡς⟩ ὁ Ἰώσηπος δηλοῖ, ἀπὸ τοῦ Θοβὲλ γεγονέναι φάσκων Θοβεήλους τοὺς Ἴβηρας. ὧν ἁπάντων ἄρχοντα

1. Ἀριθ. 24, 3-9. 2. Πρβλ. Ἀριθ. 24, 7. 3. Πρβλ. Ἀριθ. 24, 7. 4. Ἰεζ. 38, 3.

τὸν Γὼγ ὑψωθήσεσθαί [1] φησιν ἐπὶ τῆς τοῦ προφητευομένου Χριστοῦ παρουσίας, ὃν ὁ «θεὸς ὡδήγησεν ἐξ Αἰγύπτου [2]», ὅτε κατὰ τὸν Ματθαῖον, ἐπιβουλεύοντος τοῦ Ἡρώδου παιδὶ ὄντι αὐτῷ, «χρηματισθεὶς [3]» ὁ Ἰωσὴφ «παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἐπανῆλθεν εἰς γῆν Ἰσραήλ.[4]»

«Δόξα» δὲ «μονοκέρωτος αὐτῷ [5]» τῷ Χριστῷ παρῆν, διὰ τὸ «ἐν αὐτῷ» εὐδοκηκέναι κατοικῆσαι «πᾶν τὸ πλήρωμα τῆς θεότητος [6]», κατὰ τὸν ἱερὸν ἀπόστολον. διόπερ ὡς κέρας ἐπιγραφόμενος τὸν τῶν ὅλων θεὸν καὶ πατέρα αὐτοῦ, «μονόκερως [7]» καὶ ἐν ἑτέραις γραφαῖς ὠνομάσθη. ὁ δ' αὐτὸς τοῦ θεοῦ λόγος τοῖς νοητοῖς καὶ λογικοῖς αὐτοῦ βέλεσιν τὸν ἐχθρὸν [8] καὶ ἀντικείμενον αὐτῷ διάβολον πάσας τε τὰς ἀ⟨μ⟩φ' αὐτὸν ἀοράτους καὶ πονηρὰς δυνάμεις διὰ κρείττονος καὶ ἀκαταμάχου δυνάμεως ἤλαυνεν, εἰσέτι τε νῦν κυριεύει ἐθνῶν πολλῶν [9], ὧν «τὰ πάχη [10]» καὶ «τὸ φρόνημα τῆς σαρκὸς [11]» λεπτύνων ἐπὶ τὴν στενὴν ὁδὸν [12] τῆς αἰωνίου ζωῆς ἐπιτηδείους κατασκευάζει.

Ἀλλὰ καὶ «κατακλιθεὶς» αὐτὸς οὗτος ὁ ἐξ Ἰσραὴλ προελθὼν ἄνθρωπος, ὁ κατακυριεύσας ἐθνῶν πολλῶν, «ἀνεπαύσατο», φησίν, «ὡς λέων [13]», οὕτω δηλῶν ἣν ἀνεδέξατο οἰκονομίαν, καθ' ἣν ὥσπερ τις βασιλικὸς καὶ θαρραλέος θὴρ ἀνεπαύσατο, μηδενὸς αὐτοῦ τὴν ἀρχὴν καὶ τὴν βασιλείαν μεταστήσασθαι δυναμένου· πάντες τε οἱ τὸν Χριστὸν «εὐλογοῦντες [14]», λόγῳ τε καὶ βίῳ σεμνύνοντες τὴν ἀρετὴν τοῦ διδασκάλου, τῆς ἐκ θεοῦ μετειλήφασιν εὐλογίας, αὔξοντες ὁσημέραι καὶ πληθύνοντες, κατὰ τὸ «αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν [15]», ἀληθέστερον ἐπ' αὐτῶν καὶ θεοπρεπέστερον τῆς θείας ἐκτελουμένης φωνῆς, ὡς ἔμπαλιν οἱ ἀπὸ πρώτης τῆς κατ' αὐτοῦ ἐπιβουλῆς εἰσέτι καὶ νῦν αὐτὸν ἐν τοῖς αὐτῶν συνεδρίοις ἀρώμενοι τὴν ἐκ θεοῦ κατάραν ἐξ ἐκείνου καὶ εἰσέτι δεῦρο καθ' ἑαυτῶν ἐπεσπάσαντο. διὸ καὶ τὴν ἐσχάτην οὐ μόνον τῆς βασιλείας ἀλλὰ καὶ τοῦ πάλαι σεμνοτάτου αὐτῶν ἁγιάσματος ἐρημίαν τε καὶ φθορὰν οὐ παύονται πρὸ ὀφθαλμῶν ὁρῶντες.

Ἄξιον δὲ παραθεῖναι τοῖς μετὰ χεῖρας τὴν πρὸς τὸν Ἰούδαν τοῦ Ἰακὼβ προφητείαν, ἣν καὶ αὐτὴν ἐναργέστατα εἰς τὸν ἡμέτερον σωτῆρα ἐφαρμόζειν προπαρεστήσαμεν, συνιδεῖν τε τὴν ἐν ἑκατέροις συμφωνίαν. ὡς γὰρ ἐνταῦθα εἴρηται «ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ [16]» (δῆλον δ' ὅτι τοῦ Ἰακώβ), οὕτως κἀκεῖ «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης [17]» εἴρητο ὑπ' αὐτοῦ τοῦ Ἰακὼβ πρὸς τὸν προφητευόμενον. καὶ ὡς ἐπὶ τοῦ παρόντος λέγεται τὸ «καὶ κυρι-

---

1. Πρβλ. Ἀριθ. 24, 7. 2. Ἀριθ. 24, 8. 3. Πρβλ. Ματθ. 2, 22. 4. Ματθ 2, 21. 5. Πρβλ. Ἀριθ. 24, 8. 6. Πρβλ. Κολ. 2, 9. 7. Δευτ. 33, 17. Ψαλμ. 91, 11. 8. Πρβλ. Ἀριθ. 24, 8. 9. Πρβλ. Ἀριθ. 24, 7. 10. Ἀριθ. 24, 8. 11. Ῥωμ. 8, 6. 12. Πρβλ. Ματθ. 7, 14. 13. Πρβλ. Ἀριθ. 24, 9, 7. 14. Πρβλ. Ἀριθ. 24, 9. 15. Γεν. 1, 28. 16. Ἀριθ. 24, 7. 17. Γεν. 49, 9.

εύσει ἐθνῶν πολλῶν [1]», ὁμοίως καὶ ἐν ἐκείνοις τὸ «καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν. [2]» καὶ πάλιν ἐνταῦθα μὲν «ἔδεται», φησίν, «ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν [3]», ὡσαύτως δὲ καὶ ἐν ἐκείνοις «αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου [4]» ἐλέγετο. καὶ τὸ «σκύμνος λέοντος, Ἰούδα» καὶ τὸ «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; [5]» ἐν ἐκείνοις εἰρημένον οὐδέν μοι δοκεῖ διαφέρειν τῆς μετὰ χεῖρας λέξεως φασκούσης· «κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος, τίς ἀναστήσει αὐτόν; [6]»

Ταῦτα δὲ εἰκότως εἰς ταυτὸν συνηγάγομεν, ἵν᾽ ὥσπερ «ἐπὶ στόματος δύο μαρτύρων [7]» τῆς ἐν ταῖς προφητείαις συμφωνίας ἡ περὶ τοῦ σωτῆρος ἡμῶν ἀπόδειξις βεβαιοτέραν λάβοι τὴν κύρωσιν. πάντα δ᾽ οὖν τὰ εἰς τὴν τοῦ Ἰακὼβ πρόρρησιν τεθεωρημένα ἁρμόσειεν ἂν καὶ εἰς τὴν τοῦ Βαλαὰμ τῆς ὁμοιότητος τῶν λεγομένων ἕνεκα. εἰ δὴ οὖν ἐκεῖνα διὰ πολλῆς ἀποδείξεως ἐπὶ τὸν ἡμέτερον σωτῆρα πεπληρωμένα συνέστη, ἀκόλουθον ἂν εἴη καὶ τὰ παρόντα ὁμολογεῖν.

IV. Ἀπὸ τοῦ Ὡσηέ. «Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται. ὡς ἄρχων Σαλαμὰν ἐκ τοῦ οἴκου Ἱεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, οὕτω ποιήσω ὑμῖν, οἶκος Ἰσραήλ, ἀπὸ προσώπου τῶν ἀδικιῶν ὑμῶν. ὄρθρου ἀπερρίφη βασιλεὺς Ἰσραήλ, διότι νήπιος Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα αὐτόν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. [8]» δουλεύσας τῷ Ἑβραϊκῷ, «ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου» ἐξέδωκεν ὁ Ἀκύλας.

Ἀναγκαίως δὲ τὸ ῥητὸν ἐπεσημειωσάμην, ἐπείπερ καὶ ὁ Ματθαῖος τέθειται τὴν προφητείαν [9], ὁπηνίκα εἰς Αἴγυπτον διακομισθῆναι τὸν Ἰησοῦν κἀκεῖθεν ἐπανελθεῖν ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ ἐδήλου. εἰ δὲ ἐπιμέμφοιτό τις τῇ εἰς Αἴγυπτον ἀναχωρήσει τοῦ σωτῆρος ἡμῶν, ἴστω κατὰ λόγον αὐτὴν γεγονέναι. οὔτε γὰρ ἐπισχεῖν τὸν Ἡρώδην τῆς αὐτοπροαιρέτου κακίας προσῆκον ἦν οὔτ᾽ αὖ βρέφος ἔτ᾽ ὄντα τὸν σωτῆρα τῶν θαυμάτων ἀπάρξασθαι καὶ πρὸ καιροῦ τὴν θείαν ἐπιδείκνυσθαι δύναμιν, ὅπερ ἂν ἐπράχθη, εἰ παραδόξως ἐπιβουλεύοντα αὐτῷ τὸν Ἡρώδην μετῆλθεν, μηδαμῶς ὑπομείνας τὴν εἰς Αἴγυπτον ἅμα τοῖς γονεῦσιν ἀναχώρησιν. ἀλλὰ γὰρ ἦν τῆς κρείττονος οἰκονομίας ἐπὶ καιροῦ τοῦ προσήκοντος τῶν τῆς θεότητος ἀπάρξασθαι θαυμάτων. ᾧ γε διὰ παντὸς τοῦ βίου τὸ πρᾶον καὶ ἀνεξίκακον μεμαρτύρηται, προχείρῳ μὲν εἰς τὰς εὐποιίας καὶ τὰς κοινὰς εὐεργεσίας γενομένῳ, μηδένα δὲ τῶν μὴ ἀκουόντων ἀμυνομένῳ, μηδ᾽ ὅτε «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤγετο, καὶ ὡς ἀμνὸς ἐναντίον

---

1. Ἀριθ. 24, 7. 2. Γεν. 49, 10. 3. Ἀριθ. 24, 8. 4. Γεν. 49, 8. 5. Γεν. 49, 9. 6. Ἀριθ. 24, 9. 7. Ματθ. 18, 16. 8. Ὠσ. 10, 4-11, 1. 9. Πρβλ. Ματθ. 2, 13, 21.

τοῦ κείροντος ἄφωνος[1]», πῶς εἰκὸς ἦν τὸν τοιοῦτον δεῖν ἐν παιδίῳ μὴ οὐχὶ ὑποχωρῆσαι τῇ τοῦ Ἡρώδου κακίᾳ; ᾧ καὶ ἐν ἀνδρὶ τὸ ἀναχωρεῖν[2] καὶ τοὺς πονηροὺς ἐκκλίνειν μεμαρτύρηται ἐπικρύπτεσθαί τε καὶ ὑποφεύγειν τὸν ἐπὶ ταῖς παραδοξοποιίαις ἔπαινον· παρήνει γοῦν τοῖς ὑπ' αὐτοῦ θεραπευομένοις μηδενὶ λέγειν.[3]

Εἰ δ' ἐπὶ τὸν λαὸν τὴν προφητείαν ἀναφέροι τις, φάσκων περὶ τοῦ ἐκ σπέρματος τοῦ Ἰσραὴλ λαοῦ εἰρῆσθαι, ἐπιστησάτω τῇ τοῦ λόγου ἀκολουθίᾳ, ταῦτα ἔσεσθαι φησάσῃ μετὰ τὸ εἰπεῖν ὡς πρὸς αὐτὴν τὴν Ἱερουσαλήμ· «καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται[4]», καὶ ἅπερ, φησίν, ὁ τοιόσδε «ἄρχων» πέπονθεν κατὰ τὸν ἐπελθόντα αὐτῷ πόλεμον, ἐν ᾧ «μητέρα ἐπὶ τέκνοις ἠδάφισαν», τὰ παραπλήσια καὶ «ὑμῖν» αὐτοῖς «ποιήσω» διὰ τὰς κακίας ὑμῶν[5] («ὑμῖν» δὲ τίσιν ἢ τοῖς καλουμένοις Ἰσραηλίταις;) οἳ καὶ ἀπερρίφητε σὺν τῷ βασιλεῖ ὑμῶν[6] (τὸν Ἡρώδην αἰνιττόμενος). καὶ ταῦτά γε πάντα πεπόνθατε, «διότι παῖς», φησίν, «Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα αὐτόν[7], καὶ ἀπ' Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.» πῶς γὰρ οἷόν τε κατὰ τὸ αὐτὸ τοῖς αὐτοῖς ἐπιμέμφεσθαι καὶ πάλιν τοὺς αὐτοὺς ἐπαινεῖν; ἀλλ' ἦν ὁ ἀληθὴς νοῦς ταύτην ἔχων τὴν θεωρίαν· Ἰσραὴλ γὰρ ὁ Χριστὸς καὶ καθ' ἑτέρας ἀνηγόρευται προφητείας, ὥσπερ οὖν καὶ ἐπὶ τῆς παρούσης. ἐπειδὴ τοίνυν οὗτος, φησίν, ὑπήκοός μοι γενόμενος «μορφὴν δούλου[8]» εἴληφεν καὶ γέγονεν παιδίον ἀγαπητὸν ἐμοί, πᾶσαν τὴν ἐμὴν ἐκτελέσας βουλήν, διὰ τοῦτο αὐτὸν μὲν ἀπὸ τῆς ⟨νοητῆς⟩ Αἰγύπτου, εἰς ἣν ἐνανθρωπήσας κατελήλυθεν (οὕτω δηλουμένου τοῦ περιγείου τόπου) ἢ καὶ ἐξ αὐτῆς τῆς προχείρου, οἷα γνήσιον ⟨καὶ⟩ ἀγαπητὸν υἱὸν ἀνεκαλεσάμην·[9] ὑμᾶς δέ, τοὺς πρὸς οὓς ὁ λόγος, σὺν καὶ τῇ ἡμετέρᾳ βασιλείᾳ ὄλεθρος καὶ ἀπώλεια παραλήψεται. ταῦτα μὲν ἡ προφητεία· πρόδηλον δὲ ὅπως ἀπὸ τῶν τοῦ σωτῆρος ἡμῶν χρόνων πολιορκηθείσης τῆς Ἱερουσαλὴμ καθηρέθη καὶ εἰς τὸ παντελὲς ἀπερρίφη ἡ μέχρι τότε συστᾶσα τοῦ Ἰουδαίων ἔθνους αὐτονομία τε καὶ ἀρχή.

Πλὴν ἀλλὰ τρίτον ἤδη τὰ περὶ τῆς Αἰγύπτου καὶ τῆς αὐτόθι ἀφίξεως αὐτοῦ πεπροφήτευται. εἰ δέ τις αὐτὰ μηδαμῶς ἐφαρμόζειν ἐπὶ τὸν ἡμέτερον λέγοι σωτῆρα, ἀλλὰ ⟨τά⟩ γε τῆς τοῦ Ματθαίου παραθέσεως ἀπὸ τῆς παρὰ Μωσεῖ μαρτυρίας αὐτῷ παρειλημμένα (ἣν καὶ ἀρτίως διεληλύθαμεν, τὸ «ὁ θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου[10]» διηγούμενοι), ἐπεὶ μηδ' αὐτὸς ὁ εὐαγγελιστὴς ἀπὸ τῆς τοῦ Ὠσηὲ προφητείας εἰλῆφθαι αὐτῷ τὸ λόγιον ἔφησεν,.. ὡς δύνασθαι καὶ ποθεν ἐπιζητήσαντας εὑρεῖν αὐτὸ κείμενον, ὅθεν εἰκὸς τὸν εὐαγγελιστὴν πεποιῆσθαι αὐτοῦ τὴν ἔκθεσιν.

---

1. Ἡσ. 53, 7. 2. Πρβλ. Ματθ. 12, 15. 3. Πρβλ. Ματθ. 8, 4. Μάρκ. 7, 36. 4. Ὠσ. 10, 14. 5. Πρβλ. Ὠσ. 10, 14 ἑξ. 6. Πρβλ. Ὠσ. 11, 1. 7. Πρβλ. Ὠσ. 11, 1. 8. Φιλιπ. 2, 7. 9. Πρβλ. Ματθ. 3, 17. 10. Ἀριθ. 24, 8.

V. Ἀπὸ τοῦ Ἡσαΐου. «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ ὀφθήσεται ἡ δόξα κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ ὅτι κύριος ἐλάλησεν.[1]»

Ἔδει καὶ ταύτην ἐπὶ τῶν χρόνων τοῦ σωτῆρος ἡμῶν ἐπὶ πέρας ἐλθεῖν τὴν πρόρρησιν. διόπερ κατὰ τὸν εὐαγγελιστὴν Λουκᾶν «ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἐπιτροπεύοντος Ποντιου Πιλάτου τῆς Ἰουδαίας», καὶ τῶν τούτῳ συναριθμουμένων, «ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην, τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ·» ὃς ἐλθὼν «εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου ἐκήρυσσεν βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.[2]» τούτοις δ' οὖν ὁ εὐαγγελιστὴς ἐπιμαρτυρεῖ, λέγων· «καθὼς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου[3]», καὶ τὰ ἑξῆς. τί δὴ οὖν ἐβόα ἡ διὰ τοῦ Ἰωάννου φωνὴ ἐπὶ τῆς ἐρήμου κηρύσσουσα, ἢ «τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ[4]», ὡς ἑρπετοῖς ἐρήμου τυγχάνουσιν, οἰκείως τὸ «γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς;[5]» πάλιν τε αὖ τὰς σκολιὰς ψυχὰς «εἰς εὐθείας» καὶ τὰς τραχείας «εἰς ὁδοὺς λείας» μετασκευάζουσα ἔφασκεν[6] τοῖς αὐτοῖς· «ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας.[7]» καὶ ταῦτά γε συνετελεῖτο προπαρασκευάζοντος Ἰωάννου τοὺς ὀψομένους τὴν «δόξαν[8]» κυρίου, καὶ τὸ καλούμενον «σωτήριον τοῦ θεοῦ[9]», οὐκ ἄλλον ὄντα τοῦ Χριστοῦ, ὡς ἐμαρτύρει λέγων· «ἐγὼ μὲν ὑμᾶς ὕδατι βαπτίζω· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἄξιος τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.[10]» ὃς καὶ ἰδὼν τὸν Ἰησοῦν ἐρχόμενον ἀνεφώνησεν· «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὗτός ἐστιν περὶ οὗ ἐγὼ εἶπον, ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονεν.[11]» τὸν αὐτὸν δὲ εἶναι «τὸ σωτήριον τοῦ θεοῦ[12]» καὶ ὁ Συμεὼν ἐμαρτύρησεν, ὃς λαβὼν ἐπὶ ταῖς ἀγκάλαις βρέφος ὄντα τὸν Ἰησοῦν ἔφη· «νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν.[13]» οἷς συνᾴδει καὶ ὁ προφήτης εἰπών· «καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ[14]» (τὸ γὰρ «πᾶσα σὰρξ» ἀντὶ πάντων εἴρηται τῶν ἐθνῶν). ὅπως δὲ ταῦτα τέλους ἔτυχεν καὶ τὰ ἔθνη τὸν Χριστὸν ἐπέγνω τοῦ θεοῦ, μακρῶν

1. Ἡσ. 40, 3-5. 2. Πρβλ. Λουκ. 3, 1-3. 3. Λουκ. 3, 4. 4. Λουκ. 3, 7. 5. Λουκ. 3, 7. 6. Πρβλ. Λουκ. 3, 5. 7. Λουκ. 3, 8. 8. Λουκ. 2, 32. 9. Πρβλ. Ἡσ. 40, 5. Λουκ. 2, 30. 10. Λουκ. 3, 16. Ματθ. 3, 11. 11. Ἰω. 1, 29-30. 12. Πρβλ. Ἡσ. 40, 5. Λουκ. 2, 30. 13. Λουκ. 2, 29-32. 14. Ἡσ. 40, 5.

οὐ δεῖ λόγων. καὶ τὰ μὲν ῥητὰ τοῦτον ἐπληροῦτο τὸν τρόπον.

Τί δ' ἦν τὸ αἴτιον τοῦ μὴ ἐν πόλεσιν μηδ' ἐπ' αὐτῆς τῆς Ἱερουσαλήμ, ἀλλ' ἐπὶ τῆς ἐρήμου Ἰωάννην παρελθόντα κηρύττειν; ὁ μέν τις φήσαι ἂν εἰς ἀποπλήρωσιν τῆς προφητείας τοῦτο αὐτὸν πεποιηκέναι. ἀλλ' ὁ ἀκριβῶς εὐθέως ἐξετάζων, αὐτή γε ἡ προφητεία τί ποτ' ἄρα σημαίνειν βουλομένη τὴν ἔρημον καὶ τὰ κατ' αὐτὴν ἐδήλου, πεύσεται. πρὸς ὃν φήσομεν, ὅτι καὶ τοῦτο σημεῖον ἦν καθαιρέσεως τῆς Ἱερουσαλὴμ καὶ τοῦ πρὸς αὐτῇ θυσιαστηρίου τῆς τε κατὰ τὸν Μωσέως νόμον λατρείας, ὅτε μηκέτ' αὐτοῖς διὰ τῶν κατὰ νόμον θυσιῶν τὰ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν[1] προυξενεῖτο, ἀλλὰ διὰ καθάρσεως λουτροῦ, ἐπὶ τῆς πάλαι διψάδος καὶ ἐρήμου, λέγω δὲ τῆς τῶν ἐθνῶν ἐκκλησίας, παραδιδομένου, ἐν ᾗ καὶ ἡ προφητικὴ γενομένη φωνὴ ἑτοιμάζειν παρακελεύεται «τὴν ὁδὸν κυρίου[2]», τὰς μὲν κάτω που εἰς βάθος κακίας ὡς ἐν φάραγγι κειμένας ψυχὰς ἐπαρθήσεσθαι, τὰ δὲ πάλαι ὑψώματα τῆς Ἱερουσαλὴμ καὶ τῶν ἐπ' αὐτῆς ἀρχόντων τε καὶ βασιλέων, ὄρη καὶ βουνοὺς ὀνομαζόμενα, ταπεινωθήσεσθαι θεσπίζουσα.[3] ὧν ἐπιτελεσθέντων φησί· «πᾶσα σὰρξ ὄψεται τὸ σωτήριον τοῦ θεοῦ[4]», δῆλον δ' ὅτι πᾶσα ἡ ἐν σαρκὶ ἐπὶ γῆς ἀναστρέφουσα ψυχὴ Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων καὶ πάντων ἁπαξαπλῶς τῶν ἐθνῶν, ἃ καὶ τῇ προρρήσει ἀκολούθως εἰς πέρας ἐλθόντα δείκνυται.

Ζητῶν δὲ παρ' ἐμαυτῷ τί ἄρα ἦν τὸ ἐκπλῆξαν τοὺς πολλοὺς ἐν τῷ Ἰωάννῃ, ὡς θαυμάσαι αὐτὸν καὶ κηρύττοντι «βάπτισμα μετανοίας[5]» πιστεῦσαι, πάντας τε πανταχόθεν τὰ οἰκεῖα ἀπολιπόντας συρρεῖν ἐπὶ τὴν ἔρημον, μάλιστα ὅτε μηδεμίαν αὐτοῦ πρᾶξιν ἱστοροῦσιν οἱ λόγοι· οὔτε γὰρ νεκροὺς ἐγείρας οὔτε ἕτερα θαύματα πεποιηκὼς ἀναγέγραπται· τί δὴ οὖν ἦν τὸ ἐκπλῆξαν τοὺς πάντας; ἢ μήποτε ὁ ξένος καὶ παραλλάττων τοὺς πολλοὺς αὐτοῦ βίος; προῄει γὰρ ἐκ τῆς ἐρήμου ξένην ἠμφιεσμένος στολήν[6], πᾶσαν δὲ τὴν κοινὴν ἀνθρώπων διατριβὴν ἐκτρεπόμενος, οὔτε γοῦν εἰς κώμην οὔτε εἰς πόλιν οὔτε εἰς κοινὸν σύλλογον ἀνδρῶν παρέβαλλεν, ἀλλ' οὐδὲ τῆς κοινῆς μετεῖχεν τροφῆς· γέγραπται γοῦν, ὡς ἐκ τῆς τοῦ παιδὸς ἡλικίας «ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ·[7]» ἀλλὰ καὶ «τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλων πεποιημένον, ἡ δὲ τροφὴ αὐτοῦ ἀκρίδες καὶ μέλι ἄγριον.[8]» μή πῃ οὖν ὁρῶντες ἄνδρα, ναζιραῖον μὲν θεοῦ τὴν τρίχα, θεοπρεπὲς δὲ πρόσωπον ὑποφαίνοντα, σχῆμά τε ξένον περιβολῆς ἠμφιεσμένον, ἀθρόως ποθὲν ἐξ ἀφανοῦς ⟨καὶ⟩ ἐρήμου φαινόμενον, καὶ μετὰ τὸ κήρυγμα πάλιν εἰς τὴν ἔρημον καὶ εἰς τὸ ἀφανὲς ὑποχωροῦντα, καὶ ἄποτον, ἄτροφον,

---

1. Πρβλ. Λουκ. 3, 3. 2. Ἠσ. 40, 3. 3. Πρβλ. Ἠσ. 40, 4. 4. Ἠσ. 40, 5. 5. Πρβλ. Λουκ. 3, 3. 6. Πρβλ. Ματθ. 3, 4. 7. Λουκ. 1, 80. 8. Ματθ. 3, 4.

ἀκοινώνητον τοῖς πολλοῖς, εἰκότως ἐξεπλήττοντο, μηδ᾽ ἄνθρωπον αὐτὸν ὑπονοοῦντες ὑπάρχειν; πῶς γὰρ τὸν μηδὲ ἐν χρείᾳ τροφῆς γινόμενον; διὸ καὶ ἄγγελον αὐτὸν ὑπειλήφεσαν εἶναι, τοῦτον αὐτὸν ἐκεῖνον τὸν διὰ τοῦ προφήτου δηλούμενον κατὰ τὸ «ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου·[1]» κέχρηται γοῦν τῇ παραθέσει καὶ ταύτης τῆς γραφῆς Μάρκος ὁ εὐαγγελιστής. καὶ ὁ σωτὴρ δὲ μαρτυρεῖ λέγων· ἦλθεν ὁ Ἰωάννης πρὸς ὑμᾶς μήτε ἐσθίων μήτε πίνων, «καὶ λέγετε, δαιμόνιον ἔχει·[2]» τοὺς γὰρ ἀπιστοῦντας καὶ πρὸς τἀληθῆ δυσχερεῖς καὶ δυσενδότους εἰκὸς ἦν διὰ τὸν εἰρημένον τοῦ Ἰωάννου βίον τοιαῦτα αὐτὸν βλασφημεῖν, ὡς ἔμπαλιν τοὺς συνησθημένους τῆς κατ᾽ αὐτὸν ἀρετῆς ἄγγελον ὑπολαμβάνειν. ταῦτα γοῦν ἡγοῦμαι τοῖς τὸν Ἰωάννην ὁρῶσιν θαῦμα περὶ αὐτοῦ παρασχεῖν· διὸ καὶ συνέτρεχον πανταχόθεν ἐπὶ τὴν δι᾽ αὐτοῦ κηρυττομένην τῆς ψυχῆς κάθαρσιν. μέμνηται δὲ τῆς κατ᾽ αὐτὸν ἱστορίας Ἰώσηπος ἐν ὀκτωκαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας τοῦτον γράφων τὸν τρόπον· «τισιν δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἰουδαίων στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ καλουμένου βαπτιστοῦ. κτείνει γὰρ τοῦτον Ἡρώδης, ἀγαθὸν ἄνδρα καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσι καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς θεὸν εὐσεβείᾳ χρωμένοις βαπτισμῷ συνιέναι. οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φαίνεσθαι.»

VI. Ἀπὸ τοῦ αὐτοῦ. «Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου.[3]» οἷς ἐπιλέγει· «ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων, ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ.[4]»

Καὶ ταῦτα διὰ τῶν τοῦ σωτῆρος ἡμῶν προφανῶς παραδόξων ἔργων ἐπληροῦτο μετὰ τὸ Ἰωάννου κήρυγμα. ὅρα τοιγαροῦν ὅπως τὴν ἔρημον εὐαγγελίζεται, οὐχ ἁπλῶς οὐδὲ τὴν τυχοῦσαν ἀλλ᾽ ἐκείνην ἀφωρισμένως καὶ μόνην τὴν παρὰ τῷ Ἰορδάνῃ ποταμῷ. ἐπειδήπερ παρὰ ταύτῃ διατρίβων ὁ Ἰωάννης ἐβάπτιζεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα· «ἐγένετο Ἰωάννης ἐν τῇ ἐρήμῳ βαπτίζων[5]», «καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται

1. Μάρκ. 1, 2. (Πρβλ. Μαλ. 3, 1). 2. Πρβλ. Ματθ. 11, 18. Λουκ. 7, 33. 3. Ἡσ. 35, 1-2. 4. Ἡσ. 32, 3-6. 5. Μάρκ. 1, 4.

πάντες, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ Ἰορδάνῃ.[1]» τὴν μὲν οὖν ἔρημον τῆς πάλαι πάντων τῶν κατὰ θεὸν ἀγαθῶν ἐρήμου, λέγω δὴ τῆς ἐξ ἐθνῶν ἐκκλησίας, σύμβολον περιέχειν ἡγοῦμαι, τὸν δὲ ποταμὸν τὸν ἐπὶ τῆς ἐρήμου καθαίροντα πάντας τοὺς ἀπολουομένους ἐν αὐτῷ καθαρσίου τινὸς εἶναι κατὰ διάνοιαν θεωρουμένου εἰκόνα, περὶ οὗ διαλαλοῦσιν αἱ γραφαὶ λέγουσαι· «τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ.[2]» σημαίνει δὲ τοῦτο τὴν ἀέναον ἐπιρροὴν τοῦ θείου πνεύματος ἄνωθεν πηγάζοντος καὶ τὴν τοῦ θεοῦ πόλιν ἄρδοντος (οὕτω καλουμένης τῆς κατὰ θεὸν πολιτείας). οὗτος δὴ οὖν ὁ ποταμὸς τοῦ θεοῦ καὶ μέχρι τῆς ἐρήμου κατελήλυθεν, δηλαδὴ τῆς ἐξ ἐθνῶν ἐκκλησίας, καὶ ταύτῃ τῶν ἐν αὐτῷ ζωτικῶν ναμάτων εἰσέτι νῦν ἐπιχορηγεῖ.

Πρὸς τούτοις ἡ προφητεία τῇ δηλωθείσῃ ἐρήμῳ δοθήσεσθαί φησιν τὴν δόξαν τοῦ Λιβάνου καὶ τὴν τιμὴν τοῦ Καρμήλου.[3] τίς δὲ ἔστιν «ἡ δόξα τοῦ Λιβάνου» ἢ ἡ διὰ θυσιῶν κατὰ τὸν Μωσέως νόμον ἐπιτελουμένη λατρεία, ἣν παραιτησάμενος ὁ θεὸς διὰ τῆς λεγούσης προφητείας «ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρετε[4]», καὶ «τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν[5]», ἐπὶ τὴν ἔρημον τοῦ Ἰορδάνου μετατέθεικεν τὴν δόξαν τῆς Ἱερουσαλήμ, τῆς κατ' εὐσέβειαν ἀγωγῆς οὐκ ἐπὶ Ἱερουσαλὴμ ἀλλ' ἐπὶ τῆς ἐρήμου συντελεῖσθαι ἀρξαμένης ἀπὸ τῶν Ἰωάννου χρόνων. ὡσαύτως δὲ καὶ «ἡ τιμὴ[6]» τοῦ νόμου τῶν τε κατ' αὐτὸν σωματικώτερον νενομοθετημένων δέδοται τῇ ἐρήμῳ τοῦ Ἰορδάνου διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, ὅτι μηκέτ' ἐπὶ τῆς Ἱερουσαλὴμ προσέφευγον οἱ τῆς κατὰ ψυχὴν θεραπείας δεόμενοι, ἀλλ' ἐπὶ τὴν ὀνομαζομένην ἔρημον, τῆς ἐν αὐτῇ κηρυττομένης ἀφέσεως τῶν ἁμαρτημάτων ἕνεκεν. οἶμαι δὲ καὶ τοῦ σωτῆρος ἡμῶν τὴν ἐπὶ τὸ βάπτισμα παρουσίαν δηλοῦσθαι διὰ τοῦ «καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου καὶ τὸ ὕψος τοῦ θεοῦ.[7]» τότε γὰρ καὶ ὤφθη τοῦ σωτῆρος ἡμῶν ἡ δόξα, ὅτε «βαπτισθεὶς ἀνέβη ἀπὸ τοῦ ὕδατος, καὶ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδεν τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστεράν, καὶ μένον ἐπ' αὐτόν[8]», ὅτε καὶ «φωνὴ ἐκ τῶν οὐρανῶν» ἠκούσθη «λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.[9]» ἀλλὰ καὶ πᾶς ὁ γνησίως ἐπὶ τὸ τοῦ λουτροῦ παριὼν μυστήριον, τὴν περὶ τοῦ Χριστοῦ παραλαβὼν θεολογίαν, τὴν δόξαν αὐτοῦ θεάσεται, λέξων ἂν ὁμοίως τῷ Παύλῳ· «εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.[10]»

VII. Ἀπὸ Ψαλμοῦ Ϟ'. «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου· ὁ θεός μου βοηθός μου, καὶ

1. Μάρκ. 1, 5. 2. Ψαλμ. 45, 5. 3. Ἡσ. 35, 2. 4. Ἱερ. 6, 20. 5. Ἡσ. 1, 11. 6. Ἡσ. 35, 2. 7. Ἡσ. 35, 2. 8. Ματθ. 3, 16. (Πρβλ. Ἰω. 1, 32). 9. Ματθ. 3, 17. 10. Β' Κορ. 5, 16.

ἐλπιῶ ἐπ' αὐτὸν ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους· ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. ὅτι σύ, κύριε, ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου· «ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· ἐπὶ χειρῶν ἀροῦσίν σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα[ν] σου. ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.[1]»

Ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ θεοῦ, καθ' ὃ ἐνηνθρώπει ἐπινοούμενος «ὁ κατοικῶν» λέγεται «ἐν βοηθείᾳ τοῦ ὑψίστου», «ἐν σκέπῃ τοῦ θεοῦ[2]» καὶ πατρὸς αὐλιζόμενος. οὗτος δὴ οὖν μόνον τὸν πατέρα καὶ οὐδ' ἕτερον καταφυγὴν[3] ἐν τῷ καιρῷ τοῦ κατὰ τὸν διάβολον πειρασμοῦ κεκτημένος ἐρρύσθη ποτὲ ἐκ τῶν παγίδων τῶν ἀντικειμένων δυνάμεων, «θηρευτῶν[4]» νῦν ὀνομαζομένων, ὁπηνίκα οἷά τις κοινὸς ἄνθρωπος «ἀνήχθη εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου[5]», καὶ ἦν ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν», ὡς ὁ εὐαγγελιστὴς μαρτυρεῖ, «μετὰ τῶν θηρίων.[6]» ποίων δὲ τούτων ἢ ὧν μνημονεύει ὁ μετὰ χεῖρας ψαλμός, πρὸς τὸν «ἐν βοηθείᾳ τοῦ ὑψίστου[7]» κατοικοῦντα λέγων· «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα;[8]» οὐ μόνον δὲ ἀπὸ τούτων ῥυσθήσεσθαι τὸν αὐτόν, ἀλλὰ «καὶ ἀπὸ λόγου ταραχώδους[9]» φησίν. τίς δ' ἂν εἴη καὶ οὗτος ἢ ὅνπερ αὐτῷ προύτεινεν ὁ πειράζων κατὰ τὸ ἱερὸν εὐαγγέλιον;[10]

Τὸ δ' αἴτιον τοῦ πειράζεσθαι τὸν τηλικοῦτον σωτῆρα ἡμῶν σκοπῆσαι ἄξιον. μέλλων ἐξ ἀνθρώπων «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν[11]» τά τε ἐνοχλοῦντα πνεύματα καὶ τοὺς ἀκαθάρτους δαίμονας ἐξ αἰῶνος μακροῦ τῶν ἐπὶ γῆς πάντων διὰ τῆς πολυθέου δεισιδαιμονίας κεκρατηκότας ἐλαύνειν, οὐκ ἐκ τοῦ ἀφανοῦς ὥσπερ ἐπικρυπτόμενος ἐπὶ τὰ εἰρημένα παρήει, τοῖς παρενοχλοῦσι δὲ πρότερον ἀοράτοις ἄρχουσιν δι' οὗ ἀνείληφεν ἀνθρώπου ἐπιστρατεύσας, καὶ εἰς μέσον αὐτοῦ τοῦ διαβόλου καὶ παντὸς τοῦ δαιμονικοῦ στίφους παρελθών, ἐπιβάς τε ἀσπίδι καὶ βασιλίσκῳ, καὶ καταπατήσας «λέοντα

---

1. Ψαλμ. 90, 1-13. 2. Πρβλ. Ψαλμ. 90, 1. 3. Πρβλ. Ψαλμ. 90, 2. 4. Πρβλ. Ψαλμ. 90, 3. 5. Ματθ. 4, 1. 6. Μάρκ. 1, 13. 7. Ψαλμ. 90, 1. 8. Ψαλμ. 90, 13. 9. Ψαλμ. 90, 3. 10. Πρβλ. Ματθ. 4, 6. 11. Ματθ. 4, 23.

καὶ δράκοντα[1]», καὶ πολὺ πρότερον καθελὼν τῶν ἀρχοντικῶν ἐχθρῶν χιλιάδας καὶ μυριάδας, τὰς μὲν ἐκ τῶν δεξιῶν[2] τὰς δὲ ἐκ τῶν εὐωνύμων πολεμούσας, «ἀρχάς» τε καὶ «ἐξουσίας», καὶ δὴ καὶ τοὺς λεγομένους «κοσμοκράτορας τοῦ σκότους τούτου», τά τε «πνευματικὰ τῆς πονηρίας[3]», πάντα δὴ οὖν ταῦτα τὸ μηθὲν ἰσχύειν ἀπελέγξας, καὶ τέλος αὐτὸν τὸν τῶν κακῶν ἔξαρχον διάβολον «τῷ λόγῳ τοῦ στόματος αὐτοῦ[4]» μακρὰν ἀποσοβήσας, διελθών τε καὶ ἐμπεριπατήσας τὴν ἀντικειμένην ἅπασαν δύναμιν, καὶ ἑαυτὸν μὲν παρασχὼν τοῖς θέλουσιν προσιέναι καὶ πειράζειν, μηδενὸς δὲ στῆναι πρὸς αὐτὸν δεδυνημένου, οὕτως ἐπὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν παρήει. διὸ καὶ ὁρῶντες αὐτὸν οἱ δαίμονες ἐπεγίνωσκον ἀπὸ τῆς προδηλωθείσης κατὰ τὴν ἔρημον διατριβῆς, φάσκοντες αὐτῷ· «τί ἡμῖν καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ θεοῦ;[5]»

Ταῦτα μὲν οὖν περὶ τῶνδε. τὰ δ' ἑξῆς τοῦ ψαλμοῦ πρὸς αὐτὸν ἀναπεφώνηται τὸν Χριστὸν ἀπὸ τοῦ «ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι» δηλονότι ὁ ὕψιστος, «καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.[6]» καὶ ἐπειδήπερ ἡμέραις τεσσαράκοντα καὶ ταῖς τοσαύταις νυξὶν ἐπειράζετο[7], περὶ μὲν τῶν ἀμφὶ τὰς νύκτας ἐπιόντων αὐτῷ λέλεκται «οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ[8]», περὶ δὲ τῶν ἀμφὶ τὰς ἡμέρας αὐτὸν πολεμούντων τὸ «ἀπὸ βέλους πετομένου ἡμέρας[9]», καὶ αὖθις περὶ μὲν τῶν ἐν νυκτὶ «ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου[10]», περὶ δὲ τῶν ἐν ἡμέρᾳ «ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.[11]» εἶτ' ἐπείπερ ἐν τῷ πειράζειν δυνάμεις πονηραὶ ἐκύκλουν αὐτόν, ⟨καὶ⟩ αἱ μὲν τὰ δεξιὰ πλευρὰ συνεῖχον αὐτοῦ, πολὺ δὲ πλείους τῶν ἀριστερῶν, ὡς ἂν κραταιότερα μέρη τὰ δεξιά, εἰκότως αὐτῷ ἐπιλέγεται· «πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ[12]», «κλίτους» ἀντὶ τοῦ ἀριστεροῦ ὠνομασμένου, παρασεσιωπημένου δὲ εἰκότως τοῦ ὀνόματος «τοῦ ἀριστεροῦ», τῷ μηδὲν σκαιὸν μηδὲ ἀριστερὸν εὑρίσκεσθαι ἐν αὐτῷ. καὶ ἐπειδὴ ὅλη μυριὰς ὁμοῦ δὲ καὶ χιλιὰς ἔκ τε τοῦ κλίτους αὐτοῦ καὶ ἀπὸ τῶν δεξιῶν πεσεῖσθαι λέγονται, εἰκότως ἐπὶ τούτοις ἑξῆς εἴρηται· «πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.[13]»

Καὶ ἔσται ταῦτα, φησίν, περὶ σὲ τὸν Χριστὸν τοῦ θεοῦ, ἐπειδήπερ σὺ αὐτός, ὦ «κύριε», ὃς τυγχάνεις ὢν ἡ ἐμὴ «ἐλπίς», «τὸν ὕψιστον ἔθου καταφυγήν σου.[14]» ἔνθα καὶ ἐπιστήσεις, τίνα τρόπον ὁ προφήτης πρὸς αὐτὸν τὸν κύριόν φησιν· «ὅτι σύ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου[15]», διαιρῶν ἀκριβῶς ἕτερον ἰδίως

---

1. Πρβλ. Ψαλμ. 90, 13. 2. Πρβλ. Ψαλμ. 90, 7. 3. Πρβλ. Ἐφ. 6, 12. 4. Ἠσ. 11, 4. 5. Ματθ. 8, 29. 6. Ψαλμ. 90, 4. 7. Πρβλ. Μάρκ. 1, 13. 8. Ψαλμ. 90, 5. 9. Ψαλμ. 90, 5. 10. Ψαλμ. 90, 6. 11. Ψαλμ. 90, 6. 12. Ψαλμ. 90, 7. 13. Ψαλμ. 90, 8. 14. Ψαλμ. 90. 9. 15. Ψαλμ. 90, 9.

κύριον καὶ τὸν τούτου πατέρα, θεὸν ὕψιστον. διὸ ἐπειδήπερ αὐτὸν ὡς πατέρα καὶ θεὸν ὕψιστον καταφυγὴν ἑαυτοῦ ὁ Χριστὸς τέθειται, λέλεκται αὐτῷ τὸ «οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξει σε ἐν πάσαις ταῖς ὁδοῖς σου· ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.[1]» καὶ ἐπιμελῶς γε τήρει, τίνα τρόπον ἐν τῷ «ὅτι σύ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου» τὸ κύριε διὰ τοῦ τετραγράμμου ὀνόματος ἐν τῷ Ἑβραϊκῷ φέρεται, ὅπερ ἀνεκφώνητον εἶναι λέγοντες Ἑβραίων παῖδες ἐπὶ μόνου τοῦ θεοῦ παραλαμβάνειν εἰώθασιν, ἡμεῖς δὲ καὶ ἐπὶ τῆς τοῦ λόγου θεότητος ἐν πλείσταις κείμενον γραφαῖς προαπεδείξαμεν, ὥσπερ καὶ ἐν τῷ μετὰ χεῖρας ψαλμῷ, ὅς φησιν εἰς πρόσωπον αὐτοῦ τοῦ κυρίου «ὅτι σύ, κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου[2]», μονονουχὶ λέγων ὅτι σὺ αὐτός, ὦ κύριε, ὃς ἐμοῦ τοῦ ταῦτα προφητεύοντος ἐλπὶς ὢν τυγχάνεις, μείζονα σαυτοῦ τὸν θεὸν τὸν ὕψιστον εἰδώς, ἐκεῖνον αὐτὸν «ἔθου καταφυγήν σου.» ὅθεν καὶ ἐν ἀρχῇ ἐλέγετο τοῦ ψαλμοῦ περὶ τοῦ αὐτοῦ «ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. ἐρεῖ τῷ κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.[3]» ἐπειδὴ τοίνυν σύ, ὦ κύριε, «τὸν ὕψιστον ἔθου καταφυγήν σου[4]», τούτου χάριν αὐτὸς ὁ ὕψιστος, φησί, «ῥύσεταί» σε «ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους», καὶ «ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι.[5]» διόπερ τὴν τοιαύτην ἔχων πατρικὴν τοῦ ὑψίστου βοήθειαν «οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ[6]» οὔτε ἀπό τινος τῶν προκατειλεγμένων, ἀλλ' οὐδὲ ἐκ τῶν ἑξῆς ἐπιφερομένων. ἐπεὶ γὰρ «σύ, κύριε, τὸν ὕψιστον ἔθου καταφυγήν σου[7]», διὰ τοῦτο «οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.[8]» «μάστιγας[9]» δὲ τὰς ἀπὸ δαιμόνων ἐνεργείας καὶ ἐν τοῖς εὐαγγελίοις ὀνομαζομένας ἂν εὕροις, ἃς οὐδὲ πλησιάζειν τολμᾶν τῷ σκηνώματι τοῦ Χριστοῦ, τουτέστιν τῷ σώματι αὐτοῦ, δυνατὰς εἶναί φησιν. πῶς γάρ, ὅτε λόγῳ μόνον αὐτὰς ἐξ ἀνθρώπων ἤλαυνεν; περὶ τούτου δὲ τοῦ σκηνώματος καὶ ὁ Δαβίδ ποτε ὤμοσεν τῷ κυρίῳ καὶ ηὔξατο τῷ θεῷ Ἰακώβ, λέγων «εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ.[10]» καὶ τούτου γε ἕνεκα τοῦ σκηνώματος ἐλέγετο ⟨τὸ⟩ «οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ[11]», καὶ τὸ «αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευ-

---

1. Ψαλμ. 90, 10-12. 2. Ψαλμ. 90. 9. 3. Ψαλμ. 90, 1-2. 4. Ψαλμ. 90, 9. 5. Πρβλ. Ψαλμ. 90, 3-4. 6. Ψαλμ. 90, 5. 7. Ψαλμ. 90, 9. 8. Ψαλμ. 90, 10. 9. Πρβλ. Μάρκ. 3, 10. Λουκ. 7, 21. 10. Ψαλμ. 131, 3-5. 11. Ψαλμ. 90, 5.

τῶν, καὶ ἀπὸ λόγου ταραχώδους[1]», καὶ τὸ «οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου[2]», καὶ ὅσα ἀνθρωπινώτερα περὶ αὐτοῦ λέλεκται, ὡς καὶ τὸ «τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε[3]», καὶ τὸ «ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.[4]» ταῦτα γὰρ οὐκ ἂν ὡς πρὸς θεὸν λέγεσθαι ἁρμόσοι, πρὸς δὲ τὸ σκήνωμα αὐτοῦ ὅπερ δι' ἡμᾶς ἀνείληφεν, ὅτε «ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν.[5]» δοκεῖ δέ μοι καλῶς ἔχειν ὑπὲρ ἀκριβοῦς βεβαιώσεως τῶν εἰρημένων καὶ τὰς τῶν λοιπῶν ἑρμηνευτῶν παραθεῖναι φωνάς· ὧν ὁ μὲν Ἀκύλας οὕτως ἔφησεν· «ὅτι σύ, κύριε, ἐλπίς μου, ὕψιστον ἔθηκας οἰκητήριόν σου. οὐ μεταχθήσεται πρὸς σὲ κακά, καὶ ἁφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου· ὅτι ἀγγέλοις αὐτοῦ ἐντελεῖται τοῦ φυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου», ὁ δὲ Σύμμαχος· «σὺ γάρ, κύριε, ἀφοβία μου, ὑψίστην ἔθου τὴν οἴκησίν σου. οὐ κατισχύσει σου κακόν, οὐδὲ ἁφὴ ἐγγιεῖ τῇ σκηνῇ σου· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς.» οὐκοῦν διὰ τούτων αὐτῶν τῷ κυρίῳ λέλεκται ὡς περὶ ἑτέρου μείζονος τὸ «τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάσ‹σ›ειν σε ἐν πάσαις ταῖς ὁδοῖς· ἐπὶ χειρῶν ἀροῦσί σε» (δηλαδὴ σὲ τὸν κύριον), «μήποτε» σὺ ὁ κύριος «προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.[6]» ταύταις δὲ καὶ ὁ διάβολος ταῖς λέξεσιν ἐν τῷ κατὰ τοῦ σωτῆρος ἡμῶν πειρασμῷ κέχρηται, ὅτε παραλαβὼν αὐτὸν «εἰς τὴν ἁγίαν πόλιν, ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐτῷ, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· γέγραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.[7]» πρὸς ὃν ὁ κύριος ἡμῶν ἀποκριθεὶς εἶπεν· «γέγραπται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου.[8]»

Εἶτ' ἐπεὶ ἐν τῷ πειρασμῷ «μετὰ τῶν θηρίων[9]» κατὰ τὸν εὐαγγελιστὴν διέτριβεν, ποίων δὲ οὐκ ἀναγέγραπται, σαφέστερον τοῦτο αὐτὸ ἡ τοῦ ψαλμοῦ προφητεία, τὰ εἴδη τῶν θηρίων αἰνιττομένη, φησίν· «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.[10]» αὐτὸς μὲν οὖν τὰ ἀρχικώτατα τῶν νοητῶν θηρίων, λέοντα καὶ δράκοντα, ἀσπίδα τε καὶ βασιλίσκον, αὐτὸν δηλαδὴ τὸν διάβολον καὶ τὰς μετ' αὐτὸν ἀρχοντικὰς καὶ πονηρὰς δυνάμεις καταπατήσειν μεμαρτύρηται. τοῖς δὲ τὴν ὁμοίαν ἀρετὴν αὐτῷ κεκτημένοις μαθηταῖς καὶ ἀποστόλοις αὐτοῦ «τὴν ἐξουσίαν» αὐτὸς «τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων[11]» δωρεῖται, οὐκ ἐῶν αὐτοὺς πειρασθῆναι ὑπὲρ ὃ δύναιντο.[12] μόνου γὰρ ἦν αὐτοῦ τὸ τὰς χείρους ἐν πο-

1. Ψαλμ. 90, 3. 2. Ψαλμ. 90, 10. 3. Ψαλμ. 90, 11. 4. Ψαλμ. 90, 12. 5. Ἰω. 1, 14. 6. Ψαλμ. 9, 11-12. 7. Ματθ. 4, 5-6. 8. Ματθ. 4, 7. 9. Μάρκ. 1, 13. 10. Ψαλμ. 90, 13. 11. Λουκ. 10, 19. 12. Πρβλ. Α' Κορ. 10, 13.

νηρίᾳ δυνάμεις καὶ αὐτὸν δὴ τὸν πάντων ἄρχοντα καὶ τύραννον τοῦ αἰῶνος τούτου[1] τῇ ἐνθέῳ αὐτοῦ δυνάμει καθαιρεῖν.

VIII. Ἀπὸ τοῦ Ἡσαΐου. «Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλών, ἡ γῆ Νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα· καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου ὡς οἱ εὐφ⟨ρ⟩αινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. διότι ἀφαιρεθήσεται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν· τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν κύριος, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν, καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, ἐξουσιαστής, θεὸς ἰσχυρός, πατὴρ τοῦ μέλλοντος αἰῶνος.[2]»

Πρὸς ἅπασι τοῖς ἄλλοις ἐπληροῦτο καὶ ταῦτα ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ θεοῦ, ὅτε κατὰ τὸν θαυμαστὸν εὐαγγελιστὴν «ἀκούσας ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. καὶ καταλιπὼν τὴν Ναζαρέθ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος, γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδεν μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. ἀπὸ τότε» γοῦν «ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν», ὅτι «ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. παράγων δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν καλούμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς, καὶ λέγει αὐτοῖς, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς· οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ. καὶ περιῆγεν ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, ποικίλαις

1. Πρβλ. Α' Κορ. 2, 6. 2. Ἡσ. 9, 1-6.

νόσοις καὶ βασάνοις συνεχομένους, δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς· καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας[1].»

Ὅλα δὲ ταῦτα ἐκτέθειμαι τῆς προφητείας ἕνεκεν, τῇ Γαλιλαίᾳ μέγα φῶς ἔσεσθαι ἐπαγγελ⟨λ⟩ομένης τῇ τε χώρᾳ Ζαβουλὼν καὶ Νεφθαλείμ, οὐδετέρᾳ τυγχανούσῃ τῆς Γαλιλαίας τῶν ἐθνῶν.[2] διὰ τί δὲ ἐπὶ τῆς Γαλιλαίας τῶν ἐθνῶν τὰς πλείστας ἐποιήσατο διατριβὰς ⟨ἢ⟩ τῆς ἁπάντων τῶν ἐθνῶν κλήσεως προοίμια καταβαλλόμενος; ἐντεῦθεν γοῦν ὁρμωμένους τοὺς αὐτοῦ μαθητὰς ἀνακέκλητο. διὸ μετὰ βραχέα τοῦ εὐαγγελίου εὑρήσεις ἀπὸ τῆς Γαλιλαίας τὸν Ματθαῖον[3] κεκλημένον, καὶ ἐν ἑτέρῳ δὲ πάλιν τὸν Λευίν.[4] καὶ ὁ Φίλιππος δὲ κατὰ τὸν Ἰωάννην «ἀπὸ Βηθσαϊδᾶ» ὡρμᾶτο «ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου·[5]» καὶ αὕτη δὲ τῆς Γαλιλαίας ἦν. ἀλλὰ καὶ παρ' αὐτῷ τῷ εὐαγγελιστῇ «γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας[6]», ἔνθα παραδόξως ὁ κύριος τὸν ἐξ ὕδατος οἶνον μετασκευάσας «ἀρχὴν» αὐτόθι «τῶν σημείων» ἐποιήσατο, ὅτε «καὶ ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταί.[7]» θεία δὲ εἰ μὴ αὐτὸ τοῦτο πρῶτον τοῦ σωτῆρος ἡμῶν θαῦμα ἐν Κανᾷ τῆς Γαλιλαίας γενόμενον ἐπὶ τῆς τοῦ οἴνου μεταβολῆς θεσπίζων ἐν ἀρχῇ τῆς προφητείας παρίστησιν ὁ παρὼν λόγος, φάσκων· «τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, Γαλιλαία τῶν ἐθνῶν.[8]» εἰ δὲ σύμβολον ἦν τὸ παράδοξον μυστικωτέρου κράματος, μεταβληθέντος ἐκ τῆς σωματικωτέρας ἐπὶ τὴν νοερὰν καὶ πνευματικὴν εὐφροσύνην τοῦ πιστικοῦ τῆς καινῆς διαθήκης κράματος, ὅρα μήποτε καὶ τοῦτο τοῖς περὶ τῆς Γαλιλαίας δηλουμένοις ἀκολούθως ᾐνίττετο, θεσπίζων ὡς ἄρα μελλήσουσιν ἐπὶ τῇ Χριστοῦ παρουσίᾳ πρώτιστοι πάντων οἱ τὴν Ζαβουλὼν καὶ Νεφθαλεὶμ οἰκοῦντες, ἀλλ' οὐχ οἱ τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσαλήμ, τοῦ πόματος τοῦ εὐαγγελικοῦ κηρύγματος μεταλήψεσθαι.

Αἰτίαν δὲ τούτοις τῆς εὐφροσύνης φησὶ γενέσθαι τὴν τοῦ μεγάλου φωτὸς ἔκλαμψιν, οἳ πρὸ τῆς παρουσίας ἐν σκότει καθεζόμενοι «ἐν χώρᾳ καὶ σκιᾷ θανάτου» διῆγον·[9] ἀνατεταλκότος δὲ αὐτοῖς τοῦ σωτηρίου φωτός, τοῦτον «εὐφρανθήσονται» τὸν τρόπον, ὡς «οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.[10]» καὶ ταῦτα δὲ ἔργῳ ἐπληροῦτο, ὅτε τοὺς ἀποστόλους ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἀπὸ τῆς Γαλιλαίας προσκαλεσάμενος, τὰ παράδοξα τῶν ἔργων καὶ τὴν διδασκαλίαν αὐτοῖς ἐπεδείκνυτο. εὐφρανθήσεσθαι δὲ αὐτοὺς ἐναντίον αὐτοῦ ἡ προφητεία θεσπίζει δίκην τῶν εὐφραινομένων «ἐν

---

1. Ματθ. 4, 12-25. 2. Πρβλ. Ἡσ. 9, 1-2. 3. Πρβλ. Ματθ. 9, 9. 4. Πρβλ. Μάρκ. 2, 14. Λουκ. 5, 27. 5. Πρβλ. Ἰω. 1, 44. 6. Ἰω. 2, 1. 7. Ἰω. 2, 11. 8. Ἡσ. 9, 1. 9. Πρβλ. Ἡσ. 9, 2. (Πρβλ. Ματθ. 4, 16). 10. Ἡσ. 9, 3.

ἀμητῷ.[1]» ποίῳ δὲ τούτῳ ἢ περὶ οὗ διδάσκων αὐτὸς ἔλεγεν· «ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.[2]» ἐδήλου δὲ διὰ τούτων τὴν τῶν ἐθνῶν ἐπισυναγωγήν. περὶ τῶν αὐτῶν δὲ εἴρηται ὅτι «εὐφρανθήσονται ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα.[3]» διελόμενοι γοῦν εἰς ἀλλήλους τὰς χώρας τῶν ἐθνῶν καὶ τὴν ὑφ' ἥλιον πᾶσαν οἱ τοῦ σωτῆρος ἡμῶν μαθηταί τε καὶ εὐαγγελισταὶ μυρίους ὅσους ἐσκύλευσαν ἄρχοντας τοῦ αἰῶνος τούτου τοὺς πρότερον τῶν ἐθνῶν κρατοῦντας. οὐ μὴν ἀλλὰ καὶ ἄλλο αἴτιον τοῦ εὐφρανθήσεσθαι αὐτούς φησιν, τὸ ἦρθαι ἀπ' αὐτῶν τὸν σωματικὸν τοῦ νόμου ζυγὸν τὸν πάλαι πρότερον ἐπικείμενον αὐτοῖς[4], ὃν οὔτε αὐτοὶ οὔτε οἱ πατέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι.[5] οὐ μόνον δὲ ὁ ζυγὸς ἀφήρηται αὐτῶν, ἀλλὰ καὶ ἡ ῥάβδος τῶν ἀπαιτούντων, ἡ πρότερον «ἐπὶ τοῦ τραχήλου αὐτῶν» ἐπικειμένη.[6] δηλοῖ δὲ τοὺς ἀπαιτοῦντας, ἐν ἑτέρῳ λέγων· «λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύουσιν ὑμῶν.[7]» ἀλλ' οὗτοι μὲν οἱ ἀπὸ τῆς Ζαβουλὼν καὶ Νεφθαλεὶμ τὸ μέγα φῶς τεθεαμένοι[8] εὐφρανθήσονται διὰ τὰ προειρημένα, οἱ δὲ πάλαι ἀπαιτοῦντες αὐτοὺς ἐκπραχθήσονται μέχρι κοδράντου ἐσχάτου[9], «πᾶσάν» τε «στολὴν» καὶ πᾶν «ἱμάτιον» ἀποτίσαντες «πυρίκαυστοι» γενήσονται[10] ἐν τῷ τῆς ἐκπράξεως καιρῷ. καὶ ταῦτά γε πάντα φησὶν πείσεσθαι, διότι «παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν», ὁ τῆς «μεγάλης βουλῆς ἄγγελος.[11]» τίσιν δὲ «ἡμῖν» ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι, καὶ πάσῃ δηλαδὴ τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν, οἷς τὸ μέγα φῶς ἀνατέταλκεν;[12] τί δὲ ἦν τοῦτο ἀλλ' ἢ τὸ γεγεννημένον παιδίον καὶ ὁ παρὰ τοῦ θεοῦ δοθεὶς «υἱός», «μεγάλης βουλῆς ἄγγελος», «καὶ ἄρχων εἰρήνης», καὶ «ἐξουσιαστής», καὶ «θεὸς ἰσχυρός», καὶ «πατὴρ τοῦ μέλλοντος αἰῶνος» ὠνομασμένος;[13] ταῦτα δὲ ἤδη φθάσαντες ἐπὶ μόνον ἀναφέρεσθαι τὸν σωτῆρα καὶ κύριον ἡμῶν κατὰ τὸν οἰκεῖον καιρὸν προαπεδείξαμεν.

IX. Ἀπὸ Ψαλμοῦ ξζ'. «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεός, αἱ πορεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν ἁγίῳ· προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ. ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ.[14]»

Κἀνταῦθα τοὺς δηλουμένους ἄρχοντας Νεφθαλεὶμ οὐκ ἄλλους ἡγοῦμαι τῶν ἀποστόλων τυγχάνειν. ἐνθένδε γὰρ αὐτοὺς ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἀναλέλεκται κατὰ τὴν Ματθαίου παράθεσιν.[15] τὴν

1. Πρβλ. Ἠσ. 9, 3. 2. Ἰω. 4, 35. 3. Ἠσ. 9, 3. 4. Πρβλ. Ἠσ. 9, 4. 5. Πρβλ. Πράξ. 15, 10. 6. Πρβλ. Ἠσ. 9, 4. 7. Ἠσ. 3, 12. 8. Πρβλ. Ἠσ. 9. 1-3. 9. Πρβλ. Ματθ. 5, 26. 10. Πρβλ. Ἠσ. 9, 5. 11. Ἠσ. 9, 6. 12. Ἠσ. 9, 1, 2. 13. Πρβλ. Ἠσ. 9, 6. 14. Ψαλμ. 67, 25-28. 15. Πρβλ. Ματθ. 4, 13 ἑξ.

εἰς ἀνθρώπους δὲ πορείαν καὶ τὴν ἔνσαρκον ἐπιδημίαν τοῦ θεοῦ λόγου θεσπίζουσα ἡ γραφή φησιν· «ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ θεός[1]», καὶ τὰ ἑξῆς. ταύτης δὲ τῆς ἐπιφανείας ὡσανεὶ πρόδρομοι γεγονότες οἱ πάλαι θεοφιλεῖς προφῆται, διὰ ψαλτηρίου καὶ χορῶν καὶ παντοίων πνευματικῶν ὀργάνων κηρύττοντες καὶ ἀνυμνοῦντες «προέφθασαν» «ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.[2]» πάντως γάρ που τῶν ἐκ περιτομῆς συναγωγῶν εἰς μέσον παριόντες οἱ θεῖοι προφῆται τὴν τοῦ Χριστοῦ προκατήγγελλον ἄφιξιν, οἱ δ' αὐτοὶ τῷ θείῳ πνεύματι τοῖς τοῦ σωτῆρος ἡμῶν ἀποστόλοις προσεφώνουν λέγοντες· «ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ.[3]» πηγαὶ δὲ Ἰσραὴλ οἱ λόγοι ἂν εἶεν οἱ τῷ Ἰσραὴλ παραδεδομένοι. «πρῶτοι γὰρ ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ[4]», ὅθεν ἀντλοῦντας καὶ ἡμᾶς ἀρδεύειν δεήσει τὰς ἐκκλησίας τοῦ Χριστοῦ. νεάνιδας δὲ καὶ τυμπανιστρίας[5] τὰς πάλαι σωματικώτερον κατὰ τὸν Μωσέως νόμον βιούσας ψυχὰς ᾐνίξατο, διὰ μὲν τὸ νεώτερον καὶ ἀτελὲς τοῦ φρονήματος νεάνιδας, διὰ δὲ τὸ περὶ σωματικὴν κατατρίβεσθαι θρησκείαν τυμπανιστρίας αὐτὰς ἀποκαλέσας.

X. Ἀπὸ τοῦ Ἡσαΐου. «Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέν με κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.[6]»

Καὶ ταύτην αὐτὸς ὁ κύριος ἡμῶν τὴν πρόρρησιν εἰς ἑαυτὸν ὁμολογεῖ πεπληρῶσθαι, ὅτε ἐλθὼν «εἰς τὴν Ναζαρέτ, οὗ ἦν ἀνατεθραμμένος, εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν[7]», ἀναστάντι δὲ αὐτῷ ἐπεδόθη Ἡσαΐας ὁ προφήτης, οὗ καὶ ἀναπτύξας τὴν βίβλον, ἀνέγνω τὸ ἐγγεγραμμένον, «πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι πτωχοῖς, ἀπέσταλκέν με κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, καλέσαι ἐνιαυτὸν κυρίου δεκτόν. καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν· καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέγειν πρὸς αὐτούς, ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.[8]» ὁ μὲν οὖν σωτὴρ καὶ κύριος ἡμῶν διὰ ταύτης φαίνεται σαφῶς τῆς γραφῆς, διαφερόντως καὶ κρειττόνως παρὰ τοὺς πάλαι σωματικώτερον χριομένους ἱερέας, οὐκ ἐλαίῳ σκευαστῷ οὐδὲ ὑπὸ ἀνθρώπων ὁμοίως τοῖς ἄλλοις ἀλλ' ἐνθέῳ πνεύματι αὐτοῦ δὴ τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ κεχρισμένος, παρ' οὗ καὶ τῆς ἀγενήτου θεότητος μετασχὼν θεὸς καὶ κύριος πρὸς τῶν ἱερῶν ἀνηγόρευται γραφῶν. ἀκολούθως δὲ τῇ μετὰ χεῖρας προφητείᾳ πτωχοῖς εὐαγγε-

1. Ψαλμ. 67, 25. 2. Ψαλμ. 67, 26. 3. Ψαλμ. 67, 27. 4. Ῥωμ. 3,2. 5. Πρβλ. 67, 26. 6. Ἡσ. 61, 1-2. 7. Λουκ. 4, 16. 8. Λουκ. 4, 17-21.

λιζόμενος εἰσάγεται παρὰ τῷ Ματθαίῳ, ὅτε «ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[1]» καὶ τυφλοῖς δὲ ἀνάβλεψιν παρεσχημένος οὐκ ὀλίγοις ἀναγέγραπται· οὐ μόνον γὰρ τοῖς τὰς ὄψεις τοῦ σώματος ἠφανισμένοις τὸ βλέπειν ἐδωρεῖτο, ἀλλά γε καὶ τοῖς πρότερον τυφλώττουσιν αἴτιος τῆς κατὰ νοῦν θεωρίας καὶ τῆς ἐπιγνώσεως τοῦ τῶν ὅλων θεοῦ γέγονεν. καὶ ἄλλοις δὲ τοῖς οὖσι δεσμίοις καὶ ἀπηγμένοις αἰχμαλώτοις ὑπὸ τῆς ἀοράτου καὶ δαιμονικῆς δυνάμεως κακῶν τε σειραῖς πεπεδημένοις ἐλευθερίαν καὶ ἄνεσιν τῶν συνεχόντων ἐκήρυττεν, εἰ καὶ αὐτοὶ τῷ κηρύγματι πιστεύσαντες οἷα λυτρωτῇ καὶ σωτῆρι προσδράμοιεν αὐτῷ καὶ τοῖς αὐτοῦ πεισθεῖεν παραγγέλμασιν. καὶ τὰ λοιπὰ δὲ τοῦ λογίου κατὰ καιρὸν ἐν τοῖς περὶ τῶν ἐπαγγελιῶν ἐξετασθήσεται.

XI. Ἀπὸ τοῦ Δευτερονομίου. «Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει σοι κύριος ὁ θεός σου, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε. κατὰ πάντα ὅσα ᾐτήσω παρὰ κυρίου τοῦ θεοῦ σου ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας λέγοντες, οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν· καὶ εἶπεν κύριος πρός με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀναστήσω αὐτοῖς ὥσπερ σέ, καὶ δώσω τὸ ῥῆμά μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ τι ἂν ἐντείλωμαι αὐτῷ, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.[2]»

Ἐπίστησον, ὅτι μηδεὶς παρ' Ἑβραίοις Μωσεῖ παραπλήσιος προφήτης ἐγήγερται, τουτέστιν νομοθέτης καὶ εὐσεβείας ἀνθρώποις εἰσηγητὴς ἢ μόνος ὁ ἡμέτερος σωτὴρ ὁ Χριστὸς τοῦ θεοῦ. πρὸς γοῦν τῷ τέλει τοῦ Δευτερονομίου λέγεται· «οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωσῆς·[3]» καὶ μὴν μυρίοι προφῆται μετὰ τοῦτον γεγόνασιν, ἀλλ' οὐχ ὡς αὐτός. ὅλον δὲ τοῦτο ἡ τοῦ θεοῦ ὑπόσχεσις ἐπαγγέλλεται, ἕνα τινὰ (οὐχὶ δὲ πολλοὺς) καὶ ὅμοιον ἀναστήσειν αὐτῷ. δηλοῖ δὲ τοῦτον νομοθέτην καὶ εὐσεβείας ἀνθρώπων διδάσκαλον, οἷος μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστός, καὶ οὐδὲ ἄλλος ἀναδέδεικται νομοθέτης ὁμοῦ καὶ προφήτης τοῦ τῶν ὅλων θεοῦ καὶ πατρὸς αὐτοῦ γενόμενος. ἀλλ' ὁ μὲν ἔθνους ἑνὸς ὁ Μωσῆς ἡγήσατο, καὶ κατάλληλα δὲ τούτῳ μόνῳ οὐχὶ δὲ καὶ ἄλλοις ἔθνεσιν νομοθετῶν ἀποδέδεικται· ὁ δέ γε Χριστὸς τοῦ θεοῦ, λαβὼν ἐπαγγελίαν παρὰ τοῦ πατρὸς τὴν «αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου[4]», ὡς ἂν μὴ μόνον Ἰουδαίοις ἀλλὰ καὶ τῷ παντὶ τῶν ἀνθρώπων γένει καινὸς νομοθέτης εὐσεβείας ὑπὸ τοῦ πατρὸς κατα-

1. Ματθ. 5, 1-3. 2. Δευτ. 18, 15-19. 3. Δευτ. 34,10. 4. Ψαλμ. 2, 8.

στῆναι, τῇ πάντων τῶν ἐθνῶν κλήσει δυνατὴν καὶ ἁρμόδιον προβέβληται νομοθεσίαν. θειοτέρᾳ γοῦν ἢ κατὰ Μωσέα δυνάμει κατὰ παντὸς τοῦ κόσμου τοὺς ἱεροὺς αὐτοῦ νόμους διὰ τῶν εὐαγγελιστῶν αὐτοῦ διετάξατο, μείζονι ἢ κατὰ ἄνθρωπον ἐξουσίᾳ νομοθετήσας, εἰπὼν ὅτι «ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις·» «ἐγὼ δὲ λέγω ὑμῖν» μηδὲ ὀργίζεσθαι «εἰκῇ», καὶ τὰ τούτοις ἀκόλουθα[1], ὅσα δὴ ἐν ταῖς ἀναγράπτοις αὐτοῦ διδασκαλίαις ἐμφέρεται, ἐφ' οἷς μαρτυρεῖ λέγων ὁ εὐαγγελιστὴς ὅτι «ἐξεπλήττοντο» πάντες «ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν.[2]»

Τὸν δὲ τρόπον τῆς τοῦ σωτῆρος ἡμῶν διδασκαλίας τε καὶ νομοθεσίας ἐν ἀρχαῖς τῆς παρούσης ὑποθέσεως διελθόντες, ὅτε τὸν χριστιανισμὸν ὅ τι ποτέ ἐστιν εἰς φανερὸν ἤγομεν, ἐπ' ἐκεῖνα καὶ νῦν τοὺς ἐντυγχάνοντας παραπέμψομεν. ἐπιστῆσαι δὲ τῷ λόγῳ ἄξιον, δι' ὃν ὁ κύριος ὑπισχνεῖται προφήτην ἀναστήσειν αὐτοῖς· ἐπειδὴ γὰρ κεκελεύκει μὲν αὐτὸς τῷ Μωσεῖ ἁγνίσαι[3] τὸν πάντα λαὸν ἐφ' ἡμέραις τρισίν, ὡς ἂν γένοιντο θεαταὶ ὁμοῦ καὶ ἀκροαταὶ τῆς ἐνθέου ἐπιφανείας, οἱ δὲ ἐξησθένησαν πρὸς τὴν τοῦ θεοῦ χάριν, δι' ὃ ἐν ἀρχῇ γενόμενοι τῆς θεωρίας παρῃτοῦντο, λέγοντες τῷ Μωσεῖ «σὺ λάλει πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, ἵνα μὴ ἀποθάνωμεν·[4]» εἰκότως διὰ ταῦτα ἀποδέχεται μὲν αὐτοὺς ὁ κύριος τῆς εὐλαβείας, φησὶν δέ· «ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ.[5]» οὐκοῦν καὶ τὸ αἴτιον ἐδίδαξεν τοῦ δίκην προφήτου μέλλειν αὐτὸν τὴν εἰς ἀνθρώπους ἐπιφάνειαν ποιεῖσθαι· τοῦτο δ' ἦν ἀσθένεια ἀνθρώπων καὶ τῆς κρείττονος θεωρίας παραίτησις. ἔχεις τοιγαροῦν καὶ τὴν αἰτίαν τῆς ἐνανθρωπήσεως τοῦ θεσπιζομένου προφήτου. εἰκότως οὖν προσδοκῶντες αὐτὸν οἱ ἐκ περιτομῆς ἐπυνθάνοντο τοῦ βαπτιστοῦ Ἰωάννου καὶ ἔλεγον· «ὁ προφήτης εἶ σύ;» ὁ δὲ ἔφη «οὔ.[6]» ἀλλ' ὁ Ἰωάννης τἀληθὲς ὁμολογῶν οὐ τὸ προφήτης εἶναι ἠρνήσατο, ἦν γάρ, ἀλλὰ τὸ αὐτὸς εἶναι ὁ προφήτης ὁ πρὸς τοῦ Μωσέως δεδηλωμένος, ὅτι δὲ ἀπεσταλμένος εἴη ἔμπροσθεν τοῦ προφήτου ἐκείνου ἐδίδασκεν.[7] καὶ ἐπειδήπερ ὁ λόγος αὐτοῖς δὴ τοῖς ἐκ περιτομῆς ἀναστήσεσθαι τὸν προφήτην ἐθέσπιζεν[8], εἰκότως ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ἅτε δὴ αὐτὸς ὢν ὁ προκεκηρυγμένος, «οὐκ ἦλθον», φησίν, «εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[9]» τοῖς δὲ ἀποστόλοις αὐτοῦ παρῄνει λέγων· «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ[10]», σαφῶς διδάσκων, ὅτι δὴ αὐτοῖς προηγουμένως ἀπέσταλ-

1. Πρβλ. Ματθ. 5, 21 ἑξ. 2. Ματθ. 7, 28-29. 3. Πρβλ. Ἔξ. 19, 10 ἑξ. 4. Ἔξ. 20, 19. (Δευτ. 5, 27). 5. Δευτ. 18, 17-18. 6. Ἰω. 1, 21. 7. Πρβλ. Ἰω. 1, 23. 8. Πρβλ. Δευτ. 18, 15. 9. Ματθ. 15, 24. 10. Ματθ. 10, 5-6.

το τῇ προφητείᾳ ἀκολούθως. ἐπειδὴ δὲ οὐκ ἐδέξαντο τὴν χάριν, ἀπελέγχει μὲν αὐτούς, ἐν ἑτέροις λέγων· «διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος; ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων;[1]» φησὶν δὲ πρὸς αὐτούς· «ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.[2]» καὶ τοῖς γε αὐτοῦ μαθηταῖς μετὰ τὴν ἐκείνων παραίτησιν προστάττει· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου.[3]» οὕτω δῆτα ἡμεῖς μέν, τὰ ἔθνη, τὸν προαναφωνηθέντα καὶ πρὸς τοῦ πατρὸς ἀπεσταλμένον προφήτην, ἅτε νομοθέτην ἅπασι γενόμενον ἀνθρώποις τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας, διὰ τῆς σωτηρίου καὶ εὐαγγελικῆς διδασκαλίας ἔγνωμεν καὶ κατεδεξάμεθα, πληρουμένης κατὰ τὸ αὐτὸ καὶ ἑτέρας προρρήσεως, δι' ἧς εἴρηται· «κατάστησον, κύριε, νομοθέτην αὐτοῖς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.[4]» τὸ δὲ Ἰουδαίων ἔθνος, μὴ παραδεξάμενον τὸν προφητευόμενον, δίκην ἔτισεν τὴν ἀξίαν κατὰ τὴν θείαν πρόρρησιν φήσασαν· «καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.[5]» ἐκδεδίκηται γοῦν ἐκ τοῦ λαοῦ ἐκείνου «πᾶν αἷμα» ἐκχυθὲν «ἐπὶ τῆς γῆς ἀπὸ αἵματος Ἄβελ» «ἕως αἵματος Ζαχαρίου[6]», καὶ αὐτοῦ γε ἐπὶ πᾶσι τοῦ Χριστοῦ, οὗ τὸ αἷμα καθ' ἑαυτῶν ἐξαιτησάμενοι καὶ κατὰ τῶν ἰδίων παίδων[7], εἰσέτι νῦν τῆς τολμηθείσης αὐτοῖς ἀσεβείας τὴν τιμωρίαν ὑπέχουσιν.

XII. Ἀπὸ τοῦ Ἰώβ. «Ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπὶ ἐδάφους.[8]»

Καὶ ταῦτα μόνῳ τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν, ὡς ἂν θεοῦ λόγῳ δημιουργῷ τῶν ὅλων τυγχάνοντι, ἁρμόζοι ἄν· μόνος γοῦν τῶν πώποτε κατὰ τοὺς τῆς ἐνανθρωπήσεως χρόνους, σῶμα καὶ σχῆμα ἀνθρώπινον ἀναλαβών, ἐπὶ τῆς θαλάσσης περιπατῆσαι λέγεται, ὅτι τοὺς ἑαυτοῦ «μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ αὐτὸς ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. τὸ δὲ πλοῖον ἤδη ἦν ἐν μέσῳ τῆς θαλάσσης.[9]» «ἰδόντες» δὲ «αὐτὸν ἐπὶ τῆς θαλάσσης ἐταράχθησαν, λέγοντες ὅτι φάντασμά ἐστιν, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. εὐθέως δὲ ἐλάλησεν αὐτοῖς λέγων, θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε.[10]» ἄλλως δὲ οὐκ ἂν γένοιτο ἀξιοπρεπῆ θεολογίαν δοκεῖν περιέχειν, εἰ ἐπὶ τοῦ ἀνωτάτω θεοῦ καὶ πατρὸς τῶν ὅλων ἐκλαμβάνοι τις τὸ λόγιον. τί γὰρ ἔχει σεμνὸν καὶ ἀξιόλογον ἐπὶ τοῦ θεοῦ τῶν ὅλων περιπατεῖν λέγεσθαι ἐπὶ τῆς θαλάσσης; πῶς δὲ καὶ νοηθείη ⟨ἂν⟩ περίπατος ἐπὶ τῆς

---

1. Ἡσ. 50, 2. 2. Ματθ. 21, 43. 3. Ματθ. 28, 19. 4. Ψαλμ. 9, 21. 5. Δευτ. 18, 19. 6. Πρβλ. Ματθ. 23, 35. 7. Πρβλ. Ματθ. 27, 25. 8. Ἰὼβ 9, 7-8. 9. Ματθ. 14, 22-24. 10. Ματθ. 14, 26-27.

θαλάσσης τοῦ τὰ πάντα περιέχοντος καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῦντος καὶ μονονουχὶ λέγοντος· «ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου [1]» καὶ «τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει κύριος; [2]» ὁ δέ γε σωτὴρ καὶ κύριος ἡμῶν «ἑαυτὸν κενώσας καὶ μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος [3]» δεῖγμα τῆς λανθανούσης τοὺς πολλοὺς ἐνθέου δυνάμεως αὐτοῦ παρέχων ὁρᾶν τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ τοῖς θαλαττίοις ἐπιβαίνων κύμασιν καὶ τῷ κλύδωνι καὶ τοῖς ἀνέμοις ἐπιτιμῶν ἀναγέγραπται, ὅτε καὶ οἱ ὁρῶντες ἐξεπλήττοντο λέγοντες· «ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα αὐτῷ ὑπακούουσιν; [4]» ἦν δὲ καὶ τοῦτο ἄλλου τινὸς μείζονος σύμβολον, νοουμένης ἑτέρας θαλάσσης, ἐν ᾗ λέγεται δράκων τις εἶναι «πεποιημένος ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων [5]» τοῦ θεοῦ, ἐφ' ἣν καὶ αὐτὴν ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐμπεριπατήσας, τὴν κεφαλὴν τοῦ αὐτόθι δράκοντος καὶ τῶν λοιπῶν τῶν ὑποβεβηκότων δρακόντων λέγεται συντετριφέναι κατὰ τὸ «σὺ συνέθλασας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος», καὶ «σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος [6]», σαφῶς ἑτέρας νοουμένης θαλάσσης, περὶ ἧς αὐτὸς πάλιν ἐν ψαλμῷ φησιν· «ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης [7]», καὶ πρὸς τὸν Ἰώβ, τὰ περὶ ἑαυτοῦ διεξιών, «ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾄδου ἰδόντες σε ἔπτηξαν; [8]» εἰκότως οὖν κἂν τῷ καθ' ἡμᾶς βίῳ ἐπιβὰς τῇ θαλάττῃ, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσας καὶ τῷ κλύδωνι [9], τὰ σύμβολα τῶν ἀπορρητοτέρων ἐπιτελεῖ.

XIII. Ἀπὸ τοῦ Ἠσαΐου. «Ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται, τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων. [10]»

Καὶ τούτων ἔχεις ἐν τοῖς εὐαγγελίοις τὰ ἀποτελέσματα, τοῦτο μὲν ὁπηνίκα τῷ σωτῆρι καὶ κυρίῳ ἡμῶν προσέφερον «παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον [11]», ὃν καὶ ὑγιῆ λόγῳ κατεστήσατο, τοῦτο δὲ ὅτε μυρίοι τυφλοὶ καὶ δαιμονιῶντες, ἔτι μὴν διαφόροις νόσοις καὶ μαλακίαις καταπονούμενοι [12], πρὸς τῆς αὐτοῦ σωτηρίου δυνάμεως τῶν παθῶν ἀπηλλάττοντο· οὐ μὴν ἀλλὰ καὶ δι' ὧν εἰσέτι νῦν καθ' ὅλης τῆς οἰκουμένης μυρία πλήθη, πολυτρόποις κακίας εἴδεσιν δεδεμένα ἀγνωσίας τε τοῦ ἐπὶ πάντων θεοῦ τὰς ψυχὰς πεπληρωμένα, θαυμα-

1. Ἠσ. 66, 1. 2. Ἱερ. 23, 24. 3. Φιλιπ. 2, 7. 4. Πρβλ. Ματθ. 8, 26 ἑξ. Λουκ. 8, 24. 5. Ἰὼβ 40, 19. 41, 25. 6. Ψαλμ. 73, 13-14. 7. Ψαλμ. 68, 3. 8. Ἰώβ. 38, 16-17. 9. Πρβλ. Ματθ. 8, 26. Λουκ. 8, 24. 10. Ἠσ. 35, 3-6. 11. Ματθ. 9, 2. 12. Πρβλ. Ματθ. 4, 23.

σίως καὶ ὑπὲρ πάντα λόγον τοῖς τῆς διδασκαλίας αὐτοῦ φαρμάκοις ἴᾶται καὶ θεραπεύει. πλὴν ὅτι καὶ θεὸς ἐν τούτοις ἀνηγόρευται, κατὰ καιρὸν ὡς ἂν τοιαῦτα ἐνεργῶν, ἤδη πρότερον ἡμῖν ἐν ταῖς περὶ τῆς θεότητος αὐτοῦ μαρτυρίαις ἀποδέδεικται. καὶ ἔπρεπέν γε νῦν γοῦν εἰ καὶ ἄλλοτε θεὸν αὐτὸν ὁμολογεῖσθαι ὅτε καὶ ἔργα θείας καὶ ὡς ἀληθῶς ἐνθέου δυνάμεως ἐπεδείκνυτο· θεοῦ γὰρ μόνου ἦν καὶ οὐδὲ ἄλλου ῥωννύναι μὲν παρειμένους, ζωογονεῖν δὲ νεκρούς, σωτηρίαν τε ἀσθενοῦσιν παρέχειν, ἀνοίγειν τε ὀφθαλμοὺς τυφλῶν καὶ κωφῶν ὡσαύτως ἀκοὰς ἰᾶσθαι, χωλούς τε ἀνορθοῦν, καὶ τοὺς τὴν γλῶτταν δεδεμένους εὐλάλους ἀποκαθιστᾶν, ἅπερ ἅπαντα ὑπὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πέπρακται οἷα ὑπὸ θεοῦ, καὶ μεμαρτύρηταί γε ὑπὸ πλειόνων τῶν καθ' ὅλης τῆς οἰκουμένης κηρυξάντων αὐτόν. ὧν τὸ ἄπλαστον καὶ ἀληθὲς τῆς μαρτυρίας πιστοῦται ἡ διὰ βασάνων πεῖρα καὶ ἡ μέχρι θανάτου ἔνστασις, ἣν ἐπὶ βασιλέων ἀρχόντων τε καὶ ἡγεμόνων καὶ ὅλων ἐθνῶν ἐνεδείξαντο [1], τοῖς ὑπ' αὐτῶν κηρυττομένοις ἀλήθειαν ἐπιμαρτυρήσαντες. τούτοις δὲ αὐτοῖς ἡγοῦμαι, τοῖς εὐαγγελισταῖς αὐτοῦ καὶ ἀποστόλοις, ἐπιφωνεῖν τὸ πνεῦμα τὸ προφητικὸν τὰ ἀπὸ τοῦ «ἰσχύσατε χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα.[2]» ἐπεὶ γὰρ τὰς χεῖρας καὶ τὰς πρακτικὰς δυνάμεις οὗτοι τάς τε βάσεις καὶ τὴν πορείαν ἀπὸ τῆς μακρᾶς περιόδου τῆς κατὰ τὸν Μωσέως νόμον λατρείας παρείθησαν, διεγείρων αὐτοὺς ἐπὶ τὴν κατὰ τὸ εὐαγγέλιον πολιτείαν, «ἰσχύσατε», φησιν, «χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα [3]», εἰς ἑτοιμασίαν δηλαδὴ τοῦ κατὰ τὸ εὐαγγέλιον δρόμου. «ἰσχύσατε» δὲ καὶ εἰς τὸ παρακαλεῖν ἑτέρους καὶ παρορμᾶν ἔχεσθαι τῆς εὐαγγελικῆς σωτηρίας, ὑμεῖς οἱ τὸ πρὶν «ὀλιγόψυχοι», καὶ μή τις ὑμᾶς αἱρείτω φόβος τῶν ἔξωθεν ἀνθισταμένων τῷ εὐαγγελικῷ κηρύγματι, ἀλλὰ καὶ πρὸς τούτους «ἰσχύσατε» καὶ μὴ «φοβεῖσθε.[4]» θεὸς γὰρ ἦν καὶ θεοῦ λόγος ἀλλ' οὐ Μωσεῖ τις παραπλήσιος οὐδέ τις τοῖς προφήταις ὅμοιος, οὐ μόνον τῶν παραδόξων ποιητὴς θαυμάτων, ἀλλὰ καὶ ὑμῖν αὐτοῖς τῆς ἰσχύος γεγονὼς αἴτιος.

Πίστις δ' ἂν γένοιτο ἐναργεστάτη τῆς τοῦ προφητευομένου σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως, δι' ἧς ἀληθῶς χωλοὺς καὶ τυφλοὺς καὶ λεπροὺς καὶ παρειμένους ἰάσατό ποτε λόγῳ κατὰ τὰς περὶ αὐτοῦ γραφάς, ἡ καὶ εἰσέτι νῦν ἐνεργουμένη πρὸς τῆς αὐτοῦ θεότητος καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀρετή, δι' ἧς αὐτοῖς ἔργοις ὁποῖός τις ἦν καὶ τότε τοῖς οἵοις τε συνορᾶν ἐπιδείκνυται, ὅτε καὶ ἐπὶ τοσούτοις μετὰ ταῦτα χρόνοις διαρκὴς καὶ ἀνίκητος καὶ ὡς ἀληθῶς θεοῦ λόγος ὁ πρὸς αὐτοῦ καταγγελθεὶς ἀποδείκνυται, πάντας ὑπερβαλλόμενος τοὺς ἀρχῆθεν καὶ μέχρι τοῦ νῦν τὴν διδασκαλίαν αὐτοῦ

1. Πρβλ. Ματθ. 10, 18. 2. Ἠσ. 35, 3. 3. Ἠσ. 35, 3. 4. Πρβλ. Ἠσ. 35, 4.

πολεμεῖν παρεσκευασμένους, ἐξ ἁπάσης τε τῆς οἰκουμένης ὑπαγόμενος ἑαυτῷ μυρία πλήθη, καὶ πάσης μὲν ἁμαρτίας καὶ τῶν κατὰ ψυχὴν παθῶν τε καὶ νοσημάτων τοὺς αὐτῷ προσιόντας ἀπαλλάσσων, ἐπὶ δὲ τὴν εὐσεβῆ διδασκαλίαν αὐτοῦ πᾶν γένος Ἑλλήνων καὶ βαρβάρων προσκαλούμενος, μυρίους τε ὅσους προσάγων ἐπὶ τὴν τοῦ μόνου καὶ ἀληθοῦς θεοῦ γνῶσιν ἐπί τε τὸν ὑγιῆ καὶ σώφρονα βίον, ὃς δὴ καὶ πρέπων εἴη ἂν ἐπαγγελίᾳ θρησκείας τοῦ ἐπὶ πάντων θεοῦ.

Οὗτος δὲ αὐτὸς ὁ θεὸς ἡμῶν, ἅτε τυγχάνων θεοῦ λόγος, «κρίσιν», φησίν, «ἀνταποδίδωσιν καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς.[1]» κατὰ γὰρ τὸν ψαλμὸν φήσαντα «ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δός [2]», καὶ κατὰ τὴν εὐαγγελικὴν διδασκαλίαν, δι' ἧς εἴρηται «ὁ πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ [3]», παρὰ τοῦ πατρὸς τὴν τοῦ κρίνειν εἰληφὼς ἐξουσίαν [4], δικαιοσύνῃ κρίνων, τῷ μὲν ἐκ περιτομῆς λαῷ τὴν προσήκουσαν τῶν εἰς αὐτόν τε καὶ τοὺς αὐτοῦ προφήτας τετολμημένων δίκην ἀποδέδωκεν, πάντας δὲ ἁπαξαπλῶς ἀνθρώπους τοὺς αὐτῷ προσιόντας ἐξ ἴσου κατὰ τὸ δίκαιον ἀνεσώσατο, ὧν τὰ ὦτα τῆς διανοίας καὶ τοὺς ὀφθαλμοὺς ἀνέῳξεν. διὸ καὶ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ καιρὸν ἀνταποδόσεως ὁ θεῖος ἀποκαλεῖ λόγος, ἐν ἑτέροις φάσκων· «καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.[5]» οὗτος δὲ ἦν καιρὸς τῆς ἀνταποδόσεως, καθ' ὃν «πᾶν αἷμα» ἐκχυθὲν «ἀπὸ αἵματος Ἄβελ» «ἕως αἵματος Ζαχαρίου [6]», καὶ αὐτοῦ γε τοῦ τιμίου αἵματος [7] Ἰησοῦ ἐκδεδίκηται ἀπὸ τῆς γενεᾶς τῶν εἰς αὐτὸν πεπλημμεληκότων, ὡς ἐξ ἐκείνου τὸν ἔσχατον αὐτοὺς ὑπομεῖναι ὄλεθρον καὶ τὴν ἐσχάτην πολιορκίαν. καὶ ἡ μὲν κατ' ἐκείνους κρίσις τοιαύτην ἐποιήσατο κατ' αὐτῶν τὴν ἀνταπόδοσιν· διό φησιν ἡ προφητεία· «ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει.[8]» ἡ δὲ περὶ τῶν δι' αὐτοῦ σωθησομένων ἑξῆς δηλοῦται διὰ τοῦ «αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκούσονται [9]», καὶ τὰ ἑξῆς. ταύτην δὲ τὴν σωτήριον κρίσιν καὶ ἄλλη προφητεία ἐξοίσειν τὸν Χριστὸν ἐπαγγέλλεται, φάσκουσα· «ἰδοὺ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει.[10]» διὸ καὶ περὶ τοῦ λόγου τῆς καινῆς διαθήκης εἴρηται· «ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν.[11]» κρίσει γὰρ θείᾳ καὶ λόγοις ἡμῖν ἀρρήτοις καὶ τὰ τῆς κλήσεως τῶν εἰς αὐτὸν ἐπιστρεφόντων εἰκὸς αὐτὸν ἐνεργεῖν. ἀλλὰ καὶ τὴν θείαν διδάσκων ἡμᾶς κρίσιν, καὶ πάντα κεκριμένως ἡμᾶς πράττειν παιδεύων, «κρίσιν τοῖς ἔθνεσιν [12]» ἐξοίσειν λέγεται.

---

1. Ἠσ. 35, 4. 2. Ψαλμ. 71, 1. 3. Ἰω. 5, 22. 4. Πρβλ. Ψαλμ. 71, 2. 5. Ἠσ. 61, 2. 6. Πρβλ. Ματθ. 23, 35-36. 7. Α' Πέτρ. 1, 19. 8. Ἠσ. 35, 4. 9. Ἠσ. 35, 4-5. 10. Ἠσ. 42, 1. 11. Μιχ. 4, 2-3. 12. Ἠσ. 42, 1.

XIV. Ἀπὸ τοῦ αὐτοῦ. «Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν, καὶ ἐρεῖ, μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. καὶ ἐὰν εἴπωσιν πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ; τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν.[1]»

Ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ παραθεὶς ὁ ἀπόστολος τὴν φάσκουσαν λέξιν «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός[2]», ἐπεξεργάζεται περὶ τοῦ Χριστοῦ, λέγων· «ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.[3]» παῖδας δὲ αὐτοῦ ἐν τούτοις τοὺς ἀποστόλους ὀνομάζει, ἐφ' ὧν «σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ» ποιήσειν τὸν κύριον Σαβαώθ, τὸν κατοικοῦντα «ἐν τῷ ὄρει Σιών[4]», διδάσκει, τούτους δὲ αὐτοὺς φανεροὺς ἔσεσθαι συνήθως ἡμῖν τὰ πρόσωπα σφραγιζομένους τῇ τοῦ Χριστοῦ σφραγῖδι[5], παιδευομένους τε μηκέτι τὸν Μωσέως νόμον μανθάνειν, τῷ μηκέτι συνεστάναι αὐτὸν καὶ τῷ τὸν καλούμενον οἶκον Ἰακὼβ καταλελεῖφθαι ὑπὸ τοῦ θεοῦ.[6] ἀσαφῶς δὲ παρὰ τοῖς ἑβδομήκοντα εἰρημένου «τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν, καὶ ἐρεῖ, μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ[7]», σαφέστερον ὁ Σύμμαχος ἐξέδωκεν, εἰπών· «δῆσον μαρτύριον, σφράγισον νόμον ἐν τοῖς διατάγμασίν μου, καὶ προσδοκήσω τὸν κύριον τὸν κρύβοντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ ἀναμενῶ αὐτόν», καὶ ὁ Ἀκύλας δὲ τοῦτον καὶ αὐτὸς ἐξέδωκεν τὸν τρόπον· «ἔνδησον μαρτύριον, σφράγισον νόμον ἐν διδακτοῖς μου, καὶ προσδέξομαι τὸν θεὸν τὸν ἀποκρύβοντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακώβ, καὶ ὑπομενῶ αὐτόν.» ταῦτα δ' οὖν οἱ τοῦ σωτῆρος ἡμῶν ἀπόστολοι διδάσκονται ποιεῖν. οἷς ἑξῆς ἐπιλέγει· «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται εἰς σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών.[8]» κατοικήσας δὲ ὁ κύριος Σαβαώθ, ὁ τοῦ θεοῦ λόγος, ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ, καὶ τὰς διατριβὰς πεποιημένος «ἐν τῷ ὄρει Σιών», σημεῖά τε καὶ τέρατα διαπραξάμενος, ὁμοῦ τοῖς αὐτοῦ μαθηταῖς καὶ πᾶσι τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐξ ἁπάντων τῶν πρὶν

---

1. Ἡσ. 8, 16-20. 2. Ἑβρ. 2, 13. 3. Ἑβρ. 2, 14. 4. Πρβλ. Ἡσ. 8, 18. 5. Πρβλ. Ἡσ. 8, 16. 6. Πρβλ. Ἡσ. 8, 17. 7. Ἡσ. 8, 16-17. 8. Ἡσ. 8, 18.

εἰδωλολατρῶν παρακελεύεται μηκέτι δεδιέναι κατὰ μηδένα τρόπον τὴν δεισιδαίμονα πλάνην· ἀλλ' εἰ καὶ παρασαλεύοιεν αὐτοὺς ἢ καὶ ἀναγκάζοιεν οἱ ἐξ ἐθνῶν εἰδωλολάτραι ζητεῖν «τοὺς ἐγγαστριμύθους[1]» καὶ τὰ τῶν δαιμόνων μαντεῖα ὡς θαυμάσια καὶ κατ' οὐδὲν λείποντα τῆς τῶν θείων καὶ θεοφιλῶν ἀνδρῶν προφητικῆς διαίτης, αὐτοὺς δεῖν ἀποκρίνεσθαι καὶ λέγειν διδάσκει· «τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν δέδωκεν[2]», καὶ τὰ τούτοις ἀκόλουθα· τοὺς γὰρ ἅπαξ νόμον εἰληφότας καὶ σωτηρίους ἐντολὰς ἐπὶ βοηθείᾳ καὶ θεραπείᾳ τοῦ ἰδίου βίου περιττὸν μαντείας πολυπραγμονεῖν διὰ τῆς δαιμονικῆς ἀπάτης ἐνεργουμένας.

XV. Ἀπὸ τοῦ αὐτοῦ. «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐ κεκράξεται οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν. ἐγὼ κύριος ὁ θεός σου ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.[3]»

Καὶ ταύτης ὁ εὐαγγελιστὴς μνημονεύει τῆς λέξεως, ὅτε «ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον» κατὰ τοῦ σωτῆρος ἡμῶν, «ὅπως αὐτὸν ἀπολέσωσιν», ἐπειδὴ τοῖς σάββασιν τοὺς κάμνοντας ἐθεράπευεν. τὸν τηνικαῦτα γάρ, ὥς φησιν, «γνοὺς» ὁ Ἰησοῦς τὴν κατ' αὐτοῦ συσκευὴν «ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν.[4]» οἷς ἐπιφέρει λέγων· καὶ ταῦτα πάντα γέγονεν (τουτέστιν τὸ ἀναχωρεῖν αὐτὸν καὶ τὸ ἐκκλίνειν τοὺς ἐπιβούλους καὶ τὸ λανθάνειν σπουδάζειν ἐν οἷς ἔπραξεν παραδόξοις καὶ τὸ παρεγγυᾶν τοῖς θεραπευομένοις μὴ φανερὸν αὐτὸν ποιεῖν), «ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, ἰδοὺ ὁ παῖς μου, εἰς ὃν εὐδόκησα, ὁ ἀγαπητός μου, ὃν ᾑρέτισεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσεταί τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.[5]» τήρει δὲ ἐπιμελῶς, τίνα τρόπον ὁ Ματ-

---

1. Πρβλ. Ἡσ. 8, 19. 2. Ἡσ. 19, 20. 3. Ἡσ. 42. 1-7. 4. Πρβλ. Ματθ. 12, 14-16. 5. Ματθ. 12, 17-21.

θαῖος, εἰπὼν «ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου [1]», οὔτε τοῦ Ἰακὼβ οὔτε τοῦ Ἰσραὴλ ἐμνήσθη. οὐ γὰρ εἶπεν «Ἰακὼβ ὁ παῖς μου», «Ἰσραὴλ ὁ ἐκλεκτός μου [2]», ἀορίστως δὲ ἐξήνεγκεν, εἰπών· «ἰδοὺ ὁ παῖς μου» καὶ «ὁ ἀγαπητός μου.[3]» ὅθεν, ὡς μηδὲ ἐν τῷ Ἑβραϊκῷ τῆς προφητείας κειμένης, παρὰ μὲν τοῖς ἑβδομήκοντα ὠβέλισται τὸ τοῦ Ἰακὼβ καὶ τὸ τοῦ Ἰσραὴλ ὄνομα, καὶ παρὰ τοῖς λοιποῖς δὲ ἑρμηνευταῖς παρασεσιώπηται, ἐπεὶ μηδὲ ἐν τῷ Ἑβραϊκῷ φέρεται. ἔνθεν εἰκότως οὐδὲ παρὰ τῷ εὐαγγελιστῇ εἴρηται, Ἑβραίῳ ὄντι καὶ ἀκολούθως τῇ Ἑβραίων γραφῇ τὴν προφητείαν ἐκθεμένῳ. τοιγαροῦν οὐδὲ κατὰ διάνοιαν τῷ ἐκ περιτομῆς λαῷ τὰ θεσπιζόμενα ἁρμόζει, μόνῳ δὲ τῷ Χριστῷ τοῦ θεοῦ, μαρτυρουμένῳ ὑπὸ τῆς ἐναργείας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. μόνος γὰρ οὗτος τὴν μέλλουσαν «κρίσιν τοῖς ἔθνεσιν [4]» προεκήρυξεν, ἡσυχῇ τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδημήσας, καὶ κρίσιν ἐπὶ τῆς γῆς θέμενος· καὶ οὐ μόνον «κάλαμον συντετριμμένον οὐ κατέαξεν [5]», ἀλλά, εἰ ἔστιν εἰπεῖν, συνέδησεν, ἀνορθώσας καὶ ἰσχυροὺς ἀπεργασάμενος τοὺς ἀσθενεῖς καὶ «τοὺς συντετριμμένους τὴν καρδίαν.[6]» ὥσπερ δὲ τοὺς ἀσθενεῖς καὶ σαθροὺς καὶ τῆς αὐτοῦ θεραπείας δεομένους οὐ παρεώρα, οὐδὲ μετανοοῦντας κατακρίνων συνέτριβεν, οὕτως οὐδὲ τοὺς τοῖς κακοῖς ἐπιμένοντας καὶ ὑπὸ τῶν παθῶν τυφομένους ἐσβέννυεν κωλύων παρὰ τὴν αὐτῶν προαίρεσιν ἐνεργεῖν, οὐδὲ μὴν παρὰ καιρὸν ἐτιμωρεῖτό τινα τούτων, τὴν κατ' ἀξίαν αὐτῶν κόλασιν εἰς τὸν τῆς καθόλου κρίσεως καιρὸν ὑπερτιθέμενος. διὸ λέλεκται· «καὶ λίνον τυφόμενον οὐ σβέσει.[7]»

Ἄντικρυς δὲ πέρας εἴληφεν τὸ «καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν·[8]» ἐπὶ μόνῳ γοῦν τῷ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνόματι ἤλπισεν τὰ Χριστιανῶν ἔθνη, τὴν ἐπωνυμίαν αὐτοῦ, ὡς πατρὸς ἧς παρειλήφασιν εὐσεβείας, ἐπιγραφόμενα. καὶ γὰρ «εἰς φῶς [9]» οὐκ ἄλλοις ἢ τοῖς ἔθνεσιν δεδόσθαι προπεφώνηται, δι' αὐτοῦ τε τῇ προρρήσει ἀκολούθως ὀφθαλμοὶ τυφλῶν τῶν πάλαι τὴν διάνοιαν πεπηρωμένων (καὶ οὐ μόνον ⟨τούτων⟩ ἀλλὰ καὶ τῶν αὐτὸ τὸ σῶμα ἠφανισμένων) ⟨ἠνεῴχθησαν⟩, καὶ οἱ δεσμοῖς δὲ καὶ σειραῖς ἁμαρτιῶν ⟨δεδεμένοι καὶ⟩ ἐν σκότει καὶ ἀγνοίᾳ τῆς ἀληθοῦς εὐσεβείας τὸ πρὶν κεκαλινδημένοι, δι' αὐτοῦ τῶν ἁμαρτιῶν λυθέντες, τοῦ φωτὸς τῆς γνώσεως καὶ τῆς παρὰ τῷ θεῷ ἐλευθερίας ἠξίωνται. καὶ σὺ δὲ ἐπὶ σχολῆς τοῖς ἀποδεδομένοις ἀκολούθως βασανίσας τὴν λέξιν, ἐπὶ μόνῳ ἂν εὕροις τῷ κυρίῳ καὶ σωτῆρι ἡμῶν ἕκαστον ἀκριβῶς τῶν δι' αὐτῆς δηλουμένων πεπληρωμένον.

---

1. Ματθ. 12,18. 2. Ἡσ. 42,1. 3. Ματθ. 12,18. 4. Πρβλ. Ἡσ. 42.1. Ματθ. 12,18. 5. Πρβλ. Ἡσ. 42,3. Ματθ. 12,20. 6. Ψαλμ. 146,3. 7. Ἡσ. 42,3. 8. Ἡσ. 42,4. Ματθ. 12,21. 9. Πρβλ. Ἡσ. 51,4. Λουκ. 2,32.

XVI. Ἀπὸ τοῦ αὐτοῦ. «Εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου», «καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ.[1]» εἶθ' ὑποβάς φησιν· «καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. καὶ εἶπεν, πορεύθητι καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκά⟨μ⟩μυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν, καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν, καὶ ἰάσομαι αὐτούς.[2]»

Ἔχεις καὶ τούτων τὸ ἀποτέλεσμα ἐπὶ τοῦ σωτῆρος ἡμῶν, κατὰ μὲν τὸν Ἰωάννην φήσαντα· «τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευσαν εἰς αὐτόν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπεν· κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν· εἶπεν γὰρ πάλιν Ἡσαΐας· τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν τῇ καρδίᾳ καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι αὐτούς. ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησεν περὶ αὐτοῦ[3]», κατὰ δὲ τὸν Ματθαῖον, ὅτε «πρεσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ· διὰ τί ἐν παραβολαῖς αὐτοῖς λαλεῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, ἐκείνοις δὲ οὐ δέδοται[4]», «διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέπωσιν καὶ ἀκούοντες μὴ ἀκούωσιν, μή ποτε ἐπιστρέψωσιν, καὶ ἰάσομαι αὐτούς. τότε ἐπληρώθη ἐπ' αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε[5]», καὶ τὰ τούτοις ἑξῆς. ἐπιτήρει δὲ τίνα τρόπον ὁ Ἰωάννης ἐπάγει, λέγων· «ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησεν περὶ αὐτοῦ[6]», ὡς τὸν Χριστὸν ἑωρακότος καὶ τὴν Χριστοῦ δόξαν τοῦ προφήτου κατὰ τὴν ὀπτασίαν, ἐν ᾗ ἔφησεν· «εἶδον τὸν κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου[7]», καὶ τὰ ἑξῆς.

Τίς δ' οὐκ ἂν ἐκπλαγείη τὴν πρόρρησιν, ἐναργῶς οὕτως εἰσέτι νῦν ὁρῶν τῶν ἐκ περιτομῆς τὴν εἰς Χριστὸν ἀπιστίαν; καὶ πάλαι μὲν γὰρ ἐνανθρωποῦντα καὶ παραδοξοποιοῦντα ἐν αὐτοῖς ὁρῶντες αὐτόν, ὀφθαλμοῖς ψυχῆς καὶ διανοίας ὄμμασιν οὐκ ἐθεῶντο, οὐδέ τις ἦν ἐν αὐτοῖς νοερᾶς ἐνθυμήσεως ὅρασις εἰς τὸ συνιέναι τίς ποτ' ἄρα ἦν ἡ τὰ τοσαῦτα καὶ τηλικαῦτα θαυματουργοῦσα ἐν αὐτοῖς δύναμις. ἀλλὰ καὶ αὐταῖς ἀκοαῖς «ῥήματα ζωῆς αἰωνίου[8]» δέξασθαι κατηξιωμένοι καὶ φωνῆς ἐνθέου σοφίας ἀκροώμενοι, ὠσὶν διανοίας οὐκ

---

1. Ἡσ. 6, 1-2. 2. Ἡσ. 6, 8-10. 3. Ἰω. 12, 37-41. 4. Ματθ. 13, 10-11. 5. Ματθ. 13, 13-14. 6. Ἰω. 12, 41. 7. Ἡσ. 6, 1. 8. Ἰω. 6, 68.

ἤκουον, ὡς ἐναργὲς τέλος ἐπαγαγεῖν αὐτοὺς τῇ προφητείᾳ. καὶ εἰς δεῦρο δὲ τὴν ἔνθεον τοῦ Χριστοῦ δύναμιν, δι' ἧς πᾶν γένος ἀνθρώπων ἀποστήσας τῆς πατρίου δεισιδαιμονίας ὑπηγάγετο τῇ κατ' αὐτὸν θεοσεβείᾳ, ἐναργῶς οὕτως ἐμφαινομένην ὁρῶντες, οὐδαμῶς ἐφιστῶσιν τῇ διανοίᾳ οὐδ' ἐπιβάλλουσιν, ὅπως τὸ μήτε Μωσεῖ μήτε τοῖς μετὰ Μωσέα προφήταις ἐπὶ μόνων αὐτῶν κατορθωθέν, τοῦτο δὴ τὸ μὴ εἰδωλολατρεῖν μηδὲ τῇ πολυθέῳ προσέχειν πλάνῃ, τοῦτ' ἐπὶ πάντων τῶν ἐθνῶν ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος ἀρετὴ συνεστήσατο. εἶτα δὲ καὶ ταῖς προφητικαῖς ἐντυγχάνοντες περὶ αὐτοῦ μαρτυρίαις, ἀκοῇ μὲν ἀκούουσιν ἀλλ' οὐ συνιᾶσιν [1], ἔργῳ πληρουμένης εἰσέτι καὶ νῦν κατ' αὐτῶν τῆς ἐν χερσὶ προφητείας.

XVII. Ἀπὸ τοῦ Ζαχαρίου. «Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σῴζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ καὶ ἵππον ἐξ Ἱερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν· καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν διεκβολὰς γῆς.[2]»

Ταῦτα μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ Ζαχαρίου εἰς τὰ ὕστατα τῶν προφητῶν θεσπίσαντος, οὐδεὶς μετὰ τοὺς τῆς προφητείας χρόνους βασιλεὺς παρὰ Ἰουδαίοις γεγονὼς ἱστορεῖται, οἷον ἡ προφητεία παρίστησιν, εἰ μὴ μόνος ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ⟨ὁ⟩ Χριστὸς τοῦ θεοῦ, καθ' ὃν καὶ αὕτη τέλους ἐτύγχανεν ἡ πρόρρησις, ὅτε τοῖς ἑαυτοῦ μαθηταῖς πρὸς λέξιν εἶπεν· «πορευθέντες εἰς τὴν ἀπέναντι κώμην εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένον· λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις ὑμῖν εἴπῃ, τί ποιεῖτε; εἴπατε αὐτῷ, ὁ κύριος αὐτῶν χρείαν ἔχει.[3]» καὶ ἀπελθόντες ἐκεῖνοι ἐποίησαν καθ' ἃ προσέταξεν αὐτοῖς. τὰ μὲν οὖν τῆς προρρήσεως καὶ τὰ τοῦ συμπεράσματος τοῦτον ἔχει τὸν τρόπον.

Τί δὲ ἄρα ἐβούλετο σημαίνειν ἡ ἐπὶ ὄνῳ ὄχησις αὐτοῦ ἀλλ' ἢ τὴν ταπεινὴν καὶ ἄδοξον αὐτοῦ παρουσίαν, καθ' ἣν ἐποιήσατο τὴν πρώτην ἄφιξιν; οὔσης γὰρ καὶ δευτέρας ἐνδόξου (περὶ ἧς καὶ Δανιὴλ γυμνότερον ἐκκαλύπτων τὴν θεωρίαν εἴρηκεν· «ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο [4]», «χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μυρίαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ [5]», «καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν [6]», «καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύουσιν· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται [7]»), τὰ

---

1. Πρβλ. Ἠσ. 6, 9. 2. Ζαχ. 9, 9-10. 3. Πρβλ. Ματθ. 21, 2-3. Λουκ. 19, 30-32. 4. Δαν. 7, 9. 5. Δαν. 7, 10. 6. Δαν. 7, 13. 7. Δαν. 7, 14.

μὲν τῆς πρώτης ἀφίξεως τῆς ἐνανθρωπικωτέρας καὶ ταπεινῆς μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει μέγα δεῖγμα καὶ σημεῖον, τὸ πρᾶον λέγεσθαι καὶ ἡσύχιον [1], ἥξειν τε ὀχούμενον ὑποζυγίῳ προφητεύεσθαι (τοῦτο γὰρ κοινοῦ καὶ ἀνθρωπίνου βίου γένοιτ' ἂν τεκμήριον), τὰ δὲ τῆς δευτέρας καὶ ἐνθέου λαμπρότατα δηλοῦται διὰ τῆς ἐπὶ νεφελῶν οὐρανοῦ παρακομιδῆς καὶ τῆς αἰωνίου πάντων τῶν ἐθνῶν βασιλείας.[2] καὶ ἦν γε καλὸν ἀμφοτέρας παραθεῖναι τοῖς ἐκ περιτομῆς λόγον τε αὐτοὺς ἀπαιτῆσαι, πῶς ἂν σώσαιεν τὰς προφητείας, μίαν ἄφιξιν Χριστοῦ προσδοκῶντες· ἐπεὶ γὰρ ἑκατέραν τῶν παρατεθεισῶν προφητειῶν καὶ αὐτοὶ τὸν Χριστὸν ὁρᾶν ὁμολογοῦσιν, ὥρα λέγειν καὶ πυνθανομένοις ἡμῖν ἀποκρίνασθαι, πῶς οἷόν τε ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν καὶ ὑπὸ μίαν ἄφιξιν ἐπὶ νεφελῶν οὐρανοῦ [3] φέρεσθαι τὸν αὐτὸν καὶ ἐπὶ ὑποζυγίου καὶ πώλου νέου ὀχεῖσθαι·[4] ἐπὶ πολὺ γὰρ ταῦτα διέστηκεν ἀλλήλων. μυρίας δ' οὖν τοιαύτας καὶ ἄλλας περὶ τοῦ Χριστοῦ προφητείας συναγαγών, παραθείς τε καὶ συγκρούσας τὰ διαφόρως σημαινόμενα, ἐναργέστατα καταλήψῃ τινὰς μὲν τῆς πρώτης αὐτοῦ παρουσίας δηλώματα περιεχούσας, πεπληρωμένας κατὰ τὴν πρώτην ἐπιφάνειαν αὐτοῦ, τινὰς δὲ εἰς τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἄφιξιν ἀναφερομένας.

Ἐξωλόθρευσεν γὰρ λεληθότως «ἅρματα» καὶ «ἵππον» καὶ πᾶν «τόξον πολεμικὸν» ἡ τοῦ σωτῆρος ἡμῶν ἔνθεος δύναμις κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν ἐκ τῆς σωματικωτέρας «Ἱερουσαλὴμ» καὶ τοῦ καλουμένου «Ἐφραῒμ» λαοῦ·[5] διὸ ἐξ ἐκείνου καὶ εἰς δεῦρο οὐκέτι συνέστη αὐτῶν τὸ βασίλειον, οὐδὲ ἡ πάλαι ἐν πολέμοις ἰσχύσασα παρασκευή τε αὐτῶν καὶ ὁπλιτικὴ δύναμις. καλῶς δὲ ἐν τούτοις τὸν πάντα τῶν Ἰουδαίων λαὸν Ἐφραῒμ [6] ὠνόμασεν, ἀλλ' οὐχὶ Ἰσραὴλ οὐδὲ Ἰούδαν, ἵνα μὴ τὰς σεμνοτέρας διαβάλλοι προσηγορίας. εὕροις δ' ἂν καὶ ἐν ταῖς ἄλλαις προφητείαις τὸ πᾶν ἔθνος Ἐφραῒμ μετὰ πολλῆς διαβολῆς καὶ κατηγορίας ὠνομασμένον, ὥσπερ καὶ νῦν· μετὰ γοῦν τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, μηκέθ' ὁμοίως ὡς τὸ πρὶν διῃρημένου τοῦ λαοῦ, τίνας ἦν εἰκὸς δηλοῦσθαι διὰ τοῦ Ἐφραῒμ ἢ αὐτοὺς τοὺς τὴν Ἱερουσαλὴμ οἰκοῦντας; ὧν τὴν πολεμικὴν καὶ ὁπλιτικὴν δύναμιν μέχρι τῶν Ῥωμαϊκῶν χρόνων διαρκέσασαν ἡ τοῦ σωτῆρος ἡμῶν παρουσία ἐνθέῳ καὶ ἀπορρήτῳ δυνάμει καθεῖλεν ὁμοίως τῇ προφητείᾳ. ταῦτα δὲ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν εὐαγγελίζεται ὁ λόγος, οὐχ ἁπλῶς χαίρειν ἀλλὰ καὶ σφόδρα χαίρειν [7] αὐτῇ παρακελευόμενος, διὰ τὴν τοῦ θεοῦ λόγου εἰς αὐτὴν παρουσίαν. ἣν καὶ θυγατέρα τῆς ἐπουρανίου Σιὼν ἢ καὶ τῆς προτέρας συναγωγῆς ἀποκαλεῖ, διὰ τὸ πάντας ἡμᾶς τοὺς ἐξ ἐθνῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ

1. Πρβλ. Ζαχ. 9, 9. 2. Πρβλ. Δαν. 7, 13,14. 3. Δαν. 7, 13. 4. Πρβλ. Ζαχ. 9, 9. 5. Πρβλ. Ζαχ. 9, 10. 6. Πρβλ. Ἡσ. 28, 1. Ἱερ. 7, 15. Ὠσ. 5, 9. 7. Ζαχ. 9, 9.

πεπιστευκότας γεννήματα εἶναι καὶ τέκνα Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ, οἷα ἐκ μητρὸς τῆς τῶν Ἰουδαίων συναγωγῆς προελθόντας.

Καὶ τὸ ἑξῆς δὲ ἐπληροῦτο ἐπὶ τῇ τοῦ σωτῆρος ἡμῶν παρουσίᾳ. «εἰρήνη» γοῦν «ἐξ ἐθνῶν[1]» γέγονεν ἀπὸ τῶν χρόνων τῆς ἀφίξεως αὐτοῦ οἵα οὐδεπώποτε· οὐκέτι γοῦν πόλεις πόλεσιν ὡς τὸ πρὶν πολεμοῦσιν, οὐδὲ ἔθνη ἔθνεσιν συρράσσουσιν, οὐδ' ὡς τὸ παλαιὸν ὁ τῶν ἀνθρώπων βίος ἀκαταστατεῖ, οὐδ' Ἀθηναῖοι μὲν Λακεδαιμονίοις ἐπιστρατεύονται, Σύροι δὲ Φοίνιξιν, Ἀράβιοι δὲ Παλαιστίνοις, καὶ Αἰγύπτιοι τοῖς πλησιοχώροις. ἥνωται δὲ ἐξ ἐκείνου σὺν θεῷ τὰ πάντα, καὶ ἀληθῶς «πλῆθος εἰρήνης ἐξ ἐθνῶν[2]» ἐξ ἐκείνου καὶ εἰς δεῦρο γέγονεν ἀκολούθως τῇ προφητείᾳ. μόνος δὲ Ἰησοῦς καὶ ὁ δι' αὐτοῦ κηρυχθεὶς τῆς εὐαγγελικῆς διδασκαλίας λόγος ἦρξεν τῶν «ἀπὸ θαλάσσης ἕως θαλάσσης», ⟨τῆς⟩ ἑῴας καὶ τῆς κατὰ δυόμενον ἥλιον, καὶ «ἀπὸ ποταμῶν εἰς τὰς διεκβολὰς τῆς γῆς[3]», ἀκολούθως τοῖς ἐν τῷ προφήτῃ προλελεγμένοις. ἅπερ καὶ ὁ Ἀκύλας ὧδέ πως ἡρμήνευσεν εἰπών· «καὶ λαλήσει εἰρήνην ἐν τοῖς ἔθνεσιν, καὶ ἡ ἐξουσία αὐτοῦ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς γῆς.» ταῦτα δὲ τοῖς ἐν τῷ ψαλμῷ σύγκρινον, τῷ ἐπιγεγραμμένῳ «εἰς Σολομῶνα[4]», περὶ τοῦ υἱοῦ τοῦ βασιλέως δηλαδὴ τοῦ ἐκ σπέρματος Σολομῶνος προελευσομένου λεγομένοις, περὶ οὗ φησιν ὁ ψαλμός· «καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.[5]» σημαίνει δὲ καὶ τὴν ἐνταῦθα δηλουμένην εἰρήνην[6] ὁ αὐτὸς ψαλμὸς φάσκων· «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης.[7]» καὶ Ἡσαΐας δὲ τούτοις συντρέχει δι' ὧν φησι· «καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.[8]» εὕροις δ' ἂν καὶ Μιχαίαν[9] τούτοις συνᾴδοντα καὶ ἄλλους πλείους τῶν προφητῶν. ἐπιστήσας δέ, ὡς ἔφην, τοῖς χρόνοις, δυνήσῃ συνιδεῖν ὡς ἀπὸ τῶν Αὐγούστου χρόνων καὶ τῆς κατ' αὐτὸν ἐπιλαμψάσης τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας τῆς Ῥωμαίων μοναρχίας ἐπικρατησάσης αἱ πάλαι τῶν ἐθνῶν διελύθησαν διαστάσεις καὶ πολυαρχίαι, καὶ τόνδε ἐξ ἐκείνου τὸν τρόπον τέλους ἤρξατο τυγχάνειν τὰ τῆς προφητευομένης εἰρήνης. ἀλλὰ νῦν μὲν τέως ἤρξατο, ἔσται δὲ ὅτε πληρέστατα ἡ προφητεία συμπερασθήσεται, ἐπὰν «τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ[10]» τὸ πρὸς τοῦ ἱεροῦ ἀποστόλου δεδηλωμένον.

XVIII. Ἀπὸ Ψαλμοῦ ριζʹ. «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. αὕτη ἡ ἡμέρα ἣν

1. Πρβλ. Ζαχ. 9, 10. 2. Πρβλ. Ζαχ. 9, 10. 3. Ζαχ. 9, 10. 4. Ψαλμ. 71, 1. 5. Ψαλμ. 71, 8. 6. Πρβλ. Ζαχ. 9, 10. 7. Ψαλμ. 71, 7. 8. Ἡσ. 2, 4. 9. Μιχ. 4, 3. 10. Ῥωμ. 11, 25.

ἐποίησεν ὁ κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ὦ κύριε, σῶσον δή, ὦ κύριε, εὐόδωσον δή. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν.[1]»

Τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰσελθόντος ποτὲ εἰς τὰ Ἱεροσόλυμα, ὅτε κατὰ τὴν πρὸ ταύτης προφητείαν ὀχούμενος ὄνῳ τὴν ἐν τῷ Ζαχαρίᾳ[2] πρόρρησιν ἐπλήρου, κατὰ τὸν θεῖον εὐαγγελιστὴν «οἱ ὄχλοι προάγοντες αὐτὸν καὶ ἀκολουθοῦντες ἐπευφήμουν λέγοντες· ὡς ἀννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις», ὅτε «καὶ εἰσελθόντος αὐτοῦ εἰς τὰ Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λεγόντων, τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον, οὗτός ἐστιν ὁ προφήτης Ἰησοῦς, ὁ ἀπὸ Ναζαρὲθ τῆς Γαλιλαίας.[3]» ἐπεὶ τοίνυν ἐκ τοῦ προκειμένου ψαλμοῦ εἴρηται τὸ «ὡς ἀννὰ» (ὅπερ ἑρμηνευθὲν δηλοῖ «σῶσον δή[4]», τὸ δὲ Ἑβραϊκὸν «ἀννὰ Ἀδωναῒ ὡς ἀννὰ» περιέχει), ἀλλὰ καὶ τὸ «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου[5]» (ἐπειδήπερ καὶ αὐτὸ ἀπὸ τοῦ αὐτοῦ ψαλμοῦ μετείληπται), ταῦτα δὲ σαφῶς ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ ἀνενήνεκται, εἰκότως εἰς αὐτὸν καὶ τὰ λοιπὰ τῆς προρρήσεως ἐξειλήφαμεν. οὗτος γὰρ ὢν τυγχάνει εὐλογημένος, ὁ καὶ δι' ἑτέρου προφήτου ὠνομασμένος «ὁ ἐρχόμενος», τοῦ φήσαντος· ἔτι μικρόν, ὁ «ἐρχόμενος ἥξει καὶ οὐ μὴ χρονίσῃ[6]», ὃς καὶ ἐλήλυθεν ἐν ὀνόματι κυρίου τοῦ θεοῦ καὶ πατρὸς αὐτοῦ, αὐτὸς δ' ἂν εἴη καὶ θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν· ἐν ὀνόματι γοῦν τοῦ πατρὸς αὐτοῦ ὁμολογεῖ ἐληλυθέναι, λέγων πρὸς τοὺς Ἰουδαίους· «ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.[7]» αὐτὸς δὴ οὖν οὗτος ὁ ἐπιφανεὶς ἡμῖν θεὸς κύριος, ὁ «εὐλογημένος», ὁ ἐλθὼν «ἐν ὀνόματι κυρίου[8]», αὐτὸς ἦν καὶ ὁ λίθος, «ὃν ἀπεδοκίμασαν» οἱ πάλαι πρότερον τὸν ἐκ περιτομῆς λαὸν διὰ τῆς Μωσαϊκῆς διδασκαλίας «οἰκοδομοῦντες», ὃς καὶ ἀποδοκιμασθεὶς ὑπ' αὐτῶν «εἰς κεφαλὴν» ἑτέρας «γωνίας[9]», τῆς ἐξ ἐθνῶν ἐκκλησίας, κατέστη, ἣν ὡς μὴ τοῖς πᾶσιν ὁρωμένην μόνοις δὲ τοῖς προφητικοῖς ὀφθαλμοῖς θαυμαστὴν εἶναί φησιν ὁ λόγος, φάσκων· «καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.[10]» τὴν δ' ἐπιφάνειαν αὐτοῦ πάλιν ἡμέραν ὀνομάζει, «ἣν ἐποίησεν ὁ κύριος[11]», ἐπεὶ καὶ «φῶς» ἦν αὐτὸς «τὸ ἀληθινὸν[12]» καὶ «ἥλιος δικαιοσύνης[13]» καὶ ἡμέρα τοῦ θεοῦ, ἐν ᾗ γένοιτο καὶ ἡμᾶς εἰπεῖν· «αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.[14]»

Καὶ τούτων δὲ τοῦτον συντετμημένων τὸν τρόπον, καιρὸς καὶ ἐπὶ τὰς περὶ τοῦ πάθους αὐτοῦ μεταβῆναι προφητείας.

1. Ψαλμ. 117, 22-27. 2. Πρβλ. Ζαχ. 9, 9-10. 3. Ματθ. 21, 9-11. 4. Πρβλ. Ψαλμ. 117, 25. 5. Ψαλμ. 117, 26. 6. Ἀβ. 2, 3. 7. Ἰω. 5, 43. 8. Πρβλ. Ψαλμ. 117, 26. 9. Πρβλ. Ψαλμ. 117, 22. 10. Ψαλμ. 117, 23. 11. Πρβλ. Ψαλμ. 117, 24. 12. Α' Ἰω. 2, 8. 13. Μαλ. 4, 2. 14. Ψαλμ. 117, 24.

Τάδε ἔνεστιν ἐν τῷ δεκάτῳ συγγράμματι τῆς περὶ τοῦ σωτῆρος ἡμῶν εὐαγγελικῆς ἀποδείξεως.

Περὶ τῆς Ἰούδα τοῦ προδότου καὶ τῶν σὺν αὐτῷ κατὰ τοῦ Χριστοῦ γενησομένης συσκευῆς· ἐκ τῶν ὑποσεσημειωμένων γραφῶν.

α'. Ἀπὸ Ψαλμοῦ μ'.
β'. Ἀπὸ Ψαλμοῦ νδ'.
γ'. Ἀπὸ Ψαλμοῦ ρη'.
δ'. Ἀπὸ τοῦ Ζαχαρίου.
ε'. Ἀπὸ τοῦ Ἱερεμίου.

Περὶ τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

ς'. Ἀπὸ τοῦ Ἀμώς.
ζ'. Ἀπὸ τοῦ Ζαχαρίου.
η'. Ἀπὸ Ψαλμοῦ κα'.

Εὐαγγελικῆς ἀποδείξεως τόμος δέκατος.

I. Μετὰ τὰς ἀποδεδομένας προρρήσεις περὶ τῆς εἰς ἀνθρώπους ἀφίξεως τοῦ προκηρυττομένου θεοῦ καλεῖ δὴ καιρὸς καὶ τὰ περὶ τὴν ἀπαλλαγὴν τοῦ ἐξ ἀνθρώπων αὐτοῦ βίου διεξελθεῖν, συνιδεῖν τε αὖθις οἷα συμβήσεσθαι περὶ αὐτὸν ἄνωθεν ἐκ τῶν προφητικῶν ἐθεσπίζετο χρόνων. πρῶτα δὲ διελεύσομαι τὰ περὶ τῶν τὸν θάνατον αὐτῷ συσκευωρησαμένων, μέρος οὐ μικρὸν τυγχάνοντα τῆς προκειμένης προτάσεως. πρὸ δέ γε τοῦ λόγου τὰ πολλάκις ἡμῖν εἰρημένα περὶ τῆς κατ' αὐτὸν οἰκονομίας τηρητέον, ὅτι δὴ τὰ μὲν κατὰ τὴν θεότητα αὐτοῦ τὰ δὲ κατὰ τὴν ἐνανθρώπησιν ἐπινοεῖται. πῇ μὲν γὰρ εἰσάγεται λόγος ὢν θεοῦ καὶ θεοῦ δύναμις καὶ θεοῦ σοφία[1]», «μεγάλης τε βουλῆς ἄγγελος[2]», μέγας τε καὶ αἰώνιος ἀρχιερεὺς[3] ὑπὲρ τῆς τῶν γεννητῶν ἁπάντων οὐσιώσεώς τε καὶ σωτηρίας ἱερωμένος καὶ ἱλεούμενος τὸν πατέρα, πῇ δὲ «ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου[4]» καὶ «πρόβατον ἐπὶ σφαγὴν[5]» ἀγόμενον· τοῦτο δὲ ἦν τὸ ἀνθρώπειον σκῆνος, ὃ δίκην ἀμνοῦ καὶ προβάτου ἐκ τῆς ἡμετέρας ἀγέλης οἷά τις ἀρχιερεὺς ἀναλαβὼν καὶ τὴν ἀπαρχὴν τοῦ τῶν ἀνθρώπων γένους καλλιερησάμενος προσηγάγετο τῷ πατρί, δι' οὗ καὶ τῇ τῶν ἀνθρώπων ὡμίλησεν φύσει, οὐκ ἄλλως δυναμένῃ λόγου θεοῦ καὶ δυνάμεως ἀσωμάτου καὶ νοερᾶς ἐπηκόῳ γενέσθαι οὐδέ τι μεῖζον σαρκῶν καὶ σωμάτων δι' ὀφθαλμῶν σαρκὸς ἐπινοῆσαι. ὅσα τοίνυν ἐπὶ τὸ ταπεινότερον δόξειεν ⟨ἂν⟩ ἐν τοῖς προκειμένοις περὶ αὐτοῦ λέγεσθαι, ταῦτα τὸν ἀμνὸν ὁρᾶν τοῦ θεοῦ τὸν αἴροντα «τὴν ἁμαρτίαν τοῦ κόσμου» καὶ τὸ σκῆνος τὸ ἀνθρώπειον ὑποβάλλει νοεῖν. «ἀμνὸς» μὲν γὰρ ἦν «αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» κατὰ τὸν βαπτιστὴν Ἰωάννην τὸν λέγοντα «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου[6]», ἀμνὸς δὲ ἦν καὶ ὁ ἐπὶ σφαγὴν ἀγόμενος κατὰ τὸ παρὰ τῷ Ἡσαΐᾳ λόγιον φάσκον· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος.[7]» περὶ τοῦ αὐτοῦ δὲ ὡς περὶ ἀμνοῦ ἐλέγετο καὶ τὸ «ἀπὸ τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.[8]» ἔδει γὰρ τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν ὑπὸ τοῦ μεγάλου ἀρχιερέως ἀναληφθέντα ὑπὲρ τῶν λοιπῶν συγγενῶν ἀμνῶν καὶ ὑπὲρ πάσης τῆς ἀνθρωπίνης ἀγέλης, θυσίαν τῷ θεῷ προσαχθῆναι. «ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις ἡ ἐκ νεκρῶν[9]» φησιν ὁ ἀπόστολος, καὶ «ὥσπερ δι' ἑνὸς παραπτώματος

---

1. Πρβλ. Α' Κορ. 1, 24. 2. Ἠσ. 9, 6. 3. Πρβλ. Ἑβρ. 6, 20. 4. Ἰω. 1, 29. 5. Πρβλ. Ἠσ. 53, 7. 6. Ἰω. 1, 29. 7. Ἠσ. 53, 7. 8. Ἠσ. 53, 8. 9. Α' Κορ. 15, 21.

εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτως καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς.[1]» ἔνθεν καὶ αὐτὸς τοῖς μὲν ἑαυτοῦ μαθηταῖς ζωὴν καὶ φῶς καὶ ἀλήθειαν ἑαυτὸν εἶναι[2] καὶ τὰς λοιπὰς ἐπινοίας τῆς κατ' αὐτὸν θεολογίας ἐπαίδευεν, τοῖς δὲ ἀμυήτοις τῶν κατ' αὐτὸν ἀπορρήτων ἔλεγεν· τί «με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα;[3]» ὥσπερ οὖν τὰ τῆς θεολογίας ἰδιώματα ἐν τοῖς ἔμπροσθεν ἀποδέδοται, τὸν ὅμοιον δὴ τρόπον κἀνταῦθα τοῦ ἀμνοῦ τὰ ἀνθρωποπαθῆ παραστήσεται, τῶν πρὸ τοῦ πάθους αὐτοῦ μέσον ὄντων, ὁμοῦ τε ἄμφω, τά τε κατὰ τὸν θεὸν καὶ τὰ κατὰ τὸν ἄνθρωπον αὐτοῦ, περιειληφότων. τούτων χρησίμως ἡμῖν προτετηρημένων, ἤδη καὶ τῶν λογίων αὐτῶν ἐφαψώμεθα περὶ τῆς Ἰούδα τοῦ προδότου καὶ τῶν σὺν αὐτῷ κατὰ τοῦ Χριστοῦ γενομένης συσκευῆς περί τε τῶν ἀμφὶ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

Ι. Ἀπὸ Ψαλμοῦ μʹ. «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος. κύριος διαφυλάξει αὐτόν, καὶ ζῆσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ. ἐγὼ εἶπα, κύριε, ἐλέησόν με· ἴασαι ψυχήν μου, ὅτι ἥμαρτόν σοι. οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει· ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ. ἐψιθύριζον πάντες οἱ ἐχθροί μου κατ' ἐμοῦ· ἐλογίζοντο κακά μοι· μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. σὺ δέ, κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα.[4]»

Ἐπειδή τινες ὑπειλήφασιν τὴν βίβλον τῶν ψαλμῶν ὕμνους μόνον εἰς θεὸν καὶ ᾠδὰς θεολογικὰς περιέχειν, οὐ μὴν καὶ προγνώσεις οὐδὲ μελλόντων προφητείας, τοῦτο πρῶτον ἐπιτηρητέον, ὡς μυρία θεσπίζεται δι' αὐτῶν, ἃ καὶ μακρὸν ἂν εἴη συναγαγεῖν ἐπὶ τοῦ παρόντος, ἀρκεῖ δὲ χρήσασθαι εἰς μαρτυρίαν τοῦ λόγου δύο ψαλμοῖς ἐπιγεγραμμένοις μὲν τοῦ Ἀσὰφ εἰρημένοις δὲ κατὰ τοὺς τοῦ Δαβὶδ χρόνους. τὸ τηνικαῦτα γὰρ εἷς τῶν ἱεροψαλτῶν ὁ Ἀσὰφ τυγχάνων, ὡς ἐν τῇ βίβλῳ φέρεται τῶν Παραλειπομένων[5], τοὺς ἐπιγεγραμμένους αὐτοῦ ψαλμοὺς θείῳ πνεύματι προσεφώνησεν. τί δὴ οὖν περιέχου-

---

1. Ῥωμ. 5, 18. 2. Πρβλ. Ἰω. 8, 12. 14, 6. 3. Ἰω. 8, 40. 4. Ψαλμ. 40, 2-13. 5. Πρβλ. Αʹ Παρλ. 16, 5.

σιν οἱ ψαλμοὶ ⟨ἢ⟩ προρρήσεις τῆς πολιορκίας τῆς βασιλικῆς πόλεως τοῦ Ἰουδαίων ἔθνους, ἥτις γέγονεν ἐγγύς που πεντακοσίοις ἔτεσιν μετὰ τὴν πρόρρησιν; λέγει δ' οὖν ὁ ἑβδομηκοστὸς τρίτος ἐπιγεγραμμένος «συνέσεως τῷ Ἀσάφ»· «ἵνα τί ἀπώσω, ὁ θεός, εἰς τέλος; ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς· ἐλυτρώσω ῥάβδον κληρονομίας σου, ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ. ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου. καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν εἴσοδον ὑπεράνω· ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς· ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου· εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.[1]» ταῦτα μὲν ὁ ἑβδομηκοστὸς τρίτος ψαλμός. καὶ ὁ ἑβδομηκοστὸς δὲ ὄγδοος, τοῦ Ἀσὰφ καὶ αὐτὸς τυγχάνων, τάδε περιέχει· «ὁ θεός, εἰσήλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.[2]» τούτων δὲ τὰ μὲν πρῶτα, λέγω δὲ τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ τρίτου ψαλμοῦ, εἴρητο βασιλεύοντος ἔτι τοῦ Δαβίδ, πρὸ τοῦ τὸν ναὸν ὑπὸ Σολομῶνος κατασκευασθῆναι· τέλους δὲ ἔτυχεν οὐκ ἄλλοτε ἢ πρῶτον μὲν ἐπὶ τῆς Βαβυλωνίων πολιορκίας, δεύτερον δὲ ἐπὶ τοῦ Ῥωμαϊκοῦ πρὸς Ἰουδαίους πολέμου. ἕκαστα γὰρ τῶν εἰρημένων ἐπληροῦτο ἐπί τε τῆς πρώτης καὶ δευτέρας τοῦ ἱεροῦ κατασκαφῆς, προγνωσθέντα καὶ ἀναφωνηθέντα ἐν τοῖς εἰρημένοις ψαλμοῖς ὑπὸ τοῦ Ἀσάφ· τὰ δὲ δεύτερα, ⟨τὰ⟩ ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου, ἐπληροῦτο κατὰ τοὺς Ἀντιόχου χρόνους τοῦ κληθέντος Ἐπιφανοῦς, ὃς τῆς Συρίας βασιλεύσας ὑπάγεται μὲν τὰ Ἱεροσόλυμα μιαίνει δὲ τὸν ναὸν καὶ καθαιρεῖ τὸ θυσιαστήριον, ἔπειτα τοὺς Ἰουδαίους ἑλληνίζειν ἐπαναγκάζων, πλείστους ὅσους αὐτῶν ἄνδρας τε καὶ γυναῖκας ὑπὲρ τοῦ οἰκείου νόμου καὶ τῆς πατρῴας εὐσεβείας ἀνῄρει, ποικίλαις προαικιζόμενος τιμωρίαις. εἰς ἐκεῖνον τοιγαροῦν τὸν καιρόν, καὶ εἰς τοὺς μετὰ ταῦτα τῷ Ἀντιόχῳ τὰ ἴσα πράξαντας ἀναφωνεῖ ὁ Ἀσὰφ τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου ψαλμοῦ. μαρτυρεῖ δὲ τῷ λόγῳ ἡ τῶν καλουμένων Μακκαβαίων γραφή, τοῦτον ἔχουσα τὸν τρόπον· «καὶ προσεπισυνήχθησαν πρὸς Ἰάκειμον καὶ Βακχίδην συναγωγὴ γραμματέων ἐκζητοῦσα δίκαια[3]», καὶ ἑξῆς ἐπιλέγει· «καὶ ὤμοσεν αὐτοῖς λέγων, οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν καὶ τοῖς φίλοις ὑμῶν. καὶ ἐνεπίστευσαν αὐτῷ, καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον Ἀσὰφ ὃν

---

1. Ψαλμ. 73, 1-7. 2. Ψαλμ. 78, 1-2. 3. Α' Μακκ. 7, 12.

ἔγραψεν· [1] ἔδωκαν τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, σάρκας ὁσίων σου τοῖς ζῴοις τῆς γῆς [2], αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων.[3]»

Τούτων οὕτως προρρηθέντων καὶ ἀποτελεσθέντων, οὐ θαυμαστὸν εἰ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ προεκτεθέντα τοῦ τεσσαρακοστοῦ ψαλμοῦ λόγια σημαίνει τὰ μέλλοντα ἔσεσθαι κατὰ τὸν καιρὸν τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιβουλῆς· ἅπερ μὴ πάντων ἀνθρώπων συνιέντων, ὅπως λόγος ὢν θεοῦ καὶ σοφία καὶ ζωὴ καὶ φῶς ἀληθινόν [4], καὶ πάντα πλοῦτον ἀγαθῶν κεκτημένος, «δι' ἡμᾶς ἐπτώχευσεν [5]» σάρκα λαβών, καὶ τοῖς τὸ γένος θνητοῖς ἀνθρώποις καὶ πτωχοῖς ὁμοιωθείς, «μορφήν» τε «δούλου» καὶ πένητος ἀνειληφώς [6], καὶ μάλιστα καθ' ὃν καιρὸν ἐπλήρου τὴν ἀπὸ τοῦ ψαλμοῦ προφητείαν, εἰκότως ἐν ἀρχῇ τοῦ ψαλμοῦ μακαρίζεται ὁ ταῦτα περὶ αὐτοῦ συνιείς, ἐπαγγελίας τυγχάνων τῆς ἀναγεγραμμένης. εἶθ' ἑξῆς ἐκ προσώπου λοιπὸν δὴ τοῦ πένητος καὶ πτωχοῦ [7], αὐτοῦ δηλαδὴ τοῦ δι' ἡμᾶς πτωχεύσαντος σωτῆρος ἡμῶν, ἐπιλέγεται· «ἐγὼ εἶπα, κύριε ἐλέησόν με.[8]» ὅτι δὲ ἐκ προσώπου τοῦ σωτῆρος τὰ ἐν τῷ ψαλμῷ θεσπίζεται, αὐτάρκης μάρτυς ὁ εὐαγγελιστὴς Ἰωάννης τυγχάνει. ἱστορεῖ γάρ, ὅτι λαβὼν ὁ Ἰησοῦς ποτε λέντιον περιεζώσατο, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ [9] εἶπεν, «ἐγὼ οἶδα οὓς ἐξελεξάμην. ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.[10]» ποίαν γὰρ πεπληρῶσθαι γραφὴν ἐν τούτοις ἐδήλου ἀλλ' ἢ τὴν τοῦ μετὰ χεῖρας ψαλμοῦ, ἐν ᾧ εἴρηται· «καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν; [11]» φησὶν οὖν ἀρχόμενος· «ἐγὼ εἶπα, κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι [12]», καὶ δι' ὅλου τοῦ ψαλμοῦ. ἅπερ σαφέστερον ὁ Σύμμαχος τοῦτον ἐξέδωκε τὸν τρόπον· «ἐμοῦ λέγοντος, κύριε οἰκτείρησόν με· ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι. οἱ ἐχθροί μου ἔλεγον περὶ ἐμοῦ κακά, πότε ἀποθάνῃ καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; καὶ εἰσερχόμενος ἐπισκέψασθαι, μάταια ἐλάλει· ἡ καρδία αὐτοῦ ἤθροιζεν ἀδικίαν ἑαυτῇ, ἐξερχόμενος δὲ ἔξω κατελάλει. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με, περὶ ἐμοῦ ἐννοοῦντες κακά μοι. λόγος παράνομος ἐκκέχυτο ἔνδον αὐτῶν, καὶ πεσὼν οὐκέτι ἀναστήσεται. ἀλλὰ καὶ ἄνθρωπος, ὃς εἰρήνευέν μοι, ᾧ ἐπεποίθειν, συνέσθων μοι ἄρτον ἐμόν, κατεμεγαλύνθη μου ἀκολούθως. σὺ δέ, κύριε, οἴκτειρόν με καὶ ἀνέγειρόν με, ἵνα ἀνταποδώσω αὐτοῖς. διὰ τοῦτο γνώσομαι ὅτι θελήσεις, ἐὰν μὴ καταλαλήσῃ ὁ ἐχθρός μου. ἐμοῦ δὲ διὰ τὴν ἁπλότητα

---

1. Α' Μακκ. 7, 15-16. 2. Ψαλμ. 78, 2. 3. Α' Μακκ. 7, 17. 4. Πρβλ. Ἰω. 1, 1, 4, 9. 5. Β' Κορ. 8, 9. 6. Πρβλ. Φιλιπ. 2, 7. 7. Πρβλ. Ψαλμ. 40, 2. 8. Ψαλμ. 40, 5. 9. Πρβλ. Ἰω. 13, 4 ἑξ. 10. Ἰω. 13,18. 11. Ψαλμ. 40, 10. 12. Ψαλμ. 40, 5.

ἀντέσχου, καὶ παραστήσεις με ἔμπροσθέν σου δι' αἰῶνος.» ἰσοδυναμεῖ δὲ τοῖς τοῦ Συμμάχου καὶ τὰ Ἀκύλου.

Πρῶτον οὖν περὶ τοῦ δοκεῖν ἀπεμφαίνειν ἐκ προσώπου τοῦ σωτῆρος ἡμῶν τὸ εἰρημένον, τὸ «ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι [1]», τηρήσεις τὸ παρὰ τῷ Συμμάχῳ μὴ οὕτως ἔχον, ἀλλὰ «ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι.» καὶ οὕτως δὲ τοῦτό φησιν, ἐπειδὴ τὰς ἡμετέρας κοινοποιεῖ εἰς ἑαυτὸν ἁμαρτίας. διὸ λέλεκται· «καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν [2]», καὶ «αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει.[3]» γέγονε γοῦν «ὑπὲρ ἡμῶν κατάρα [4]» «ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου [5]», ὃν καὶ «μὴ γνόντα ἁμαρτίαν ὁ θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν [6]», ἀντίψυχον ὑπὲρ πάντων ἡμῶν προέμενος αὐτόν, «ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.[7]» ἀλλ' ἐπεὶ καὶ «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας» γενόμενος «κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί [8]», εἰκότως προφέρεται τὰ ἐκκείμενα. ὅτι δὲ τὰς ἡμετέρας ἁμαρτίας ἐξοικειούμενος διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην καὶ φιλανθρωπίαν ταῦτά φησιν, ἑξῆς ὑποκαταβὰς ἐν αὐτῷ τῷ ψαλμῷ ἐπιφέρει λέγων· «ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου [9]», σαφῶς τὸ ἀπειρόκακον τοῦ ἀμνοῦ τοῦ θεοῦ παριστάς. πῶς δὲ τὰς ἡμετέρας ἁμαρτίας ἐξοικειοῦται, καὶ πῶς φέρειν λέγεται τὰς ἀνομίας ἡμῶν ἢ καθ' ὃ σῶμα αὐτοῦ εἶναι λεγόμεθα κατὰ τὸν ἀπόστολον φήσαντα· «ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους; [10]» καὶ καθ' ὃ πάσχοντος ἑνὸς μέλους «συμπάσχει πάντα τὰ μέλη [11]», οὕτως τῶν πολλῶν μελῶν πασχόντων καὶ ἁμαρτανόντων, καὶ αὐτὸς κατὰ τοὺς τῆς συμπαθείας λόγους (ἐπειδήπερ εὐδόκησεν θεοῦ λόγος ὢν «μορφὴν δούλου [12]» λαβεῖν καὶ τῷ κοινῷ πάντων ἡμῶν σκηνώματι συναφθῆναι) τοὺς τῶν πασχόντων μελῶν πόνους εἰς ἑαυτὸν ἀναλαμβάνει, καὶ τὰς ἡμετέρας νόσους ἰδιοποιεῖται, καὶ πάντων ἡμῶν ὑπεραλγεῖ καὶ ὑπερπονεῖ κατὰ τοὺς τῆς φιλανθρωπίας νόμους. οὐ μόνον δὲ ταῦτα πράξας «ὁ ἀμνὸς τοῦ θεοῦ [13]», ἀλλὰ καὶ ὑπὲρ ἡμῶν κολασθεὶς καὶ τιμωρίαν ὑποσχών, ἣν αὐτὸς μὲν οὐκ ὤφειλεν ἀλλ' ἡμεῖς τοῦ πλήθους ἕνεκεν τῶν πεπλημμελημένων, ἡμῖν αἴτιος τῆς τῶν ἁμαρτημάτων ἀφέσεως κατέστη, ἅτε τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος θάνατον, μάστιγάς τε καὶ ὕβρεις καὶ ἀτιμίας ἡμῖν ἐποφειλομένας εἰς ἑαυτὸν μετατιθείς, καὶ τὴν ἡμῖν προστετιμημένην κατάραν ἐφ' ἑαυτὸν ἑλκύσας, «γενόμενος ὑπὲρ ἡμῶν κατάρα [14]», καὶ τί γὰρ ἄλλο ἢ ἀντίψυχον. διό φησιν ἐξ ἡμετέρου προσώπου τὸ λόγιον· «τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν [15]», ὥστε εἰκότως ἑνῶν ἑαυτὸν ἡμῖν ἡμᾶς τε αὐτῷ καὶ τὰ

---

1. Ψαλμ. 40, 5. 2. Ἡσ. 53, 6. 3. Ἡσ. 53, 4. 4. Γαλ. 3, 13. 5. Ἰω. 1, 29. 6. Β' Κορ. 5, 21. 7. Β' Κορ. 5, 21. 8. Ῥωμ. 8, 3. 9. Ψαλμ. 40, 13. 10. Α' Κορ. 12, 27. 11. Α' Κορ. 12, 26. 12. Φιλιπ. 2, 7. 13. Ἰω. 1, 29. 14. Γαλ. 3, 13. 15. Ἡσ. 53, 5, 6.

ἡμέτερα πάθη ἰδιοποιούμενος φησίν· «ἐγὼ εἶπα, κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.[1]»

Ὁρῶντας δὲ εἰκότως τοὺς ἐπιβουλεύοντας, οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ ἀοράτους δυνάμεις, τὴν ὑπερβάλλουσαν ἰσχὺν αὐτοῦ τῆς θείας προσηγορίας καὶ τοῦ ὀνόματος, δι' οὗ μικρὸν ὕστερον Χριστιανῶν τὴν πᾶσαν κατέπλησεν οἰκουμένην, σβέσειν αὐτὴν [οἴεσθαι] ὑπειληφέναι, εἰ τὰ πρὸς θάνατον ἐπιβουλεύσαιεν αὐτῷ, τοῦτο δὴ οὖν αὐτὸ διελέγχει, φάσκων· «οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;[2]» ἐπεὶ δὲ καθυποκρινόμενοι προσήεσαν, πειράζοντες «ὅπως αὐτὸν παγιδεύσωσιν[3]», ὡς ἡ θεία γραφὴ μαρτυρεῖ, ἄλλοτε ἄλλας αὐτοὺς προφάσεις καὶ κατηγορίας κατ' αὐτοῦ συσκευάζεσθαι ἱστοροῦσα, τούτων ἕνεκα ἐπιλέγει· «καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει· ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ.[4]» ἑξῆς δὲ τούτοις ἤδη σαφῶς ἐμφαίνει καὶ αὐτὸν ἐκεῖνον τὸν δυσσεβέστατον προδότην, ἐπειδὴ συνέβαινεν, μεθ' ἃς πεποίητο συνθήκας τοῖς ἄρχουσι τῶν Ἰουδαίων περὶ τῆς τοῦ διδασκάλου προδοσίας, μηκέτ' ἀπαντᾶν αὐτὸν συνήθως ἐπὶ τὴν τῶν θείων μαθημάτων διδασκαλίαν, μηδ' ὡς παρὰ διδάσκαλον φοιτᾶν μηδ' ὁμοίως τοῖς ἑτέροις παραβάλλειν τῇ τοῦ σωτῆρος διατριβῇ, ἀλλ' ἐπὶ τῷ κατοπτεύειν καὶ θηρεύειν καιρὸν ὅτε δεῖ ἐπιθέσθαι αὐτῷ. τοῦτο δ' οὖν καὶ κατηγορεῖται πράττων ὑπὸ τῶν ἱερῶν εὐαγγελιστῶν, ὧν ὁ μὲν Ματθαῖός φησιν· «τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς· τί θέλετέ μου δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. καὶ ἀπὸ τότε, ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ αὐτοῖς[5]», ὁ δὲ Μάρκος· «καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς, ἵνα αὐτὸν παραδῷ αὐτοῖς. οἱ δὲ ἀκούσαντες ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι καὶ ἐζήτει πῶς αὐτὸν εὐκαίρως παραδῷ[6]», ὁ δὲ Λουκᾶς γράφει λέγων· «εἰσῆλθεν δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα· καὶ ἀπελθὼν συνελάλησεν τοῖς ἀρχιερεῦσιν καὶ γραμματεῦσι καὶ τοῖς στρατηγοῖς τοῦ ἱεροῦ, ἵνα αὐτὸν παραδῷ αὐτοῖς, καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.[7]» ταῦτα δὴ οὖν αὐτὰ θεσπίζουσα ἡ μετὰ χεῖρας πρόρρησις ἐπιλέγει· «καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει· ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ. ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ. ἐψιθύριζον πάντες οἱ ἐχθροί μου.[8]» ὁ γοῦν Σύμμαχος, «εἰσερχόμενος»,

1. Ψαλμ. 40, 5. 2. Ψαλμ. 40, 6. 3. Ματθ. 22, 15. 4. Ψαλμ. 40, 7-8. 5. Ματθ. 26, 14-16. 6. Μάρκ. 14, 10-11. 7. Λουκ. 22, 3-6. 8. Ψαλμ. 40, 7-8.

φησίν, «ἐπισκοπῆσαι, μάταια ἐλάλει· ἡ καρδία αὐτοῦ ἤθροιζεν ἀδικίαν ἑαυτῇ, ἐξερχόμενος δὲ ἔξω κατελάλει. ὁμοθυμαδὸν ἐψιθύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με.» μόνος μὲν οὖν ὡς ἂν γνώριμος καὶ μαθητὴς παρὰ διδάσκαλον εἰσιὼν περιεσκόπει καὶ κατεμάνθανεν, ἔνδον ἐπὶ τῆς ἑαυτοῦ καρδίας κρύπτων τὴν ἐπιβουλήν, ἐξιὼν δὲ μετὰ πλειόνων « ὁμοθυμαδὸν» καὶ ἐπὶ τὸ αὐτὸ «κατελάλει», τοῖς ἐχθροῖς προδιδοὺς τὸν σωτῆρα, καὶ συνταττόμενος τοῖς τῶν Ἰουδαίων ἄρχουσιν λεληθότως περὶ ἑτέρων οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν χρημάτων, ἐφ' οἷς παραδώσειν αὐτὸν ὑπισχνεῖτο, περὶ ὧν μετ' αὐτῶν ἐκείνων ἐψιθύριζε. διό φησιν· «ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ· ἐψιθύριζον πάντες οἱ ἐχθροί μου κατ' ἐμοῦ· ἐλογίζοντο κακά μοι· λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.[1]» ἔοικεν δὲ τὴν συνταγὴν τὴν περὶ τῶν ἀργυρίων «λόγον παράνομον [2]» διὰ τῆς προφητείας ὀνομάζειν, ἢ καὶ ὅτι ἀσεβῆ καὶ παράνομα κατ' αὐτοῦ διενοοῦντο, ὡς ἂν σβεσθησομένου καὶ διαφθαρησομένου μετὰ τὸν θάνατον καὶ μηκέτ' ἐν ζῶσιν ἐξετασθησομένου. τοιοῦτον γάρ ἐστιν τὸ «μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; [3]» ὅπερ λευκότερον ὁ Σύμμαχος ἐξέφηνεν, εἰπών· «καὶ πεσὼν οὐκέτ' ἀναστήσεται», ὁ δὲ Ἀκύλας φησίν· «καὶ ὃς ἂν κοιμηθῇ, οὐ προσθήσει τοῦ ἀναστῆναι.» καὶ ταῦτα ἔτι κοινῶς περὶ πάντων εἴρηται τῶν κατὰ τὸν καιρὸν τοῦ πάθους ἐπιβεβουλευκότων αὐτῷ. ἰδίως δὲ πάλιν περὶ τοῦ προδότου, ὡς ἂν περὶ μαθητευθέντος αὐτῷ, ἑξῆς ἐπιφέρει λέγων· «καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν [4]», ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος· «καὶ ἄνθρωπος», φησίν, «ὃς εἰρήνευσέν μοι, ᾧ ἐπεποίθειν, συνεσθίων μοι ἄρτον ἐμόν, κατεμεγαλύνθη μου.» χείριστος γὰρ ἀληθῶς ἁπάντων καὶ ἐναγέστατος ὁ μετὰ κοινὴν τράπεζαν καὶ τὴν ἐν λόγοις τοῦ διδασκάλου τροφὴν ἐπὶ τὰ χείρω τραπεὶς καὶ τοῖς ἐναντίοις τὸν εὐεργέτην ἀνταμειψάμενος.

Ἀλλ' ἐπειδήπερ ἐπιβουλεύοντες οἱ ἐχθροὶ ἔλεγον· «πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ [5]», ᾤοντό τε κοιμηθέντα μηκέτ' ἀναστήσεσθαι [6], τούτου χάριν αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν τἀναντία τούτοις εὐχόμενος, καὶ τῆς ἀναστάσεως ἀκωλύτως τυχεῖν ἀξιῶν τὸν πατέρα, φησίν· «σὺ δέ, κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ.[7]» καὶ πρόδηλόν γε τίνα τρόπον μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ παραχρῆμα καὶ οὐκ εἰς μακρὸν μετῆλθεν τοὺς ἐπιβεβουλευκότας αὐτῷ ἡ ἀνταπόδοσις, ὅπως τε «ὁ ἐχθρὸς» αὐτοῦ ζωῆς τυγχάνοντος θάνατος κατῃσχύνθη, ὥστε τοὺς ἐπονειδίζοντας εἰπεῖν· «ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, θά-

1. Πρβλ. Ψαλμ. 40, 7-9. 2. Ψαλμ. 40, 9. 3. Ψαλμ. 40, 9. 4. Ψαλμ. 40, 10. 5. Ψαλμ. 40, 6. 6. Πρβλ. Ψαλμ. 40, 9. 7. Ψαλμ. 40, 11-12.

νατε, τὸ νῖκος;[1]» ἐντυχὼν δέ τις ταῖς μετὰ τὴν ἀνάστασιν τοῦ σωτῆρος ἡμῶν ἱστορίαις τῷ Ἰωσήπῳ γραφείσαις εἴσεται τὰς μετελθούσας τὸ Ἰουδαίων ἔθνος καὶ τοὺς ἄρχοντας αὐτῶν συμφοράς, αἷς εἰκότως περιπεπτώκασιν, τὰ ἐπίχειρα ὧν εἰς αὐτὸν ἔδρασαν ἀπολαμβάνοντες. καὶ ταῦτα μὲν εἰς ἐκείνους ἐπληροῦτο πάντα κατὰ τὴν πρόρρησιν. τοῦ δὲ σωτῆρος ἡμῶν ἡ ἐκ νεκρῶν ἀνάστασις διέδειξεν τοῖς πᾶσιν ὅπως ἐν αὐτῷ εὐδόκησεν ὁ πατήρ[2], ὃ καὶ αὐτὸς διδάσκει λέγων· «ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί.[3]» τούτοις ἐπιλέγει· «ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου.[4]» καὶ τήρει γε τίνα τρόπον αὐτῷ τῷ θεῷ καὶ πατρὶ αὐτοῦ τὴν εὐχὴν ἀναπέμπω ἐπὶ τοσαύτῃ ταθάρρηκεν παρρησίᾳ, ὡς «ἀκακίαν[5]» ἑαυτῷ μαρτυρεῖν, καίτοι ἀνωτέρω φήσας· «ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.[6]» ἀλλὰ τὸ μὲν «ἥμαρτόν σοι» ὁποίας ἔχεται διανοίας προδιειλήφαμεν, καὶ ὁ Σύμμαχος δὲ σαφέστερον παρέστησεν εἰπών· «ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι», ὃ καὶ αὐτὸ λέγοιτ' ἂν περὶ τῶν ἡμετέρων ἁμαρτημάτων, ἅπερ ὁ σωτὴρ καὶ κύριος ἡμῶν εἰς ἑαυτὸν ἀνεδέξατο. τὸ δὲ «ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου[7]» τὴν δι' ὅλου καθαρότητα τῆς αὐτοῦ φύσεως παρίστησιν, δι' ἣν καὶ τὸ ἑδραῖον καὶ ἄσειστον τῆς ζωῆς καὶ τῆς μετὰ τὴν ἀνάστασιν αὐτοῦ σωτηρίας διδάσκων, ἐπιλέγει· «καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα[8]», ἢ «καὶ παραστήσεις με ἔμπροσθέν σου δι' αἰῶνος» κατὰ τὸν Σύμμαχον.

ΙΙ. Ἀπὸ Ψαλμοῦ νδ'. «Ἐνώτισαι, ὁ θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσχες μοι, καὶ εἰσάκουσόν μου. ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ· ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέν με σκότος[9]», καὶ τὰ ἑξῆς. οἷς ἐπιλέγει· «καταπόντισον, κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου· ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.[10]»

Τὸ «εἰ ἐχθρὸς ὠνείδισέν με, ἐπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με

---

1. Α' Κορ. 15, 55. 2. Πρβλ. Ματθ. 3, 17. 3. Ψαλμ. 40, 11-12. 4. Ψαλμ. 40, 13. 5. Ψαλμ. 40, 13. 6. Ψαλμ. 40, 5. 7. Ψαλμ. 40, 13. 8. Ψαλμ. 40, 13. 9. Ψαλμ. 54, 2-6. 10. Ψαλμ. 54, 10-15.

ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ, σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα[1]» ὅμοιόν ἐστιν τῷ «καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν[2]», περὶ τοῦ Ἰούδα ἐν τῇ πρὸ ταύτης προφητείᾳ κειμένῳ. ὥσπερ οὖν ἐν ἐκείνῳ ἐδείκνυτο «ἄνθρωπος εἰρήνης[3]» ποτὲ γεγονώς, ὅτε τῷ σωτῆρι ἐμαθητεύετο, εἷς καὶ αὐτὸς τοῦ τῶν ἀποστόλων ἀριθμοῦ χρηματίσας, οὕτως καὶ ἐν τῷ προκειμένῳ «ἰσόψυχος» καὶ «ἡγεμὼν» καὶ «γνωστὸς» αὐτῷ προσηγόρευται.[4] καὶ πάλιν ὡς ἐν ἐκείνῳ περὶ αὐτοῦ εἴρητο «ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν[5]», τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ παρόντος εἰς αὐτοῦ πρόσωπον λέγεται τὸ «ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα·[6]» καὶ γὰρ τῶν καταξιουμένων καὶ αὐτὸς εἷς ἦν τῆς ἀπορρήτου πρὸς τοὺς μαθητὰς τοῦ σωτῆρος ἡμῶν ὁμιλίας τε καὶ πνευματικῆς τροφῆς. τοῖς μὲν γὰρ ἔξω πλήθεσι καὶ «τοῖς ὄχλοις» «ἐν παραβολαῖς» ἐλάλει[7], μόνοις δὲ τοῖς ἑαυτοῦ μαθηταῖς, ἐν οἷς καὶ ὁ Ἰούδας ἐξητάζετο, «ἐπέλυεν ἅπαντα.[8]» διὸ λέλεκται «ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν[9]» καὶ «ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα.[10]» ἅπερ σαφέστερον ἐξέφηνεν ὁ μὲν Ἀκύλας εἰπών· «οἳ ὁμοῦ ἐγλυκάναμεν ἀπόρρητον», ὁ δὲ Σύμμαχος· «οἵτινες ἐκοινολογούμεθα γλυκεῖαν ὁμιλίαν.» ἀντὶ δὲ τοῦ «σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου[11]» ὁ Σύμμαχός φησιν «σὺ δὲ ἄνθρωπε ὁμότροπός μοι καὶ ἡγεμών μου καὶ γνωστέ μου.» ἐπειδήπερ τοσούτων ἠξιωμένος φίλος ἐν τοῖς μάλιστα ἦν τοῦ σωτῆρος, εἰκότως φησὶ περὶ αὐτοῦ τὸ «ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν[12]», καὶ τὰ ἑξῆς.

Ταῦτα δὲ περὶ τοῦ Ἰούδα θεσπίσας, ἀκολούθως τὴν ἐκ τοῦ θανάτου σωτηρίαν καὶ ἀποφυγὴν ἑαυτοῦ προδιδάσκει λέγων· «ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος ἔσωσέν με. ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου, λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου.[13]» ὡς ἐν εὐχῇ τὸν πρὸ τοῦ θανάτου καιρὸν σημαίνει, καθ' ὃν καὶ ὁ Ἰούδας τὰ τῆς κατ' αὐτοῦ προδοσίας συνεσκευάσατο· τότε οὖν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, ὡς ἐπὶ ὀλέθρῳ καὶ ἀπωλείᾳ τοῦ γνωρίμου δυσφορῶν, καὶ ἔτι μᾶλλον ἐπὶ τῇ τοῦ παντὸς Ἰουδαίων ἔθνους ἀποβολῇ, ὥσπερ ἐπὶ μεμηνόσιν οἰκείοις καὶ ὡς ἐπὶ φιλτάτοις συμπάσχων, πᾶσαν τὴν πρὸς αὐτοὺς ὁμιλίαν καὶ διδασκαλίαν, διὰ τὸ μηδὲν αὐτοὺς ὠφεληκέναι, «ἀδολεσχίαν» ἀποκαλεῖ, φάσκων· «ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ, ὅτι

---

1. Ψαλμ. 54, 13-15. 2. Ψαλμ. 40, 10. 3. Πρβλ. Ψαλμ. 40, 10. 4. Πρβλ. Ψαλμ. 54, 14. 5. Ψαλμ. 40, 10. 6. Ψαλμ. 54, 15. 7. Πρβλ. Ματθ. 13, 34. 8. Μάρκ. 4, 34. 9. Ψαλμ. 40, 10. 10. Ψαλμ. 54, 15. 11. Ψαλμ. 54, 14. 12. Ψαλμ. 54, 13. 13. Ψαλμ. 54, 17-19.

ἐξέκλιναν», φησίν, «ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.[1]» ἅπερ δύναται μὲν καὶ ἐπὶ τοὺς ἄρχοντας τῶν ἐκ περιτομῆς ἀναφέρεσθαι, τοὺς ἐχθρωδῶς καὶ ἐπιβουλευτικῶς ἐνεδρεύειν αὐτὸν πειρωμένους, δύναται δὲ καὶ περὶ δυνάμεων ἀοράτων ἔξωθεν αὐτὸν προσπολεμουσῶν καὶ τὴν δι' ἀνθρώπων κατασκευὴν ἐνεργουσῶν λέγεσθαι. ἃ καὶ συνᾴδειν μοι δοκεῖ τοῖς ἐν τῷ εὐαγγελίῳ ὑπ' αὐτοῦ λελεγμένοις κατὰ τὸν τοῦ πάθους καιρόν, ὅτε λέγει τοῖς ἑαυτοῦ μαθηταῖς· «περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ[2]», καὶ πάλιν· «νῦν ἡ ψυχή μου τετάρακται.[3]» ὅμοια γοῦν τούτοις ἐστὶν καὶ τὰ ἐν τῷ ψαλμῷ, ἐν ᾧ λέλεκται· «ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ, φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέν με σκότος[4]», δι' ὧν τῶν ἀντικειμένων δυνάμεων τὰς κατ' αὐτοῦ ὁρμὰς σημαίνει. ὡς γοῦν ἐν ταῖς προφητείαις ὠνόμασταί τι πνεῦμα πορνείας, κατὰ τὸ «πνεύματι πορνείας ἐπλανήθησαν[5]», καὶ ἄλλο «πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ[6]», τὸν αὐτὸν τρόπον καὶ πνεῦμα θανάτου εἴη ἂν δειλίας ποιητικόν, ὡς καὶ πνεῦμα ἰσχύος καὶ δυνάμεως καὶ ἀνδρείας τῆς κατὰ θεὸν ἐνεργητικόν. οὕτω δ' ἂν λεχθείη πνεῦμα φόβου καὶ τρόμου, καὶ πάλιν ἕτερον παρὰ ταῦτα πνεῦμα φόβου καὶ συγχύσεως, ἃ καὶ σχεδὸν εἰπεῖν ἅπασι μὲν τοῖς ἐν μαρτυρίῳ τὸν ὑπὲρ εὐσεβείας θάνατον ἀναδεχομένοις ἐφορμᾶν εἴωθεν, πολὺ πλέον δὲ καὶ μᾶλλον ἐπιτέθειται αὐτῷ τὸν ὑπὲρ ἁπάντων θάνατον ὑπομείναντι. πλὴν ἀ⟨λ⟩λ' εἴτε πνεῦμα δειλίας καὶ θανάτου, εἴτε φόβου καὶ τρόμου[7], ἢ εἴ τίς γε ἑτέρα τοιαύτη δύναμις ἐπιπέπτωκεν αὐτῷ, ἀλλ' οὔ τι γε κατέρραξεν αὐτόν, ἐπεὶ οἷα γενναῖος ἀθλητὴς τὴν μὲν δειλίαν τοῦ θανάτου πεποιθήσει ζωῆς (αὐτὸς γὰρ ἡ ζωή)[8] μακρὰν ἀπέρριψεν ἀποσεισάμενος. ὡσαύτως δὲ καὶ τὸ ἐπελθὸν αὐτῷ πνεῦμα φόβου ἢ τρόμου ποιητικὸν πνεύματι θάρσους καὶ δυνάμεως καὶ ἰσχύος πορρωτάτω ἀπηκόντισεν, ἐπεὶ κατὰ τὸν Ἡσαΐαν ἐπανεπαύσατο «ἐπ' αὐτὸν» μετὰ τῶν ἄλλων πνευμάτων καὶ «πνεῦμα βουλῆς καὶ ἰσχύος.[9]» οὕτω καὶ τὸ πνεῦμα τοῦ σκότους τῇ τοῦ ἰδίου φωτὸς ἀπεσκέδασεν δυνάμει, ἐπεὶ «τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.[10]» εὕροις δ' ἂν τὰ παραπλήσια τούτοις καὶ ἐν εἰκοστῷ πρώτῳ ψαλμῷ, ἐν ᾧ πάλιν ἐκ τοῦ αὐτοῦ λέλεκται προσώπου· «περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος[11]», καὶ πάλιν· «ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με[12]», καὶ αὖθις· «ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς

---

1. Πρβλ. Ψαλμ. 54, 3-4. 2. Ματθ. 26, 38. 3. Ἰω. 12, 27. 4. Ψαλμ. 54, 5-6. 5. Ὡσ. 4, 12. 6. Ἱερ. 4, 11. 7. Πρβλ. Ψαλμ. 54, 6. 8. Πρβλ. Ἰω. 1, 4. 9. Ἡσ. 11, 2. 10. Ἰω. 1, 5. 11. Ψαλμ. 21, 13-13. 12. Ψαλμ. 21, 17.

τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.[1]» σαφῶς γὰρ ἐν τούτοις δυνάμεις πονηρὰς ταύρους καὶ μόσχους καὶ λέοντας καὶ κύνας καὶ μονοκέρωτας ἀποκαλεῖ, αἳ «περιέσχον» μὲν αὐτὸν καὶ «περιεκύκλωσαν[2]» κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρόν, οὐ μὴν καὶ ἐνεργῆσαί τι κατ' αὐτοῦ δεδύνηνται. καὶ ταῦτα μέν., εἰ καὶ ταῦτα τοῦ ψαλμοῦ τὰ μέρη ἐπὶ τὸν σωτῆρα καὶ κύριον ἡμῶν ἀνάγοιτο· εἰ δὲ μὴ ἐπ' αὐτὸν ἀλλ' ἐφ' ἕτερον πρόσωπον, ἐπιστήσεις καὶ αὐτός, ὡς ἂν ἐξομαλισθέντα τὰ κατὰ τὸν τόπον. πλὴν ἀλλὰ καὶ περὶ τῆς τῶν Ἰουδαίων μητροπόλεως, αὐτῆς δὴ τῆς Ἱερουσαλήμ, ἀκολούθως μετὰ τὴν κατὰ τῶν ἐπιβουλευσάντων αὐτῷ πρόρρησιν ἐπιλέγει ἑξῆς· «εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει[3]», καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ὁποίας ἔχεται διανοίας, οὐ νῦν σχολὴ διηγεῖσθαι.

ΙΙΙ. Ἀπὸ Ψαλμοῦ ρη'. «Ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ· καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ· ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.[4]»

Καὶ τῆς τῶν προκειμένων ἐπὶ τὸν προδότην Ἰούδαν ἀναφορᾶς ἐχέγγυος μάρτυς ὁ ἀπόστολος Πέτρος, μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν συνηγμένων τῶν ἀποστόλων πάντων σὺν καὶ ἄλλοις πλείοσιν ἀδελφοῖς, μέσος ἀναστὰς καὶ ταῦτα φήσας· «ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφήν, ἣν προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν, ὅτι κατηριθμημένος ἦν ἐν ἡμῖν, καὶ ἔλαχεν τὸν κλῆρον τῆς διακονίας ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας αὐτοῦ, καὶ πρηνὴς γενόμενος ἐλάκησεν μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμάχ, ὅ ἐστι χωρίον αἵματος. γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν, γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.[5]» ταῦτα γοῦν ὁ Πέτρος εἰπὼν ὑποτίθεται ἕτερον ἀντὶ τοῦ Ἰούδα δεῖν παραλαβεῖν εἰς τὸν λείποντα τῶν δώδεκα ἀποστόλων ἀριθμόν, ὅπως πληρωθῇ τὸ τῆς προφητείας, ὅτε κλήρου γενομένου «ἔπεσεν ὁ κλῆρος

1. Ψαλμ. 21, 21-22. 2. Πρβλ. Ψαλμ. 21, 13, 14, 17, 21, 22. 3. Ψαλμ. 54, 10. 4. Ψαλμ. 108, 1-8. 5. Πράξ. 1, 16-20.

ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν δώδεκα ἀποστόλων[1]». τούτων οὕτως ἐκτελεσθέντων, ἀκόλουθον ἂν εἴη τὸ λέγον ἐν τῷ ψαλμῷ πρόσωπον οὐχ ἕτερον ἡγεῖσθαι τοῦ σωτῆρος ἡμῶν, ὃς τῷ πατρὶ τὴν ἀναπεμφθεῖσαν αὐτῷ παρὰ τὸν τοῦ πάθους καιρὸν εὐχὴν τῆς διὰ τοῦ ἁγίου πνεύματος ἀναγραφῆς προλαβὼν κατηξίωσεν, τὸ μέλλον περὶ αὐτοῦ συμβήσεσθαι θεσπίσας. φησὶν οὖν· «ὁ θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς[2]», τὴν ὑπ' αὐτοῦ παραδοθεῖσαν τοῖς αὐτοῦ μαθηταῖς διδασκαλίαν καὶ τῆς καινῆς διαθήκης τὴν αἴνεσιν παρακαλῶν μὴ κατασιγασθῆναι, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα παραμεῖναι τῷ βίῳ.

«Στόμα δὲ ἁμαρτωλοῦ καὶ στόμα δολίου[3]» κυρίως ἂν λεχθείη τὸ τοῦ Ἰούδα, ὃς πορευθεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς· «τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας. καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ αὐτοῖς.[4]» τοιαῦτα γοῦν κατ' αὐτοῦ συνθέμενος, εἷς ἦν τῶν μετὰ ταῦτα σὺν αὐτῷ ἀνακειμένων ἐν τῷ τοῦ πάσχα συμποσίῳ, ὅτε καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν «ἀνέκειτο μετὰ τῶν δώδεκα, ἐσθιόντων τε αὐτῶν εἶπεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν ἕκαστος αὐτῶν, μή τι ἐγώ εἰμι, κύριε;[5]» ἐν οἷς ἦν καὶ Ἰούδας, ὃς τὸ πλῆρες παντὸς δόλου καὶ εἰρωνείας ἀνοίξας στόμα ἀποκριθεὶς «εἶπεν, μή τι ἐγώ εἰμι Ῥαββί;[6]» δόλιον δὴ στόμα[7], δι' οὗ τὸ σημεῖον τοῖς ἐπιβούλοις τοῦ σωτῆρος ἡμῶν ἐδήλου, λέγων· «ὃν ἐὰν φιλήσω, αὐτός ἐστιν, κρατήσατε αὐτόν.[8]» ὃ καὶ εἰπὼν ἔργῳ τὸν δόλον ἀπεπλήρου, ὅτε «προσελθὼν τῷ Ἰησοῦ εἶπεν αὐτῷ, χαῖρε Ῥαββί, καὶ κατεφίλησεν αὐτόν. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, ἑταῖρε, ἐφ' ᾧ πάρει;[9]» καὶ πάλιν· «Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;[10]» τούτων δ' οὖν ἕνεκα προλαβὼν διὰ τοῦ ψαλμοῦ φησιν· «ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ· καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν[11]», ἔνθα μετὰ τοῦ Ἰούδα καὶ τῶν λοιπῶν τῶν ἐπιβουλευσάντων αὐτῷ μνημονεύει. λέγει δ' οὖν τὸ εὐαγγέλιον, ὡς ἄρα τοῦ σωτῆρος ἡμῶν «ἔτι» τοῖς ἑαυτοῦ μαθηταῖς «λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθεν, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ.[12]» οἷς καὶ εἶπεν ὁ κύριος· «ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν.[13]»

---

1. Πράξ. 1, 26. 2. Ψαλμ. 108, 1. 3. Ψαλμ. 108, 2. 4. Ματθ. 26, 14-16. 5. Ματθ. 26, 20-22. 6. Ματθ. 26, 25. 7. Πρβλ. Ψαλμ. 108, 2. 8. Ματθ. 26, 48. 9. Ματθ. 26, 49-50. 10. Λουκ. 22, 48. 11. Ψαλμ. 108, 2-3. 12. Ματθ. 26, 46-47. 13. Ματθ. 26, 55-56.

Ἔτι δέ φησιν ἐν τῷ ψαλμῷ· «ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην.[1]» τότε καὶ αὐτὸ τέλους ἐτύγχανεν, ὅτε τοῦ σωτῆρος ἡμῶν ἐν τῷ καλουμένῳ Γεθσημανῆ χωρίῳ μετὰ τῶν ἕνδεκα ἀποστόλων προσευχομένου[2], μικρόν γε ἀναχωρήσαντος αὐτῶν καὶ προσπεσόντος τῷ πατρί, δεύτερόν τε εὐξαμένου καὶ τρίτον, ὁ Ἰούδας σὺν τοῖς ἄρχουσι τῶν Ἰουδαίων τὰ τῆς ἐπιβουλῆς αὐτῷ κατήρτυεν, συνάγων καὶ προξενῶν τὸ πλῆθος τῶν μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν αὐτὸν παρεσκευασμένων. «κακὰ» δὲ εἰς αὐτὸν «ἔθεντο» «ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεως» αὐτοῦ[3], ὅτε πονηρὰ διετέθειντο τὸν σωτῆρα καὶ εὐεργέτην καὶ διδάσκαλον, μυρίας ὅσας ἰάσεις καὶ θεραπείας λόγων τε διδασκαλίας καὶ παντοίας ὠφελείας αὐτοῖς παρεσχημένον. ἀνθ' ὧν, ἐπειδήπερ «κακὰ ἀντὶ ἀγαθῶν» «ἔθεντο» κατ' αὐτοῦ «καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεως[4]» αὐτοῦ, εἰκότως ἐπιλέγει· «κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ· ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.[5]» ἃ καὶ αὐτὰ ὁποίαν εἴληφεν τὴν ἔκβασιν, ὁ ἱερὸς ἀπόστολος Πέτρος προλαβὼν διεσάφησεν, ἐπ' αὐτὸν τὸν προδότην ἐφαρμόσας τὴν γραφήν. καὶ σοὶ δὲ αὐτῷ πάρεστιν συνορᾶν, εἰ μὴ καθέσταται ἐπὶ τὸ Ἰουδαίων ἔθνος ἄρχων καὶ ἡγούμενος ἁμαρτωλός, ᾧ μετὰ τὰ τολμηθέντα αὐτοῖς κατὰ τοῦ σωτῆρος ἡμῶν παρεδόθησαν, ἀντὶ τῶν πάλαι οἰκείων καὶ θεοφιλῶν ἀρχόντων ἀλλοφύλοις καὶ εἰδωλολάτραις δουλεύειν κατηναγκασμένοι. τίς δ' οὐκ ἂν θαυμάσειεν τῆς προρρήσεως τὸ ἀποτέλεσμα; φήσαντος γὰρ τοῦ λόγου «γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι[6]», σαφὲς ὅπως βραχὺς ὁ πᾶς διεγένετο μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν χρόνος καθ' ὃν ἔδοξαν διαμένειν, μεθ' ὃν τὴν ὑστάτην ὑπέμειναν πολιορκίαν καὶ τὴν παντελῆ καθαίρεσιν, ἐφ' ᾗ καὶ «τὴν ἐπισκοπὴν αὐτῶν ἔλαβεν ἕτερος[7]», ὁ διὰ Χριστοῦ συγκροτηθεὶς λαός. καὶ τὰ λοιπὰ δὲ τοῦ ψαλμοῦ αὐτοῖς τούτοις καταλλήλως νοήσεις.

Τὰ δ' ἑξῆς ὡς περί τινων υἱῶν τοῦ Ἰούδα λεγόμενα, ἐν τῷ «γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ[8]» καὶ τὰ παραπλήσια, ἀνάγοιτ' ἂν καὶ ἐπ' αὐτὸν μὲν προηγουμένως τὸν Ἰούδαν, μετ' ἐκεῖνον δὲ καὶ ἐπὶ πάντας τοὺς ὁμοίους αὐτῷ τὸν σωτήριον λόγον προδιδόντας· καταλλήλως δὲ νοήσεις καὶ τὴν γυναῖκα[9] αὐτοῦ, καὶ τὰς ἁμαρτίας τῶν πατέρων αὐτοῦ καὶ τῆς λεγομένης μητρὸς αὐτοῦ[10], τῆς τοῦ Ἰουδαίων ἔθνους συναγωγῆς· περὶ αὐτῆς γὰρ ἡγοῦμαι λέγεσθαι τὸ «καὶ

---

1. Ψαλμ. 108, 4. 2. Πρβλ. Ματθ. 26, 36 ἑξ. 3. Πρβλ. Ψαλμ. 108, 5. 4. Ψαλμ. 108, 5. 5. Ψαλμ. 108, 6-8. 6. Ψαλμ. 108, 8. 7. Ψαλμ. 108, 8. 8. Ψαλμ. 108, 9. 9. Πρβλ. Ψαλμ. 108, 9. 10. Πρβλ. Ψαλμ. 108, 14.

ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.[1]» πλὴν ὥσπερ ἐν τῇ πρὸ ταύτης προφητείᾳ πτωχὸς καὶ πένης ὠνομάζετο ὁ σωτὴρ καὶ κύριος ἡμῶν, καθάπερ ἀπεδείξαμεν ἐν τῷ «μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα[2]», τὸν αὐτὸν τρόπον καὶ ἐν τῷ παρόντι ψαλμῷ τούτοις ἐπικέκληται τοῖς ὀνόμασιν· τάδε γὰρ καὶ τάδε γενηθήτω[3] τῷ Ἰούδᾳ καὶ τοῖς τὰ ὅμοια αὐτῷ ἐζηλωκόσιν διὰ τὰ τετολμημένα αὐτῷ φησιν. τίνα δὲ ταῦτα, ἐπιφέρει λέγων· «ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι καὶ ἠγάπησεν κατάραν, καὶ ἄξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ·[4]» οἷς ἑξῆς ἐπικαταβὰς αὖθις πένητα καὶ πτωχὸν ἑαυτὸν ὀνομάζει λέγων· «καὶ σύ, κύριε κύριε, ποίησον μετ' ἐμοῦ ἔλεος ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου, ῥῦσαί με· ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.[5]»

Οἷς μεθ' ἕτερα ἐπιλέγει· «τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· ἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν[6]», ἃ καὶ αὐτὰ τέλους ἐτύγχανεν, ὅτε «οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες[7]», «ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.[8]» ἐπεὶ δὲ εἰσέτι νῦν οἱ ἐκ περιτομῆς τὴν τῶν πατέρων αὐτῶν εἰς ἑαυτοὺς ἀρὰν ἐπισπώμενοι, βλασφήμοις καὶ ἀσεβέσι ῥήμασι καταθεματίζειν τὸν σωτῆρα καὶ κύριον ἡμῶν καὶ τοὺς εἰς αὐτὸν πεπιστευκότας ἅπαντας εἰώθασιν, τούτου χάριν ἑξῆς ἐπιλέγει «καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. ἐγὼ δὲ ἐξομολογήσομαι τῷ κυρίῳ ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.[9]» καὶ πρόδηλόν γε, ὁπόσοις εἰσέτι καὶ νῦν οἱ τὰς κατ' αὐτοῦ ἀρὰς ἐν ταῖς ἑαυτῶν συναγωγαῖς ποιούμενοι παλαίουσι κακοῖς, ἀπὸ τῶν αὐτῶν χρόνων μηδ' ὅλως ἀνανεῦσαι δεδυνημένοι, ὅπως τε αὐτὸς αἶνον τῷ πατρὶ ἐν μέσῳ πολλῶν ἐθνῶν τὸν διὰ τῆς καινῆς διαθήκης αὐτοῦ καταρτίζεται, συνεργὸν τὸν πατέρα καὶ τῆς ἑαυτοῦ δεξιᾶς πάρεδρον κεκτημένος. διό φησιν· «ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος.[10]» καὶ τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν διδάσκει λέγων· «τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.[11]» ἀνωτέρω γοῦν φήσας τὸ «κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτω-

---

1. Ψαλμ. 108, 14. 2. Ψαλμ. 40, 2, 3. Πρβλ. Ψαλμ. 108, 8 ἑξ. 4. Ψαλμ. 108, 16-17. 5. Ψαλμ. 108, 21-22. 6. Ψαλμ. 108, 24-25. 7. Ματθ. 27, 39. 8. Ματθ. 27, 42. 9. Ψαλμ. 108, 28-31. 10. Ψαλμ. 108, 30-31. 11. Ψαλμ. 108, 31.

χὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι [1]», καὶ σαφῶς δηλώσας ἑαυτοῦ τὸν θάνατον, περιγράφων τὴν προφητείαν, τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν ᾐνίξατο, εἰπών· «ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.[2]»

IV. Ἀπὸ τοῦ Ζαχαρίου. «Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατά μου. καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς, καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. καὶ εἶπα, οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. καὶ λήψομαι τὴν ῥάβδον τὴν καλήν, καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς· καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι· ὅτι λόγος κυρίου ἐστίν. καὶ ἐρῶ πρὸς αὐτούς, εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστιν, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς. καὶ εἶπεν κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπ⟨ὲρ⟩ αὐτῶν, καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον. καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.[3]»

Καὶ ταῦτα τέλους ἐτύγχανεν, ὅτε κατὰ ⟨μὲν⟩ τὸν Λουκᾶν «ἀπελθὼν» ὁ Ἰούδας «συνελάλει τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ στρατηγοῖς τοῦ ἱεροῦ, ὅπως αὐτὸν παραδῷ αὐτοῖς. καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι [4]», κατὰ δὲ τὸν Μάρκον ὁπηνίκα «ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτόν, οἱ δὲ ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια δοῦναι.[5]» ἀλλ' ἐν τούτοις μὲν ἁπλῶς τὸ ἀργύριον ὠνόμασται, παρὰ δὲ τῷ Ματθαίῳ μνημονεύεται καὶ ὁ ἀριθμός, συνᾴδων τῇ ἀπὸ τοῦ Ζαχαρίου παραθέσει. λέγει δ' οὖν ὁ Ματθαῖος· «τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς, τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας.[6]» σύμφωνα οὖν ταῦτά ἐστιν τῷ «καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς [7]» ἐν τῇ προφητείᾳ εἰρημένῳ ὑπὸ τοῦ κυρίου, ἀνθ' οὗ ὁ μὲν Σύμμαχος ἐποίησεν· «καὶ ἐστάθμισαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς», ὁ δὲ Ἀκύλας· «καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς.» οἷς ἐπιλέγεται· «καὶ εἶπεν κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν

1. Ψαλμ. 108, 16. 2. Ψαλμ. 108, 31. 3. Ζαχ. 11, 7-14. 4. Λουκ. 22, 4-5. 5. Μάρκ. 14, 10-11. 6. Ματθ. 26, 14-15. 7. Ζαχ. 11, 12.

τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν[1]», ἀνθ' οὗ πάλιν ὁ μὲν Ἀκύλας φησίν· «καὶ εἶπεν κύριος πρός με, [κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον,] ῥῖψον αὐτὰ πρὸς τὸν πλάστην· ὑπερμεγέθης ἡ τιμή, ἣν ἐτιμήθην ὑπὲρ αὐτῶν.» καὶ πρό⟨σ⟩σχες τίνα τρόπον αὐτὸς ὁ κύριος τιμὴν ἑαυτοῦ ὁμολογεῖ τοὺς τριάκοντα ἀργυροῦς δεδόσθαι. ἔοικεν δὲ ἡ τῆς λέξεως διάνοια τοιοῦτόν τινα ἐμφαίνειν νοῦν· ἐγὼ μὲν ὁ κύριος ἐκ πρώτης ἀρξάμενος ἡμέρας οὐ διέλιπον τῆς ἐμαυτοῦ χρηστότητος ὑμῖν τοῖς ἐκ περιτομῆς δείγματα παρέχων καὶ μυρία ὅσα ὑμᾶς εὐεργετῶν, οὐ μόνον τὰ διὰ τῶν ἀνέκαθεν προφητῶν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμαυτοῦ παρουσίας, ἔν τε ταῖς προτρεπτικαῖς διδασκαλίαις καὶ τοῖς λογικοῖς μαθήμασιν, ἔν τε τοῖς σημείοις καὶ τέρασιν καὶ ταῖς ἄλλαις παραδοξοποιίαις, ταῖς τε ἰάσεσιν καὶ ταῖς θεραπείαις· ὑμεῖς δὲ οἱ τῆς τοσαύτης εὐεργεσίας ἠξιωμένοι «δότε τὸν μισθόν μου ἢ ἀπείπασθε» (αἰτῶν αὐτούς, ὡς εἰκός, καρποὺς εὐσεβείας καὶ δεῖγμα τῆς εἰς αὐτὸν πίστεως). οἱ δέ, κατὰ τὸ εἰρημένον ἐν τῇ πρὸ ταύτης παραθέσει, «ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου[2]», «τριάκοντα ἀργυροῦς[3]» στήσαντες, ὥσπερ τοσούτου αὐτὸν πωλούμενον ἐτιμήσαντο. ἀλλ' ἐπεὶ «τὸ ἑκάστου ἔργον ὁποῖόν ἐστι τὸ πῦρ αὐτὸ δοκιμάσει[4]», εἰκότως προστάττει καθεῖναι αὐτοὺς «εἰς τὸ χωνευτήριον», ἐπιλέγων· «ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν.[5]» χωνευτήριον δὲ ἐνταῦθα ἔοικεν τὸν οἶκον κυρίου ὀνομάζειν. εἰπόντος γοῦν τοῦ κυρίου κατὰ τοὺς ἑβδομήκοντα «κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον[6]», ἐπιφέρει· «καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου, εἰς τὸ χωνευτήριον.» κατὰ δὲ τὸν Ἀκύλαν εἰπόντος τοῦ κυρίου «ῥῖψον αὐτὸ» (δῆλον δ' ὅτι τὸ ἀργύριον) «πρὸς τὸν πλάστην», ἐπιφέρει· «καὶ ἔρριψα αὐτὸ ἐν οἴκῳ κυρίου πρὸς τὸν πλάστην», κατὰ δὲ τὸν Σύμμαχον, εἰπόντος τοῦ κυρίου· «ῥῖψον αὐτὸ εἰς τὸ χωνευτήριον», ἐπιφέρει λέγων· «καὶ ἔρριψα αὐτὸ εἰς τὸν οἶκον κυρίου, εἰς τὸ χωνευτήριον.» μήποτε δὲ καὶ τοῦτο ἐπληροῦτο, ὅτε Ἰούδας ὁ παραδιδοὺς τὸν κύριον, ἰδὼν «ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψεν τὸ ἀργύριον τοῖς ἀρχιερεῦσιν καὶ πρεσβυτέροις, λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπαν αὐτῷ· τί πρὸς ἡμᾶς; σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησεν καὶ ἀπελθὼν ἀπήγξατο. οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπαν· οὐκ ἔξεστιν βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστιν. συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος ἕως τῆς σήμερον ἡμέρας. τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ,

---

1. Ζαχ. 11, 13. 2. Ψαλμ. 108, 4-5. 3. Ζαχ. 11, 12. 4. Α' Κορ. 3, 13. 5. Ζαχ. 11, 13. 6. Ζαχ. 11, 13.

καὶ ἔδωκα αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέν μοι κύριος.[1]» ἔνθα καὶ ἐπιστήσεις, ἐπεὶ μὴ ταῦτα φέρεται ἐν τῇ τοῦ Ἱερεμίου προφητείᾳ, εἴτε χρὴ ὑπονοεῖν περιῃρῆσθαι αὐτὰ ἐξ αὐτῆς κατά τινα ῥᾳδιουργίαν, ἢ καὶ σφάλμα γραφικὸν γεγονέναι, τῶν ἀμελέστερον τὰ τῶν ἱερῶν εὐαγγελίων ἀντίγραφα πεποιημένων σφαλέντος τινὸς καὶ ἀντὶ μὲν τοῦ Ζαχαρίου Ἱερεμίαν τεθεικότος, ὡς δέον οὕτως ἀναγεγράφθαι· τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ζαχαρίου τοῦ προφήτου, ἀντὶ δὲ τοῦ «καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον[2]» ἐσφαλμένως πεποιηκότος· «καὶ ἔδωκα αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως.» σαφῶς γὰρ διὰ μὲν τῆς προφητείας[3] εἰς τὸν τοῦ κυρίου ναὸν ἐρρίφθαι λέγεται τὸ ἀργύριον, καὶ δι' αὐτοῦ δὲ τοῦ εὐαγγελίου εἰς τὸν ναόν· «ῥίψας γοῦν», φησίν, «Ἰούδας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησεν.[4]» καὶ εἰκός γε ἐξ ἐκείνων τῶν ἀργυρίων βέβηλον γεγονέναι τὸν ναὸν καὶ πεπληρῶσθαι τὸ «ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[5]» καὶ ὅρα γε μήποτε «χωνευτήριον[6]» ὁ οἶκος κυρίου διὰ τοῦτο κέκληται, ἐπείπερ ὡς ἐν χωνείᾳ μεταπλάττεσθαι τὰς ψυχὰς ἐκ τῆς τῶν θείων λόγων πυρώσεως ἐν τῷ τοῦ θεοῦ οἴκῳ συμβαίνει, ἢ ἄλλως ἀπελέγχεσθαι μὴ καθαράς, ὡς ἐν χωνευτηρίῳ πυρουμένας καὶ δοκιμαζομένας. ὅπερ ὁ Ἀκύλας, ἔρριψεν, φήσας, τὸ ἀργύριον ἐν τῷ «οἴκῳ κυρίου πρὸς τὸν πλάστην», σαφῶς διδάσκει, ὡς τοῦ λόγου τοῦ θείου, δίκην πλάστου, κατοικοῦντος εἰς τὸν οἶκον κυρίου καὶ πλάττοντος καὶ ἀνανεοῦντος τὰς τῶν προσιόντων ψυχάς.

Πλὴν ἀλλ' ἐπείπερ ἡ τιμὴ τοῦ τετιμημένου εἰς ἐκεῖνον μεταβληθεῖσα τὸν οἶκον βέβηλον αὐτὸν κατεστήσατο, εἰκότως εὐθὺς ἐπιλέγει· «καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.[7]» ἐξ ἐκείνου γάρ τοι τὸ πλῆθος τοῦ ἔθνους ἀπερρίφη τῆς πάλαι πρότερον ἐφορώσης αὐτοὺς ἐπισκοπῆς τοῦ θεοῦ. «δευτέραν» δὲ «ῥάβδον» ἡγοῦμαι τὸ πᾶν ἀθρόως Ἰουδαίων ἔθνος ἐνταῦθα δηλοῦσθαι. καλεῖ δ' οὖν αὐτὴν «σχοίνισμα», λέγων· «τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν ἐκάλεσα σχοίνισμα.[8]» καὶ σαφῶς ἐπιλέγει περὶ τῆς δευτέρας, φάσκων· «καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.[9]» οὗτοι γὰρ ἦσαν τὸ «σχοίνισμα» καὶ «ἡ ῥάβδος ἡ δευτέρα·» ἡ δὲ προτέρα «κάλλος» ὠνομασμένη οὐδ' ⟨ἂν⟩ ἄλλη γένοιτο τῆς Ἱερουσαλὴμ αὐτῆς καὶ τῆς κατὰ Μωσέα λατρείας ἁπάσης τε τῆς παλαιᾶς διαθήκης. καὶ τοῦτο δὲ ἐξ αὐτῆς παρίσταται τῆς προφητείας, φησάσης· «καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλήν, καὶ ἀπορρίψω

---

1. Ματθ. 27, 3-10. 2. Ζαχ. 11, 13. 3. Πρβλ. Ζαχ. 11, 13. 4. Ματθ. 27, 5. 5. Λουκ. 13, 35. Πρβλ. Ἱερ. 22, 5. 6. Ζαχ. 11, 13. 7. Ζαχ. 11, 14. 8. Ζαχ. 11, 7. 9. Ζαχ. 11, 14.

αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου.[1]» ὁρᾷς ὡς τὴν μὲν διαθήκην αὐτοῦ τὴν ῥάβδον ἔφησεν εἶναι τὴν πρώτην, τὴν δὲ δευτέραν ῥάβδον τὸ σχοίνισμα. πλὴν ἀμφοτέρας τὰς ῥάβδους ἀπορρίψειν ἀπειλεῖ, προειπὼν πρότερον· «καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν ἐκάλεσα σχοίνισμα.[2]» ἀνθ' ὧν ὁ μὲν Ἀκύλας φησίν· «τὴν μίαν ἐκάλεσα εὐπρέπειαν, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα», ὁ δὲ Σύμμαχος· «τὴν μὲν ἐκάλεσα εὐπρέπειαν, τὴν δὲ μίαν ἐκάλεσα σχοίνισμα.» τοῦ μὲν οὖν παντὸς ἔθνους κάλλος καὶ εὐπρέπειαν τὸν θεῖον νόμον καὶ τὴν ἐν αὐτῷ περιεχομένην διαθήκην ὠνόμασεν, εἰκότως· τά τε γὰρ σεμνὰ τῆς Ἱερουσαλὴμ καὶ τὰ τῆς ἀρχιερατικῆς λειτουργίας, καὶ πάντα ὅσα πάλαι πρότερον ἐν αὐτοῖς κατὰ τοὺς θείους νόμους καὶ κατὰ τὴν παλαιὰν διαθήκην ἐπολιτεύετο, κόσμος εὐπρεπὴς ὑπῆρχεν τοῖς ὑπὸ τούτων κοσμουμένοις. σχοίνισμα δὲ τὸ πλῆθος τοῦ ἔθνους καὶ παρὰ Μωσεῖ κέκληται, λέγοντι· «ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[3]» ἀλλὰ γὰρ τῶν δύο τούτων ῥάβδων ἀθρόαν μεταβολὴν γενήσεσθαι κατὰ τοὺς δηλουμένους χρόνους θεσπίζει, ὡς καὶ τῆς πάλαι ἐν αὐτῇ παλαιᾶς διαθήκης καὶ τοῦ πάλαι ἐν αὐτῇ κάλλους ἀφανισθησομένου, τοῦ τε σχοινίσματος καὶ τοῦ παντὸς ἔθνους διασκεδασθησομένου, ἐπὰν «τὴν τιμὴν τοῦ τετιμημένου» τριάκοντα ἀργυρίων τιμησάμενοι[4] τῆς σφῶν δυσσεβείας τὴν προσήκουσαν ἀτιμίαν ὑπόσχοιεν. λέγει δ' οὖν· «καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλήν, καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου[5]», καὶ πάλιν· «καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα.[6]»

Ἐπὶ τούτοις ἐπὰν ἡ προφητεία φάσκῃ «καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί[7]», νομίζω τρία τάγματα αἰνίττεσθαι τῶν πάλαι τοῦ λαοῦ τοῦ θεοῦ προεστώτων, βασιλέως καὶ ἀρχιερέως καὶ προφήτου, ἐπεὶ καὶ διὰ τῶν τριῶν τούτων ποιμένων πάντα τὰ κατὰ τοὺς πάλαι πρότερον ᾠκονομεῖτο. ἀλλ' ἐπειδὴ διαστροφὴν καὶ οἱ τρεῖς οὗτοι πεπόνθασιν ποιμένες καθ' ἕνα καιρόν, τὸν ἐπὶ τοῦ σωτῆρος ἡμῶν (ὅ τε γὰρ βασιλεὺς παρανόμως αὐτῶν ἡγεῖτο, ἀλλόφυλός τις ὢν καὶ οὐκ οἰκεῖος τοῦ ἔθνους, ὅ τε ἀρχιερεὺς ὑπὸ Ῥωμαίων παραγενόμενος ἐπὶ τὴν λειτουργίαν, οὐ κατὰ τὴν τοῦ γένους διαδοχὴν οὐδὲ κατὰ τοὺς ἐννόμους θεσμοὺς ἐπὶ τὴν τιμὴν παρῄει, ὅ τε προφήτης μέχρις Ἰωάννου παυσάμενος οὐκέτι ἐν αὐτοῖς ἐνήργει, ἀντὶ δὲ τούτου ψευδοπροφήτης τις ἀσεβὴς καὶ πλανῶν τὸν λαόν), εἰκότως τὰ τρία χαρίσματα, πάλαι πρότερον ὑπὲρ πάντα κόσμον εὐπρεπῆ τὸ πᾶν ἔθνος κοσμοῦντα, περιαιρήσειν ὑφ' ἕνα καιρὸν ἀπειλεῖ, λέγων· «καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί, καὶ βαρυνθήσεται ἡ ψυχή μου

1. Ζαχ. 11, 10. 2. Ζαχ. 11, 7. 3. Δευτ. 32, 9. 4. Πρβλ. Ζαχ. 11, 11, 12. Ματθ. 27, 9. 5. Ζαχ. 11, 10. 6. Ζαχ. 11, 14. 7. Ζαχ. 11, 8.

ἐπ' αὐτούς[1]», ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησίν· «καὶ ἐκολοβώθη ἡ ψυχή μου ἐν αὐτοῖς», ὁ δὲ Σύμμαχος· «καὶ ὠλιγοψύχησα ἐν αὐτοῖς», ὁ δὲ Θεοδοτίων· «καὶ ὠλιγοψύχησεν ἡ ψυχή μου ἐπ' αὐτούς.» καὶ τὸ αἴτιόν γε τῆς ὀλιγοψυχίας διδάσκει, ἐπιλέγων· «καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ[2]», ἀνθ' οὗ πάλιν ὁ Ἀκύλας· «καί γε ἡ ψυχὴ αὐτῶν ἐπέρκασεν ἐν ἐμοί», ὁ δὲ Σύμμαχος· «καὶ ἡ ψυχὴ αὐτῶν ἤκμασεν ἐν ἐμοί.» ὅμοιον δὲ τῷ «καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμὲ» παρὰ τοῖς ἑβδομήκοντα εἰρημένῳ φέρεται παρὰ τῷ Ἱερεμίᾳ ἐκ προσώπου τοῦ κυρίου κείμενον τὸ «ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί;[3]» εἰκότως οὖν διὰ ταῦτα ἑξῆς ἐπιφέρει, λέγων· «καὶ εἶπα, οὐ ποιμανῶ ὑμᾶς, τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ.[4]» μεθ' ἃ ἐπιλέγει· «καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλήν, καὶ ἀπορρίψω αὐτήν[5]», ἀνθ' οὗ ὁ Ἀκύλας· «καὶ ἔλαβον», φησίν, «τὴν ῥάβδον μου, τὴν εὐπρέπειαν, καὶ περιέκοψα αὐτήν», δηλαδὴ τὴν κατὰ Μωσέα λατρείαν. οὐκοῦν ἡ μὲν πρώτη ῥάβδος, ἡ ἐν ἀρχαῖς τοῦ λόγου, πρώτη συντριβήσεσθαι καὶ ἀπορριφήσεσθαι λέγεται. ὅτε δὲ ἡ τιμὴ τοῦ τετιμημένου[6] καὶ τὸ ὑπὲρ αὐτοῦ τῷ προδότῃ δοθὲν ἀργύριον ἐβλήθη «εἰς τὸν οἶκον κυρίου» ὡς «εἰς χωνευτήριον[7]», τότε δὴ καὶ τὰ περὶ τῆς δευτέρας ῥάβδου, τοῦ παντὸς ἔθνους δηλαδή, ἀκολούθως οἷα πείσεται προφητεύεται ἐν τῷ «καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν, τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.[8]» καὶ ἐπειδήπερ ἀποβολὴν ἐκείνων σαφῶς διὰ τούτων ὁ λόγος ἐμήνυσεν, εἰκότως ἑξῆς οὐκέτ' αὐτοὺς ἐπιγνώσεσθαι τὴν τῶν προφητευομένων δύναμίν φησιν ἀλλὰ τοὺς Χαναναίους, λέγων· «καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος κυρίου ἐστίν.[9]» τίνες δ' ἂν εἶεν οἱ Χαναναῖοι ἀλλ' ⟨ἢ⟩ ἡμεῖς, οἱ πρὶν ἀλλόφυλοι καὶ ἐξ ἁπάντων τῶν πάλαι ἀθέων καὶ ἀσεβῶν ἐθνῶν πρόβατα τῷ Χριστῷ πεφυλαγμένοι; οἳ καὶ διὰ τῆς αὐτοῦ χάριτος μεταβεβλήμεθα ⟨καὶ⟩ συνέντες τὰ τεθεσπισμένα γνῶσιν ἀληθῆ τοῦ λόγου τοῦ κυρίου εἰλήφαμεν, ἔγνωμέν τε, ἡμεῖς οἱ Χαναναῖοι, καὶ συνήκαμεν τὰ δηλούμενα· οὐκ ἔγνωσαν δὲ οὐδὲ συνῆκαν οἱ τὸν Ἰσραὴλ αὐχοῦντες καὶ ἐπὶ τῷ σπέρματι Ἀβραὰμ ἐπαιρόμενοι.

V. Ἀπὸ τοῦ Ἱερεμίου. «Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ, ἐκκεκολαμμένη ἐπὶ τοῦ

1. Ζαχ. 11, 8. 2. Ζαχ. 11, 8. 3. Ἱερ. 12, 7-9. 4. Ζαχ. 11, 9. 5. Ζαχ. 11, 10. 6. Πρβλ. Ματθ. 27, 9. 7. Ζαχ. 11, 13. 8. Ζαχ. 11, 14. 9. Ζαχ. 11, 11.

στήθους τῆς καρδίας αὐτοῦ, καὶ τοῖς κέρασι τῶν θυσιαστηρίων ὑμῶν. ἡνίκα ἀναμνησθῶσιν οἱ υἱοὶ αὐτῶν τὰ θυσιαστήρια αὐτῶν καὶ τὰ ἄλση αὐτῶν ἐπὶ ξύλου δασέος καὶ ἐπὶ βουνῶν μετεώρων, ἰσχύν σου καὶ πάντας τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω, καὶ τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν πᾶσι τοῖς ὁρίοις σου. καὶ ἀφαιρεθήσῃ καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας ἧς ἔδωκά σοι, καὶ ἀναβιβῶ σε ἐν τοῖς ἐχθροῖς σου ἐν τῇ γῇ ᾗ οὐκ ἔγνως, ὅτι πῦρ ἐκκέκαυται ἐν τῷ θυμῷ μου, ἕως αἰῶνος καυθήσεται.[1]»

Εἰ καὶ μὴ παρὰ τοῖς ἑβδομήκοντα, ἀλλ' οὖν γε ἐν τῷ Ἑβραϊκῷ ταῦτα εὑρόντες καὶ ἐν ταῖς τῶν λοιπῶν ἑρμηνευτῶν ἐκδόσεσιν, ἔτι μὴν μετὰ παραθέσεως ἀστερίσκων καὶ ἐν τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς ἑβδομήκοντα ἀντιγράφοις, ἀναγκαίως αὐτὰ παρεθέμεθα, ἅτε καὶ ὀνομαστὶ τὸν προδότην Ἰούδαν δηλοῦντα καὶ τὴν πεπραγμένην αὐτῷ ἁμαρτίαν ἀνεξάλειπτον εἶναι διδάσκοντα. τοῦτο γὰρ αἰνίττεσθαί μοι δοκεῖ τὸ «ἁμαρτία Ἰούδα ἐγγέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ.[2]» εἴη δ' ἂν καὶ ἐπὶ πᾶν τὸ Ἰουδαίων ἔθνος ἀναφερόμενα, οἷς ἑξῆς καὶ ἀκολούθως μετὰ τὴν ἀνεξάλειπτον αὐτῶν ἀσέβειαν τὸν μετελθόντα αὐτοὺς ἔσχατον ὄλεθρον ἀπειλεῖ, ἅπερ κατὰ λέξιν ἑρμηνεύειν οὐ τοῦ παρόντος τυγχάνει καιροῦ.

Ἀλλὰ γὰρ τοσούτων περὶ τοῦ προδώσειν μέλλοντος τὸν σωτῆρα καὶ κύριον ἡμῶν τῶν τε ἄλλως ἐπιβεβουλευκότων αὐτῷ προαναφωνηθέντων, καιρὸς ἰδεῖν καὶ τὰ ἀμφὶ τὸ πάθος αὐτοῦ μέλλοντα συμβήσεσθαι θεσπιζόμενα.

VI. Ἀπὸ τοῦ Ἀμώς. «Ὀμνύει κύριος κατὰ ὑπερηφαν[ε]ίας Ἰακώβ, εἰ ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου. καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα, καὶ θήσομαι αὐτὸν ὥσπερ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου· καὶ σαλευθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον κυρίου καὶ οὐ μὴ εὕρωσιν.[3]»

Τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ὕβριν καὶ ὑπερηφανίαν καὶ ἐπανάστασιν, ἣν ἐπανέστησαν αὐτῷ οἱ ἐκ περιτομῆς, θεσπίζουσα ἡ παροῦσα προφητεία ὀμνύναι τὸν κύριόν φησι «καθ' ὑπερηφανίας Ἰακώβ[4]», ὡς οὐ μὴ γένοιτο λήθη τῶν κατ' αὐτοῦ τετολμημένων αὐτοῖς, καὶ ὅτι

---

1. Ἱερ. 17, 1-4. 2. Ἱερ. 17, 1. 3. Ἀμ. 8, 7-12. 4. Ἀμ. 8, 7.

πένθους ἄξια πείσεται ἡ γῆ αὐτῶν μετὰ τῶν οἰκητόρων[1], καὶ ὅτι οὐκέθ' ὡς τὸ πρὶν εἰς βραχὺ παιδευθέντες αὖθις ἀποκατασταθήσονται, ἀλλ' εἰς συντέλειαν τὰ κατ' αὐτοὺς ἥξει. «ἀναβήσεται», γοῦν φησίν, «ὡς ποταμὸς ἡ συντέλεια[2]» αὐτῶν, τὴν ἐπελθοῦσαν αὐτοῖς οὐδ' ἄλλοτε ἢ κατὰ τὴν Ῥωμαίων βασιλείαν ὀργὴν ποταμὸν ἀναβησόμενον ἐπ' αὐτούς, ὡς ἐν ὕψει τὸ πρὶν ὄντας, αἰνιττόμενος. καὶ δὴ μετὰ τὴν δηλωθεῖσαν κατ' αὐτῶν ἐκ τοῦ θεοῦ ὀργὴν αὖθις τὰ κατ' αὐτοὺς πράγματα «ὡς ποταμός», φησίν, «Αἰγύπτου» «καταβήσεται·[3]» δι' ὧν οἶμαι δηλοῦσθαι, ὅτι τὰ πάλαι μετέωρα καὶ παρὰ θεῷ τετιμημένα καὶ ὥσπερ ἐν ὕψει κείμενα πλεονεκτήματα τοῦ Ἰουδαίων ἔθνους ὅμοια τοῖς ῥευστοῖς καὶ δίκην ποταμοῦ παρατρέχουσιν τῶν ἀπίστων ἐθνῶν πράγμασιν καταστήσεται, ἀφ' ὕψους τε εἰς ταπεινὸν περιτραπήσεται. εἶθ' ἑξῆς τούτοις αὐτὰ δὴ τὰ ἀμφὶ τὸν καιρὸν τοῦ σωτηρίου πάθους συμβεβηκότα δηλῶν, «ἐν ἐκείνῃ», φησίν, «τῇ ἡμέρᾳ, λέγει κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς[4]», ἃ καὶ ἐναργῆ τὴν ἔκβασιν εἴληφεν, ὅτε τοῦ σωτῆρος ἡμῶν ὑψωθέντος κατὰ τὸν εὐαγγελιστὴν «ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης, περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανί.[5]»

Τούτων δὲ τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον, ἑξῆς ἐπιλέγει· «καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα, καὶ θήσομαι αὐτὸν ὥσπερ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου[6]», καὶ τὰ ἑξῆς. ἅπερ ἅπαντα διὰ τὴν ὑπερηφανίαν αὐτῶν[7], τὴν κατὰ τοῦ Χριστοῦ γεγενημένην, ἔσεσθαι προφητευθέντα ἐναργῆ τὴν ἔκβασιν τῆς προρρήσεως ἀπεδείξατο μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν. οὐ πρότερον γοῦν, ἀλλ' ἐξ ἐκείνου καὶ εἰς δεῦρο μετέστρεψεν αὐτῶν ὁ θεὸς «τὰς ἑορτὰς εἰς πένθος καὶ τὰς ᾠδὰς εἰς θρῆνον[8]», τῆς περιβοήτου μητροπόλεως ἀποστερήσας αὐτούς, καὶ τὸ ἐν αὐτῇ σεμνὸν ἁγίασμα κατὰ τὴν ἐπὶ Τίτου καὶ Οὐεσπασιανοῦ Ῥωμαίων αὐτοκρατόρων ἡγεμονίαν καθελών, ὡς μηδὲ ἐλθόντας δύνασθαι ἐπ' αὐτῆς τὰς ἐννόμους ἑορτὰς καὶ πανηγύρεις ἐπιτελεῖν. τί δεῖ λέγειν, ὡς ὁ λιμὸς «τοῦ ἀκοῦσαι λόγον κυρίου[9]» πάντας αὐτοὺς μετῆλθεν, ἀνθ' ὧν ἐξήλασαν ἑαυτῶν τὸν τοῦ θεοῦ λόγον, ὁμοθυμαδὸν αὐτὸν ἀρνησάμενοι καὶ ἀπαρνηθέντες ὑπ' αὐτοῦ;[10]

---

1. Πρβλ. Ἀμ. 8, 8. 2. Ἀμ. 8, 8. 3. Ἀμ. 8, 8. 4. Ἀμ. 8, 9. 5. Ματθ. 27, 45-46. 6. Ἀμ. 8, 10-11. 7. Ἀμ. 8, 7. 8. Ἀμ. 8, 10. 9. Πρβλ. Ἀμ. 8, 11. 10. Πρβλ. Ματθ. 10, 33.

VII. Ἀπὸ τοῦ Ζαχαρίου. «Καὶ παρέσται κύριος ὁ θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψῦχος καὶ πάγος ἔσται μίαν ἡμέραν. καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, πρὸς ἑσπέραν ἔσται φῶς. καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. καὶ ἔσται κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον.[1]»

Καὶ ταῦτα ἐπὶ τῆς παρουσίας τοῦ σωτῆρος ἡμῶν ἐπληροῦτο, ἣν ἐποιήσατο, ἤτοι μετὰ τῶν ἱερῶν ἀποστόλων αὐτοῦ καὶ μαθητῶν, ἢ μετὰ τῶν ἁγίων αὐτοῦ, θείων τινῶν δυνάμεων καὶ ἀσωμάτων πνευμάτων, ἀγγέλων τε καὶ λειτουργῶν αὐτοῦ, περὶ ὧν εἴρηται ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ὅτι «προσῆλθον αὐτῷ ἄγγελοι καὶ διηκόνουν αὐτῷ.[2]» κατὰ δὲ τὴν ἡμέραν ἐκείνην[3] (οὕτω δὲ φίλον ἀποκαλεῖν τῇ ἱερᾷ γραφῇ πάντα τὸν χρόνον τῆς ἐν ἀνθρώποις αὐτοῦ διατριβῆς) ἐπληροῦτο μετὰ τῶν ἄλλων προρρήσεων καὶ τὰ ἐν χερσὶ τεθεσπισμένα, ὁπηνίκα παρὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν «ἀπὸ ὥρας ἕκτης σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης.[4]» διό φησιν ἡ προφητεία· «ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς[5]», καὶ πάλιν· «καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, τὸ πρὸς ἑσπέραν ἔσται φῶς.[6]» δι' ὧν λευκότατα ἡγοῦμαι.. τὴν τοῦ καιροῦ κατάστασιν, ἐν ᾧ τοῦ σωτῆρος ἀνυψωθέντος καὶ ἡμέρας οὔσης «νὺξ ἀπὸ ὥρας ἕκτης» τὸ περιέχον συνέσχεν «μέχρι τῆς ἐνάτης[7]», μεθ' ἣν αὖθις τοῦ σκότους διαλείποντος ἡμέρα καὶ φῶς ἐγίνετο, μεθ' ἃ πάλιν συνήθως ἡ νὺξ κατελάμβανεν. ἅπερ ὁ τῆς προφητείας λόγος ᾐνίττετο φάσκων· «καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ οὐ νύξ, πρὸς ἑσπέραν ἔσται φῶς.[8]» οὐχ ἡμέρα μὲν γὰρ ἦν διὰ τὸ μεσημβρινὸν σκότος, καὶ πάλιιν οὐ νὺξ διὰ τὴν ἐπικαταλαβοῦσαν ἡμέραν, ἣν παρέστησεν ἐπισημηνάμενος διὰ τοῦ φάναι «τὸ πρὸς ἑσπέραν ἔσται φῶς.[9]» τίς δ' οὐκ ἂν θαυμάσειεν καὶ τῆς χειμαδίου ὥρας τὴν μνήμην, ἣν καὶ αὐτὴν ἐθέσπισεν ὁ λόγος φήσας· «καὶ ψῦχος καὶ πάγος ἔσται;[10]» ὃ καὶ αὐτὸ ἡ τοῦ εὐαγγελίου μαρτυρία συνίστησιν, ὁπηνίκα ὁ Πέτρος ἀκολουθῶν τῷ Ἰησοῦ, περιαψάντων πυρὰν ἐν τῇ αὐλῇ τοῦ Καϊάφα, μετὰ τῶν ἄλλων ἐθερμαίνετο·[11] ὁ γοῦν Ἰωάννης ἄντικρυς καὶ τοῦ ψύχους ἐμνημόνευσεν εἰπών· «εἱστήκεισαν οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο.[12]»

Καὶ πρὸς μὲν τὴν λέξιν τοιούτου τέλους ἐτύγχανεν τὰ προη-

---

1. Ζαχ. 14, 5-10. 2. Ματθ. 4, 11. 3. Πρβλ. Ζαχ. 14, 6, 7. 4. Ματθ. 27, 45. 5. Ζαχ. 14, 6. 6. Ζαχ. 14, 7. 7. Ματθ. 27, 45. 8. Ζαχ. 14, 7. 9. Ζαχ. 14, 7. 10. Ζαχ. 14, 6. 11. Πρβλ. Λουκ. 22, 55. 12. Ἰω. 18, 18.

γορευμένα, πρὸς δὲ διάνοιαν τὸ πᾶν Ἰουδαίων ἔθνος, τοῦ σωτηρίου φωτὸς αὐτοῖς ἐπιλάμψαντος, αὐτῶν τε «μᾶλλον τὸ σκότος ἢ τὸ φῶς[1]» ἑλομένων, τοῦθ' ὅπερ καὶ εἵλοντο μετῆλθεν αὐτούς, ἀναχωρήσαντος μὲν αὐτῶν τοῦ φωτός, διαλαβούσης δὲ αὐτοὺς νυκτὸς ἀφεγγοῦς, σκοτισθείσης αὐτῶν τῆς διανοίας πρὸς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν[2], ἀλλὰ καὶ ψυγείσης τῆς πρὸς τὸν θεὸν ἀγάπης αὐτῶν[3], τὰ σύμβολα τούτων εἰκότως ἐτελεῖτο, ἐπληροῦτό τε ἑξῆς τὰ τῆς προρρήσεως, κατὰ τὴν τοιάνδε τῆς σωτηρίου ἐπιφανείας ἡμέραν ὕδατος ζῶντος ἐξελθόντος ἐξ Ἱερουσαλήμ[4], εἰς πάντα τὰ ἔθνη προελθόντος τοῦ γονίμου καὶ ζωτικοῦ λόγου τῆς εὐαγγελικῆς διδασκαλίας, ἀρξαμένου μὲν ἀπὸ τῆς Ἰουδαίας καὶ ἐξ αὐτῆς γε τῆς Ἱερουσαλήμ, διαδοθέντος δὲ εἰς πᾶσαν τὴν γῆν καὶ εἰς πάντα τὰ τῆς οἰκουμένης πέρατα. τούτου δὲ τοῦ ὕδατος καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν μνημονεύει λέγων πρὸς τὴν Σαμαρεῖτιν· εἰ ἤδεις τίς ἐστιν ὁ αἰτῶν σε πιεῖν, «σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.[5]» ὅση δὲ τοῖς ἀπογευσαμένοις τοῦ ζῶντος καὶ λογικοῦ νάματος ὑπῆρξεν ὠφέλεια, παρίστησιν ἑξῆς διδάσκων, ὡς οἱ πιόντες αὐτοῦ, τοὺς πάλαι πολλοὺς βασιλεύσαντας αὐτῶν δαίμονας πονηροὺς ἀπαρνησάμενοι, τὸν ἕνα κύριον καὶ βασιλέα σφῶν αὐτῶν ὁμολογοῦσιν, καὶ ὡς ὁ κύριος ὁ μόνοις τὸ πρὶν Ἑβραίοις γνωριζόμενος γενήσεται βασιλεὺς πάντων τῶν εἰς αὐτὸν ἐξ ἁπάσης τῆς γῆς πιστευσάντων ἐθνῶν, καὶ «τὸ ὄνομα αὐτοῦ ἓν ἔσται, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον.[6]» ὃ καὶ αὐτὸ τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη; ἀπὸ γοῦν τῆς Χριστοῦ προσηγορίας (αὐτὸς δὲ ἦν ὁ Χριστὸς ὁ κύριος) τὸ τῶν Χριστιανῶν ὄνομα πάντα τόπον καὶ πόλιν καὶ χώραν καὶ αὐτά γε τὰ ἐν ταῖς ἐρήμοις καὶ ταῖς ἐσχατιαῖς τῆς γῆς οἰκοῦντα ἔθνη περιεκύκλωσεν τοῖς τῆς προφητείας ἀκολούθως θεσπίσμασιν.

VIII. Ἀπὸ Ψαλμοῦ κα'. «Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς. Ὁ θεὸς ὁ θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. ὁ θεός μου κεκράξομαι ἡμέρας πρὸς σὲ καὶ οὐκ εἰσακούσῃ; καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. σὺ δὲ ἐν ἁγίοις κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς. πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν. ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν, ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μη-

1. Πρβλ. Ἰω. 3, 19. 2. Πρβλ. Β' Πέτρ. 1, 19. 3. Πρβλ. Ματθ. 24, 12.
4. Πρβλ. Ζαχ. 14, 8. 5. Ἰω. 4. 10. 6. Ζαχ. 14, 9-10.

τρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ· μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με· ὤρυξαν χεῖράς μου καὶ πόδας μου. ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με. διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες. ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. οἱ φοβούμενοι κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν. φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ. ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέν μου. παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ, τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν· καὶ ἡ ψυχή μου αὐτῷ ζῇ· καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ· ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος.[1]»

Τὸ «ὁ θεὸς ὁ θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;[2]» ἐν ἀρχαῖς τοῦ ψαλμοῦ λεγόμενον κατὰ τὸν Ματθαῖον ὑπὸ τοῦ σωτῆρος ἡμῶν παρὰ τὸν τοῦ πάθους καιρὸν οὕτως εἴρηται· «γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν Ἰησοῦς φωνῇ μεγάλῃ ἐλωεὶμ ἐλωεὶμ λεμᾶ σαβαχθανί, ὅ ἐστι μεθερμηνευόμενον, ὁ θεὸς ὁ θεός μου ἵνα τί ἐγκατέλιπές με;[3]» εἴληπται δὲ ἡ ἑβραϊκὴ λέξις ἀπὸ τῆς ἐν χερσὶ προφητείας. αὐταῖς γοῦν συλλαβαῖς τὸ «ἠλεὶ ἠλεὶ λεμᾶ σαβαχθανεί[4]» ἡ τοῦ ψαλ-

---

1. Ψαλμ. 21, 1-32. 2. Ψαλμ. 21, 2. 3. Ματθ. 27, 45-46. Μάρκ. 15, 33-34. 4. Πρβλ. Ψαλμ. 21, 2.

μοῦ καταρχὴ περιέχει, ὅπερ ὁ Ἀκύλας τοῦτον ἡρμήνευσεν τὸν τρόπον «ἰσχυρέ μου, ἰσχυρέ μου, ἵνα τί ἐγκατέλιπές με;» ταῦτα δὲ ὅτι τοῖς ὑπὸ τοῦ σωτῆρος ἡμῶν κατὰ τὸν τοῦ πάθους καιρὸν εἰρημένοις ἰσοδυναμεῖ πᾶς ὅστις οὖν ὁμολογῆσαι ἄν. ὥρα τοιγαροῦν ἀναμφιλόγως τὸν ψαλμὸν οὐδ' ἐφ' ἕτερον ἢ ἐπὶ μόνον αὐτὸν ἀναφέρειν, ἐπειδὴ αὐτῷ μόνῳ καὶ οὐδ' ἑτέρῳ ἁρμόζει τὰ ἐμπεριεχόμενα. ἄντικρυς γοῦν ἐπ' αὐτῷ πεπληρωμένα τά τε ἄλλα ἀποδείκνυται καὶ δὴ καὶ τὸ φάσκον ἐν τῷ ψαλμῷ «διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[1]» καὶ τὴν κατάπαρσιν δὲ τῶν ἥλων τῶν κατὰ τῶν χειρῶν καὶ ποδῶν ἐπὶ τοῦ σταυροῦ προσηλωθέντων αὐτῷ διαρρήδην ἐμφαίνει λέγων· «ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.[2]»

Καὶ τὰ λοιπὰ δὲ μόνῳ ἂν ἐφαρμόσαι αὐτῷ, ὡς προϊὼν ὁ λόγος παραστήσει· ἢ ὁ βουλόμενος ἐφ' ἕτερον μεταλαβὼν πρόσωπον, ἤτοι βασιλέως ἢ προφήτου ἤ καί τινος τῶν πώποτε παρὰ Ἰουδαίοις θεοφιλῶν, δεικνύτω εἰ οἷός τε εἴη ἐφαρμόζειν τὰ ἀναγεγραμμένα. τίνι γὰρ τῶν πώποτε κυοφορουμένω⟨ν⟩ ἐπὶ τοσοῦτον παρῆν ἀρετῆς καὶ δυνάμεως, ὥστε καθεστῶτι λογισμῷ καὶ ἀσυγχύτῳ ψυχῇ νηφαλίῳ τε φρονήματι θεοῦ γνῶσιν ἀναλαβεῖν καὶ πᾶσαν ἐπὶ τὸν θεὸν ἀναρτῆσαι αὐτοῦ τὴν ἐλπίδα, ὥστ' ἂν εἰπεῖν· «ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς [μητρός μου], ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ.[3]» τίς δὲ τοιοῦτος θεῷ μεμελημένος «ὄνειδος ἀνθρώπων» γέγονεν καὶ «ἐξουδένημα λαοῦ;[4]» ὑπὸ τίνων δὲ καὶ ποδαπῶν «μόσχων» καὶ «ταύρων[5]» χρὴ νοεῖν τὸν τοιόνδε κεκυκλῶσθαι; τί δὲ παθὼν ὁ δηλούμενος «ὡσεὶ ὕδωρ ἐξεχύθη», καὶ πῶς «διεσκορπίσθη» αὐτοῦ «τὰ ὀστᾶ;[6]» πῶς δὲ «εἰς χοῦν θανάτου» κατήχθη, καὶ καταχθεὶς «εἰς χοῦν θανάτου[7]» τὰ τοιαῦτα λαλεῖ ἔτι καὶ ζῇ καὶ φθέγγεται; τίνες δὲ «οἱ κύνες» οἱ κυκλώσαντες αὐτόν, ἕτεροι ὄντες παρὰ τοὺς προωνομασμένους ταύρους καὶ μόσχους; ποία δὲ «συναγωγὴ πονηρευομένων» τὰς «χεῖρας» οὐ μόνον ἀλλὰ καὶ τοὺς «πόδας» τοῦ τηλικούτου «ὤρυξαν[8]», ἀποδύσαντές τε αὐτὸν τὰ μέν τινα διείλοντο αὐτοῦ τῶν ἐνδυμάτων, τὰ δὲ καὶ κλήρῳ λαχόντες ἔλαβον;[9] τίς δὲ ἡ «ῥομφαία» καὶ ὁ «κύων» καὶ ὁ «λέων;» τίνες δὲ οἱ λεγόμενοι «μονοκέρωτες[10]», τὸν δηλούμενον περιέχοντες; πῶς δὲ μετὰ τὴν πρὸς τοσούτους πάλην, μετὰ τὸ «εἰς χοῦν θανάτου[11]» καταχθῆναι, ἐπαγγέλλεται τὸ ὄνομα τοῦ πατρὸς διηγεῖσθαι, οὐ πᾶσιν ἀλλὰ μόνοις τοῖς ἑαυτοῦ «ἀδελφοῖς;» τίνες τε οἱ «ἀδελφοί», τίς τε ἡ «ἐκκλησία», περὶ ἧς φησιν ὁ

1. Ψαλμ. 21, 19. 2. Ψαλμ. 21, 17-18. 3. Ψαλμ. 21, 10-11. 4. Ψαλμ. 21, 7. 5. Πρβλ. Ψαλμ. 21, 13. 6. Ψαλμ. 21, 15. 7. Ψαλμ. 21, 16. 8. Πρβλ. Ψαλμ. 21, 17. 9. Πρβλ. Ψαλμ. 21, 19. 10. Πρβλ. Ψαλμ. 21,21,22. 11. Ψαλμ. 21, 16.

τὰ τοιαῦτα παθὼν «ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε;[1]» οἷς καὶ ἐπιλέγει, ὡς ἄρα οὐχ ἓν τὸ Ἰουδαίων ἔθνος, «πάντα» δὲ «τὰ πέρατα τῆς γῆς» συναισθήσονται «καὶ ἐπιστραφήσονται πρὸς κύριον», «καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν;[2]» καὶ σὺ δὲ παρὰ σαυτῷ βασανίσας ἑκάστην λέξιν τοῦ ψαλμοῦ, θέα εἰ δυνατὸν ἐπὶ τὸν τυχόντα ἀναφέρειν τὰ θεσπιζόμενα. ἀλλ' οὐκ ἂν εὕροις ἑτέρῳ ἐφαρμόττειν αὐτὰ ἢ μόνῳ τῷ σωτῆρι ἡμῶν, ὃς πάντων πιστότατος ἂν εἴη καὶ ἀληθέστατος, εἰς ἑαυτοῦ πρόσωπον ἀνειληφὼς τὴν ἀπὸ τοῦ ψαλμοῦ φωνήν, ὡς ἐμαρτύρησαν οἱ εὐαγγελισταί· ὁ μὲν Ματθαῖος δι' ὧν παρεθέμεθα αὐτοῦ λέξεων[3], ὁ δὲ Μάρκος δι' ὧν καὶ αὐτὸς ὧδέ πως ἱστορεῖ λέγων· «γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλης τῆς γῆς ἕως ὥρας ἐνάτης. καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ λέγων, ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανί, ὅ ἐστιν μεθερμηνευόμενον, ὁ θεός ὁ θεός μου, εἰς τί ἐγκατέλιπές με; καί τινες τῶν ἀκουσάντων ἔλεγον, Ἠλίαν φωνεῖ.[4]»

Φέρε δὴ οὖν τούτοις ἀκολούθως ἴδωμεν ὅπως εἰς αὐτὸν ἀνενεχθήσεται τὰ διὰ τοῦ ψαλμοῦ δηλούμενα. καὶ πρῶτόν γε διαλάβωμεν τὴν φάσκουσαν προγραφὴν «εἰς τὸ τέλος[5]» (ἢ κατὰ τὸν Ἀκύλαν «τῷ νικοποιῷ», ἢ κατὰ τὸν Σύμμαχον «ἐπινίκιος») «ὑπὲρ τῆς ἀντιλήψεως.» ταῦθ' ἡμᾶς ὑπεισέρχεται, ὅτι τὸ μὲν σωτήριον πάθος, ὡς αἱ λέξεις τῶν εὐαγγελιστῶν παρέστησαν[6], σκότους γενομένου ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης, ἀμφὶ τὴν ἐνάτην συνετελέσθη, ὅτε καὶ τὴν φωνὴν ἀφῆκεν τὴν μεγάλην[7], τὰ μικρῷ πρόσθεν δεδηλωμένα εἰπών, ὥστε ὁμολογεῖσθαι σαφῶς τὸ πάθος αὐτοῦ ἀμφὶ τὴν ἑσπέραν νυκτὸς ἐπελαυνούσης γεγονέναι. τὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἥτις ἦν «ἀντίληψις[8]» τοῦ πατρὸς ἀντιλαμβανομένου καὶ εἰς ἑαυτὸν ἐκ τῶν τοῦ θανάτου χωρίων ἐπισπωμένου καὶ λαμβάνοντος αὐτόν, ἀμφὶ τὴν ἕω γέγονεν, ὡς αὖθις ἀπὸ τῆς τῶν εὐαγγελιστῶν μαρτυρίας παρίσταται. ὁ γοῦν Λουκᾶς φησιν· «τῇ δὲ μιᾷ τῶν σαββάτων ἦλθον ὄρθρου βαθέος ἐπὶ τὸ μνημεῖον φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα», δηλονότι αἱ γυναῖκες καί τινες σὺν αὐταῖς, «εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἐκ τοῦ μνημείου, εἰσελθοῦσαι δὲ οὐχ εὗρον τὸ σῶμα[9]», διὰ τὸ ἤδη τὸν σωτῆρα ἡμῶν ἐκ νεκρῶν ἐγηγέρθαι. τοῦτο δὲ αὐτὸ καὶ ὁ Μάρκος δηλοῖ λέγων· «καὶ λίαν πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἔτι ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσῃ ἡμῖν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου; ἦν γὰρ μέγας σφόδρα. καὶ ἔρχονται καὶ εὑρίσκουσιν αὐτὸν ἀποκεκυλισμένον.[10]» ἦν δὲ ἤδη ἐγηγερμένος. ἔχεις καὶ παρὰ τῷ Ἰω-

---

1. Πρβλ. Ψαλμ. 21, 23. 2. Πρβλ. Ψαλμ. 21, 28. 3. Πρβλ. Ματθ. 27, 46. 4. Μάρκ. 15, 33-35. 5. Ψαλμ. 21, 1. 6. Πρβλ. Ματθ. 27, 45. Μάρκ. 15, 33. 7. Πρβλ. Ματθ. 27, 46. Μάρκ. 15, 34. 8. Πρβλ. Ψαλμ. 21, 1. 9. Λουκ. 24, 1-3. 10. Μάρκ. 16, 2-4.

άννῃ τὴν αὐτὴν μαρτυρίαν λέγοντι· «τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγδαληνὴ πρωῒ εἰς τὸ μνημεῖον ἔτι σκοτίας οὔσης, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.[1]» καὶ ὁ Ματθαῖος δέ, εἰ καὶ «ὀψὲ σαββάτων» εἴρηκεν, ἀλλ' ἐπιφέρει λέγων· «τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἦλθεν Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον, καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου.[2]»

Ταῦτα δὲ ἀναγκαίως παρεθέμην εἰς παράστασιν τῆς ἐν τῷ ψαλμῷ προφητευομένης «ἑωθινῆς ἀντιλήψεως.[3]» ἐπεὶ γὰρ τὰ περὶ τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν σημαίνει, οὐ μὴν κατέληξεν ἡ κατ' αὐτὸν οἰκονομία ἐν τῷ πάθει, «τέλος[4]» δὲ τοῦ πάθους ἡ ἐκ νεκρῶν ἀνάστασις ἦν καὶ «ἡ ἀντίληψις ἡ ἑωθινή[5]», εἰκότως ὁ λόγος τῷ παραδόξῳ «τέλει» τὴν γραφὴν ἀνατίθεται, ὡς τῆς ὑποθέσεως ἁπάσης καὶ τῶν πρὸ τοῦ «τέλους» παθημάτων τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ «τῆς ἀντιλήψεως τῆς ἑωθινῆς» ἕνεκεν γενομένης. εἰπὼν γοῦν ὁ σωτὴρ καὶ κύριος ἡμῶν τὸ «ὁ θεὸς ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με[6]» καὶ ἑξῆς ἐπαγαγὼν τὸ «ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ[7]», καὶ ἔτι προσθεὶς τὸ «περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με[8]», καὶ σαφῶς τὸν θάνατον αὐτοῦ προμαρτυράμενος διὰ τὸ «εἰς χοῦν θανάτου κατήγαγές με, ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχεν με, ὤρυξαν χεῖράς μου καὶ πόδας μου[9]», καὶ ἔτι τὰ ἀμφὶ τῷ πάθει συμβεβηκότα αὐτῷ σημήνας διὰ τοῦ «διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον·[10]» ταῦτα καὶ τὰ τούτοις παραπλήσια προειπών, οὐκ ἐπὶ τούτοις ἔστη, ἀλλ' ἐπιλέγει· «οἱ φοβούμενοι τὸν κύριον, αἰνέσατε αὐτόν, ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέν μου.[11]» πῶς δ' ἂν ἔλεγεν εἰσηκοῦσθαι, εἰ μὴ πάντως τετυχήκει τῶν εὐχῶν καὶ ὧν ἐν τοῖς πρόσθεν ἐδεδέητο, ὅτε ἔλεγεν τὸ «εἰς χοῦν θανάτου κατήγαγές με, ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.[12]» ταῦτα γὰρ εὐξάμενος καὶ δεηθεὶς ἐκ τούτων ῥυσθῆναί τε καὶ σωθῆναι, τυχὼν ὧν ηὔξατο ἐπιλέγει· «οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέν μου[13]», σαφῶς τὴν μετὰ θάνατον ἀναβίωσιν αὐτοῦ δηλῶν, ἥτις γέγονεν κατὰ «τὴν

---

1. Ἰω. 20, 1. 2. Ματθ. 28, 1-2. 3. Ψαλμ. 21, 1. 4. Ψαλμ. 21, 1. 5. Ψαλμ. 21, 1. 6. Ψαλμ. 21, 2. 7. Ψαλμ. 21, 7. 8. Ψαλμ. 21, 13. 9. Ψαλμ. 21, 16-17. 10. Ψαλμ. 21, 19. 11. Ψαλμ. 21, 24-25. 12. Ψαλμ. 21, 16, 21. 13. Ψαλμ. 21, 25.

ἑωθινὴν ἀντίληψιν[1]» ἣν ἑξῆς προϊὼν ὁ ψαλμὸς παρέστησεν εἰπών· «σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες.[2]» ποίαν δὴ ἀντίληψιν ἀλλ' ⟨ἢ⟩ ἣν καὶ ἡ προγραφὴ[3] τοῦ ψαλμοῦ ᾐνίττετο;

Ἀλλὰ ταῦτα μὲν ἡμῖν εἰρήσθω εἰς τὴν τοῦ ψαλμοῦ προγραφήν. εἰς δὲ τὸ «ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανί[4]», εἰρημένον μὲν ὑπὸ τοῦ σωτῆρος ἡμῶν αὐτοῖς ἑβραϊκοῖς ὀνόμασι περὶ τὸν τοῦ πάθους καιρόν, κείμενον δὲ καὶ ἐν τῷ ψαλμῷ, ὅρα μή τις ἔγκειται βαθυτέρα θεωρία παρ' Ἑβραίοις· ἐλωεὶμ γὰρ ὁ θεὸς ὀνομάζεται. καὶ τοῦτο διὰ πάσης σχεδὸν εὕροις ἂν τῆς γραφῆς, ἐπεὶ καὶ κυρίως οὕτως παρὰ τοῖς ἑβδομήκοντα ἔτι καὶ νῦν τῇ Ἑβραίων ὀνομάζεται φωνῇ. φέρονταί γε μὴν παρ' αὐτοῖς ἐπὶ τῆς θείας προσηγορίας καὶ ἕτεραί τινες ἐκφωνήσεις, ὥσπερ οὖν καὶ τὸ Σαδδαὶ καὶ τὸ Ἰαὼ καὶ τὸ Ἢλ καὶ ἄλλα τούτοις παραπλήσια. ὁ δὴ οὖν μετὰ χεῖρας ψαλμὸς ἀπὸ τοῦ ⟨ἢλ⟩ «ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανὶ[5]» περιέχει, ᾧ κέχρηται καὶ ὁ κύριος ἡμῶν, οὐ μὴν ἀπὸ τοῦ ἐλωείμ. ὁ γοῦν Ἀκύλας διαφορὰν εἰδὼς τῆς παρ' Ἑβραίοις θεοῦ προσηγορίας ἐκ τοῦ ἐλωεὶμ σημαινομένης, τὸν νῦν δηλούμενον ἐν τῷ «ἠλὶ ἠλὶ» οὐκ ἠξίωσεν, ὁμοίως τοῖς λοιποῖς, «ὁ θεὸς ὁ θεός μου» μεταβαλὼν εἰπεῖν, ἀλλὰ «ἰσχυρέ μου ἰσχυρέ μου» (τὸ δ' ἀκριβές ἐστιν «ἰσχύν μου ἰσχύς μου»), ὥστε κατὰ τὴν τούτου διάνοιαν τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν ἡμέτερον σωτῆρα, φάσκοντα τὸ «ἠλὶ ἠλὶ» πρὸς τὸν πατέρα λέγειν «ἰσχυρέ μου, ἰσχυρέ μου ἵνα τί ἐγκατέλιπές με.» καὶ τάχα ἐπεὶ ἐγκατέλιπεν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, τούτου χάριν ⟨ἐσταυρώθη⟩, ὥς φησιν ὁ ἀπόστολος «καὶ γὰρ ἐσταυρώθη ἐξ ἀσθενείας, καὶ ζῇ ἐκ δυνάμεως θεοῦ[6]», ὡς μὴ σταυρωθεὶς [εἴη] ἄν, εἰ μὴ ὁ ἰσχυρὸς αὐτοῦ καταλελοίπει αὐτόν. καὶ ὅρα εἰ μὴ ἔπρεπεν τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν «ὡς πρόβατον ἐπὶ σφαγὴν» ἀχθέντα «καὶ ὡς ἀμνὸν ἐναντίον τοῦ κείροντος ἄφωνον[7]», τὰς οἰκείας δυνάμεις ἀνατιθέναι τῷ θεῷ, καὶ μηδὲν ἴδιον ἔχειν ἡγεῖσθαι ἢ μόνον τὸν πατέρα· διὸ καὶ ἰσχυρὸν τὸν πατέρα αὐτοῦ ἀποκαλεῖ, ὡς καὶ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ ἰσχὺν ἑαυτοῦ καὶ κραταίωμα καὶ καταφυγὴν τὸν πατέρα ὀνομάζει, λέγων· «ἀγαπήσω σε, κύριε ἡ ἰσχύς μου· κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου· ὁ θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν· ὑπερασπιστής μου, καὶ κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου.[8]» καταλέλοιπεν οὖν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, θελήσας αὐτὸν «μέχρι θανάτου» καὶ «θανάτου σταυροῦ[9]» κατελθεῖν, καὶ τοῦ κόσμου παντὸς λύτρον καὶ ἀντίψυχον ἀποδειχθῆναι καὶ καθάρσιον γενέσθαι τῆς τῶν εἰς αὐτὸν πιστευσάντων ζωῆς. ὁ δὲ αὐτίκα μάλα συναισθόμενος τῆς ἐνθέου καὶ πατρικῆς βουλῆς, διαγνούς τε εἴ καί τις ἄλλος

1. Ψαλμ. 21, 1. 2. Ψαλμ. 21, 20. 3. Πρβλ. Ψαλμ. 21, 1. 4. Ματθ. 27, 46. Μάρκ. 15, 34. Ψαλμ. 21, 2. 5. Ψαλμ. 21, 2. Ματθ. 27, 46. Μάρκ. 15, 34. 6. Β' Κορ. 13, 4. 7. Ἡσ. 53, 7. 8. Ψαλμ. 17, 2-3. 9. Φιλιπ. 2, 8.

τὰ αἴτια τοῦ καταλελεῖφθαι αὐτὸν ὑπὸ τοῦ πατρός, ἔτι πολὺ πλέον ἐταπείνωσεν ἑαυτόν, καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον πολλῇ τῇ προθυμίᾳ περιεβάλετο, ἐγένετό τε ὁ πανάγιος καὶ εὐλογητὸς «ὑπὲρ ἡμῶν κατάρα[1]», καὶ ὁ μὴ γνοὺς ἁμαρτίαν ἁμαρτία, «ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ.[2]» καὶ ἔτι πρὸς τούτοις τὰς ἡμετέρας ἁμαρτίας ἀναμαξάμενος ἐσταυρώθη, ὃ ἐχρῆν ἡμᾶς τοὺς πρὶν ἀσεβεῖς παθεῖν, ἀντίψυχον ἡμῶν καὶ ἀντίλυτρον γεγενημένος, ὥστ' ἂν εὐλόγως εἰπεῖν ἡμᾶς τὸ προφητικόν· «αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται» καὶ «αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα «τῷ μώλωπι αὐτοῦ ἡμεῖς» ἰαθῶμεν. «κύριος» γὰρ «παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.[3]» διόπερ ὡς παραδοθεὶς ὑπὸ τοῦ πατρὸς καὶ μαλακισθεὶς καὶ «τὰς ἀνομίας ἡμῶν[4]» ἀνειληφώς, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη.[5]» συνᾴδει τούτοις καὶ ὁ ἀπόστολος λέγων· «ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν.[6]» κινῶν δὲ ἡμᾶς ἐπὶ ζήτησιν τῆς αἰτίας δι' ἣν αὐτὸν ὁ πατὴρ κατέλιπεν, φάσκει, «ἵνα τί με ἐγκατέλιπες;[7]» τὸ δ' αἴτιον τοῦτο ἦν ἡ τοῦ παντὸς ἀνθρώπων γένους ἀπολύτρωσις, τῷ «τιμίῳ αἵματι[8]» ἐξαγοραζομένη ἀπὸ τῆς πρὶν χαλεπῆς δουλείας, ἣν τοῖς ἀοράτοις δεσπόταις, δαίμοσιν ἀκαθάρτοις καὶ πονηροῖς ἄρχουσί τε καὶ πνεύμασιν, καταδεδούλωντο. καὶ ἄλλως δὲ καταλέλοιπεν αὐτὸν ὁ πατὴρ εἰς τὸ καὶ αὐτοῦ τοῦ Χριστοῦ τὴν ὑπὲρ ἀνθρώπων διάθεσιν ἀποδειχθῆναι. διὸ μηδενὸς ἔχοντος ἐξουσίαν τῆς αὐτοῦ ψυχῆς, ἑκὼν αὐτὸς ὑπὲρ ἀνθρώπων αὐτὴν τέθεικεν[9], ὥσπερ οὖν διδάσκει λέγων· «οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ·» «ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.[10]»

Ἑξῆς τούτοις φησίν· «μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου[11]», ἀνθ' οὗ ὁ μὲν Ἀκύλας· «μακρὰν ἀπὸ τῆς σωτηρίας μου ῥήματα βρυχήματός μου» ἐξέδωκεν, ὁ δὲ Σύμμαχος· «ἀφεστήκασιν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν ὀδυρμῶν μου», καὶ καθ' ἑτέραν δὲ φερομένην ἑρμηνείαν πέμπτην εἴρηται· «μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν δεήσεών μου.» ὅρα δὴ οὖν ὅτι κατ' οὐδετέραν τούτων τὸ «τῶν παραπτωμάτων μου[12]» εἴρηται, ὡς συμβαίνειν ποτὲ σφάλματι γραφικῷ τοιαύτας τινὰς ἐναλλαγὰς φέρεσθαι. ἐκ δὲ τῆς τῶν πλειόνων ἑρμηνείας καταληπτέον, εἰ μὴ ἄρα τις κἀνταῦθα τὰ ἡμέτερα «παραπτώματα» ἐξοικειούμενον ταῦτα αὐτὸν εἰρηκέναι φήσειεν.

Τούτοις ἑξῆς ἐπιλέγει· «ὁ θεός μου, κεκράξομαι ἡμέρας καὶ οὐκ

---

1. Γαλ. 3, 13. 2. Β' Κορ. 5, 21. 3. Ἠσ. 53, 4, 5, 6. 4. Πρβλ. Ἠσ. 53, 5. 5. Ἠσ. 53, 7. 6. Ῥωμ. 8, 32. 7. Ψαλμ. 21, 2. 8. Α' Πέτρ. 1, 19. 9. Πρβλ. Ἰω. 10, 11. 10. Ἰω. 10, 18. 11. Ψαλμ. 21, 2. 12. Ψαλμ. 21, 2.

εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί[1]», ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος «ὁ θεός μου», φησίν, «βοήσω ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ ἔστιν σιγή.» θαυμάζει δὴ οὖν ἐν τούτοις τὸν πατέρα ὡς μὴ εἰσακούοντα αὐτοῦ, παράξενόν τι τούτου καὶ παρὰ τὸ σύνηθες θεωρῶν, ὁ δὲ ἐφύλαττεν αὐτῷ τὴν ἀκοὴν εἰς τὸν ἐπιτήδειον τοῦ εἰσακουσθῆναι καιρόν. οὗτος δὲ ἦν ὁ «τῆς ἀντιλήψεως τῆς ἑωθινῆς[2]» καὶ ὁ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καθ' ὃν εἰ καί τινι ἄλλῳ καὶ αὐτῷ δικαίως ἂν ἐλέχθη· «καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.[3]» λέγοιτο δ' ἂν ταῦτα καὶ ἑτέρως ὑπὸ τοῦ σωτῆρος ἡμῶν, ὡς εἰωθότος μὲν ἀεὶ καὶ πάντοτε εἰσακούεσθαι ὑπὸ τοῦ πατρὸς νῦν δὲ πιστεύοντος εἰσακουσθήσεσθαι, ὡς εἰ σαφέστερον ἔλεγεν· μὴ οἷόν τέ ἐστιν, ὦ πάτερ, ἐμὲ τὸν σὸν μονογενῆ καὶ ἀγαπητὸν υἱὸν μὴ εἰσακούεσθαι βοῶντα καὶ κεκραγότα πρὸς σὲ τὸν ἐμαυτοῦ πατέρα; διδάσκει γοῦν αὐτὸ τοῦτο ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ ἐπὶ τοῦ Λαζάρου, ὁπηνίκα εἰπὼν «ἄρατε τὸν λίθον» ἀπὸ τοῦ μνημείου, ἐπῆρεν «τοὺς ὀφθαλμοὺς» ἑαυτοῦ εἰς τὸν οὐρανὸν «καὶ εἶπεν, πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου, ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις.[4]» εἰ τοίνυν πάντοτε αὐτοῦ ἀκούει, οὐκ ἀμφιβάλλων ἀλλ' ἀκριβῶς ἐπιστάμενος ὅτι καὶ νῦν αὐτοῦ εἰσακούσεται, ὡς ἀδυνάτου ὄντος τοῦ μὴ εἰσακούεσθαι αὐτόν, ἐρωτηματικῶς φησιν· «ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ;[5]» ὑποστιζόντων ἡμῶν ἐν τῷ «οὐκ εἰσακούσῃ» καὶ τὸ ἐναντίον ὑπονοούντων τῷ πύσματι.

Τοῦτο γοῦν διδάσκει μικρὸν ὕστερον, προϊὼν ἑξῆς ἐν τῷ ψαλμῷ, λέγων· «οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισεν τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέν μου.[6]» πῶς οὖν ἀποφατικῶς λέγει ἂν «ὁ θεός μου κεκράξομαι ἡμέρας καὶ οὐκ εἰσακούσῃ[7]», εἰ μὴ κατὰ τὴν ἀποδοθεῖσαν ἡμῖν θεωρίαν; ἣν οἶμαι καὶ αὐτὸν αἰνίττεσθαι λέγοντα «ὁ θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ; καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.[8]» οὐ γὰρ «εἰς ἄνοιαν», φησίν, ἐμοὶ λέγεται τὸ «εἰσακούσῃ·» οἶδα γὰρ αὐτὸς ὅπως τοῦτό φημι, πεπεισμένος ὅτι πέφυκας οὐχ ὅτι γε ἐμοῦ μόνον ἀντιλαμβάνεσθαι καὶ εἰσακούειν ἀλλὰ καὶ πάντων τῶν ἁγίων σου. ἀεὶ γὰρ καὶ διὰ παντὸς «ἐν» τοῖς «ἁγίοις» σου «κατοικεῖς», καὶ σὺ εἶ ὁ παντὸς ἀνδρὸς θεοφιλοῦς, «Ἰσραὴλ» προσαγορευομένου, «ἔπαινος.[9]» διὰ σὲ γὰρ παντὶ τῷ σε περιέποντι οὐχ ὁ τυχὼν προσγίνεται «ἔπαινος», καὶ «ἐπὶ σοὶ οἱ πατέρες ἡμῶν ἤλπισαν[10]», καὶ ἐλπίσαντες τῶν ἐπαναστάντων καὶ αὐτοῖς κακῶν ἐρύσθησαν καὶ «πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοί τε ἤλπισαν

---

1. Ψαλμ. 21, 3. 2. Ψαλμ. 21, 1. 3. Β' Κορ. 6, 2. (Ἡσ. 49,8). 4. Ἰω. 11, 39, 41-42. 5. Ψαλμ. 21, 3. 6. Ψαλμ. 21, 25. 7. Ψαλμ. 21, 3. 8. Ψαλμ. 21, 3. 9. Πρβλ. Ψαλμ. 21, 4. 10. Ψαλμ. 21, 5.

καὶ οὐ κατῃσχύνθησαν.[1]» ἐπειδὴ οὖν πάντες οἱ ἅγιοι τούτων ἔτυχον παρὰ σοῦ, κεκράξαντές τε εἰσηκούσθησαν καὶ «οὐ κατῃσχύνθησαν», πόσῳ δὴ πλέον ἐμοῦ τοῦ σοῦ ἀγαπητοῦ παιδὸς βοῶντος μᾶλλον ἁπάντων καὶ ἑτοιμότερον εἰσακούσῃ; εἰ δὲ καὶ ἀποθαυμαστικῶς φημι «κεκράξομαι καὶ οὐκ εἰσακούσῃ;» ἀλλ' «οὐκ εἰς ἄνοιαν[2]» ὁ λόγος μοι προφέρεται. οἶδα γοῦν ὅπως τὴν εὐχὴν προφέρω, μὴ ἐναβρυνόμενος μηδὲ ἐγκαυχώμενος, ἀλλ' ὡς ταπεινοφρονῶν. ἐπεὶ γὰρ «πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ[3]», ταπεινῶς καὶ τῇ ἐμαυτοῦ πραότητι οἰκείως περὶ ἐμαυτοῦ ταπεινὰ φθέγγομαι, οὕτω δὴ καὶ «σκώληκα» ἐμαυτὸν ὀνομάζω.[4] τί γὰρ ἂν γένοιτο σκώληκος ταπεινότερον; ὅθεν οὐδ' ἄνθρωπον ἐμαυτὸν εἴποιμ' ἄν, εἰς τοσαύτην ταπείνωσιν ἐκ τοῦ οἰκείου μεγέθους κατελθών, ὥστε καὶ σκώληκος μηδὲν δοκεῖν διαφέρειν, διὰ τὸ καὶ μέχρι θανάτου καὶ τῆς τοῦ σώματος φθάσαι φθορᾶς. πόθεν γὰρ ἄλλοθεν ⟨ἂν⟩ γεννηθείη σκώληξ ἢ ἀπὸ σωμάτων φθορᾶς, εἰς ἣν καὶ αὐτὸς κατελθὼν εἰκότως ἐμαυτὸν σκώληκα καὶ οὐκ ἄνθρωπον γινώσκω. διὸ καὶ γέγονα «ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ», οὐκ ἂν γενόμενος οὔτε «ὄνειδος ἀνθρώπων» οὔτε «ἐξουδένημα», εἰ μὴ μέχρι σκώληκος ἐφθάκειν παρὰ τὸν τοῦ πάθους καιρόν.[5] τηνικαῦτα γοῦν θεωροῦντές με ἐπὶ τοῦ σταυροῦ ἀνηρτημένον, «ἐξεμυκτήρισαν» καὶ «ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησάν» τε «κεφαλὴν» λέγοντες, «ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.[6]» ταῦτα μὲν οὖν ἅπαντα διὰ τοῦ ψαλμοῦ σαφῶς περὶ τῶν μελλόντων γενήσεσθαι μακροῖς ποθ' ὕστερον χρόνοις ἐθεσπίζετο, τέλους δὲ ἐτύγχανεν, ὁπότε, κατὰ τὸν Ματθαῖον, σταυρωθέντων σὺν αὐτῷ δύο λῃστῶν, ἑνὸς «ἐκ δεξιῶν» καὶ ἑνὸς «ἐξ εὐωνύμων» τοῦ σωτῆρος «οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων ἔλεγον, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. εἰ βασιλεὺς τοῦ Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν αὐτῷ. εἰ πέποιθεν ἐπὶ τὸν θεόν, ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπεν γὰρ ὅτι υἱὸς θεοῦ εἰμι[7]», κατὰ δὲ τὸν Λουκᾶν· «εἱστήκει ὁ λαὸς θεωρῶν, καὶ ἐξεμυκτήριζον αὐτὸν οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες, ἄλλους ἔσωσεν, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ ἐκλεκτός[8]», κατὰ δὲ τὸν Μάρκον· «καὶ οἱ παράγοντες ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν, σῶσον σεαυτὸν καὶ

---

1. Ψαλμ. 21, 6. 2. Πρβλ. Ψαλμ. 21, 3. 3. Ματθ. 11, 29. 4. Πρβλ. Ψαλμ. 21, 7. 5. Πρβλ. Ψαλμ. 21, 7. 6. Πρβλ. Ψαλμ. 21, 8-9. 7. Ματθ. 27, 38-43. 8. Λουκ. 23, 35.

κατάβηθι ἀπὸ τοῦ σταυροῦ. ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες εἰς ἀλλήλους μετὰ τῶν γραμματέων ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.[1]» ταῦτα γὰρ τί ἂν διαφέροι τῶν ἐν τῷ ψαλμῷ προαναπεφωνημένων ἐν τῷ «ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ. πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.[2]» καὶ μὴ θαυμάσῃς, εἰ ταῦτα κατὰ τὸ πάθος τοῦ σωτῆρος ἡμῶν εἰρητό τε καὶ πεπλήρωτο, ὁπότε εἰσέτι δεῦρο παρὰ πᾶσιν ἀνθρώποις τοῖς μηδέπω τὴν εἰς αὐτὸν πίστιν ἀνειληφόσιν «ὄνειδος ἀνθρώπων[3]» νενόμισται. τί γὰρ ἂν αἴσχιον καὶ παντὸς ὀνείδους χεῖρον τοῦ σταυρωθῆναι; ἀλλὰ καὶ «ἐξουδένημα λαοῦ[4]» ἐστιν τοῦ ἐκ περιτομῆς, παντὸς αὐτῶν τοῦ ἔθνους εἰσέτι νῦν καὶ σήμερον χλευάζειν καὶ ἐξουθενεῖν καὶ καταπτύειν εἰωθότος αὐτοῦ, ὅθεν καὶ εἰκότως ὁ ἀπόστολος· «ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν.[5]» καὶ τὰ ἑξῆς δὲ εἰρημένα ἐν τῷ ψαλμῷ εἰσέτι καὶ νῦν εὕροις ἂν παρὰ τοῖς πολλοῖς περὶ τοῦ αὐτοῦ λεγόμενα. ταῦτα μὲν οὖν περὶ τῆς διαλαβούσης αὐτὸν εἰσέτι τότε περιστάσεως ηὔχετο.

Εἰδὼς δὲ μὴ χείρονα οὖσαν τῆς τοῦ θανάτου συμφορᾶς τὴν πρώτην αὐτοῦ εἰς σάρκα ἔνδεσιν καὶ τὴν ἐκ θηλείας καὶ παρθένου γένεσιν, κατὰ καιρὸν ἐν τοῖς περὶ θανάτου τῶν τῆς γενέσεως αὐτοῦ μνημονεύει, λέγων πρὸς τὸν πατέρα· «ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ.[6]» τούτων δὲ εἰκότως ἀναφέρει τὴν μνήμην εἰς παραμυθίαν τῆς τῶν παρόντων ἀπαλλαγῆς. ὥσπερ γάρ, φησίν, γέγονάς μου βοηθὸς σῶμα ἀνθρώπειον ἀναλαβόντος, ὅτε καὶ ἐξ αὐτῆς τῆς κυοφορούσης με γαστρὸς σὺ αὐτὸς ὁ θεός μου καὶ πατήρ μου ὥσπερ μαιούμενος τὴν ἐμοὶ κατεσκευασμένην ἐξ ἁγίου πνεύματος σάρκα ἐξέσπασας, τὴν ἑαυτοῦ δύναμιν ὀρέξας, ὡς ἂν μή τις ἐνέδρα καὶ ἐπιβουλὴ ἐξ ἀντικειμένων δυνάμεων καὶ πονηρῶν πνευμάτων διαφθονουμένων τῇ εἰς ἀνθρώπους παρόδῳ μου γένοιτο (ἐπεὶ καὶ κατὰ τὴν πρώτην σύλληψιν σὺ πάλιν τὸ κατὰ γαστρὸς «ἐπεσκίασας», ὡς ἂν λάθοι «τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου[7]» ἡ ἐξ ἁγίου πνεύματος τῆς ἁγίας παρθένου σύλληψις, ὅπερ μέγα μυστήριον ὁ σὸς ἀρχάγγελος ἐξέφηνεν Γαβριὴλ τῇ Μαρίᾳ εἰπών· «πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι[8]»), — ὥσπερ οὖν ἡ σὴ τότε τοῦ ὑψίστου δύναμις συλλαμβανό-

1. Μάρκ. 15, 29-32. 2. Ψαλμ. 21, 7-9. 3. Ψαλμ. 21, 7. 4. Ψαλμ. 21, 7. 5. Α'. Κορ. 1, 23. 6. Ψαλμ. 21, 10-11. 7. Α'. Κορ. 2, 6· 8. Λουκ. 1, 35.

μενον μὲν ἐπεσκίασεν, τικτόμενον δὲ ἐξέσπασεν ἀπὸ γαστρὸς μητρός μου [1], οὕτω πολλή μοι τυγχάνει παραμυθία, ὅτι καὶ τοῦ θανάτου με πολὺ μᾶλλον ἀνασπάσεις. καὶ τοῦτό γε ἐλπίζων ἐπὶ σὲ πέποιθα τὸν ἐμαυτοῦ θεὸν καὶ κύριον καὶ πατέρα, καὶ πέποιθα οὐ νῦν πρῶτον ἀρξάμενος τῆς εἰς σὲ ἐλπίδος, ἀλλὰ καὶ ὅτε «ἀπὸ μαστῶν μητρός μου [2]» τὴν νηπιώδη τροφὴν ἀναλαμβάνων ἐνομιζόμην ὁμοίως τοῖς τῶν ἀνθρώπων βρέφεσιν ἀτελὴς εἶναι καὶ ἄλογος, μὴ ὤν γε τοιοῦτος, εἰ καὶ σῶμά μοι ὅμοιον ἀνθρώποις ἦν, ἀλλ' οὐ καὶ τὴν δύναμιν οὐδὲ τὴν οὐσίαν τοῖς πολλοῖς ὢν ἐμφερής, ἄνετος δὲ καὶ ἀπόλυτος, οἷά σου τοῦ θεοῦ ἀμνός, καὶ ἐξ ἐκείνης τῆς ἡλικίας γαλουχούμενος, λέγω δὴ «ἀπὸ μαστῶν τῆς μητρός μου.[3]» καὶ οὔπω τοῦτο μέγα τις ἡγήσεται, εἰ μάθοι ὅτι καὶ ἔτι πρότερον «ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ.[4]» ἔτι γὰρ ἔνδον ἐν τῷ ταμείῳ τῆς κυοφορούσης με φερόμενος σὲ τὸν θεόν μου ἑώρων, ἅτε ἀσύγχυτος καὶ ἀθόλωτος ἐν τῇ τοσαύτῃ τῶν σαρκῶν κοινωνίᾳ διαμείνας, μᾶλλον δὲ ἀσώματος καὶ τότε ὢν καὶ πάντων ἐλεύθερος δεσμῶν· οὕτως δὲ «ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας», καὶ «ἀπὸ γαστρὸς μητρὸς θεός μου [5]» ἦσθα, ὡς αἰσθέσθαι με τῆς ἐμῆς δυνάμεως ἔτι κυοφορουμένης πρὸς τῆς ἁγίας παρθένου τὸν ἐμὸν πρόδρομον Ἰωάννην, καὶ αὐτὸν κατὰ γαστρὸς τῆς Ἐλισάβετ κυοφορούμενον, ὥστε ὑπὸ τῆς ἐμῆς θεότητος κινηθέντα σκιρτῆσαι ἐν ἀγαλλιάσει καὶ πνεύματος ἁγίου πλησθῆναι.[6]

Τούτων οὖν ἁπάντων ἀναφέρων τὴν μνήμην, καὶ διὰ παντὸς τὸν θεόν μου καὶ πατέρα μου πρὸ τῶν ἐμῶν ὀφθαλμῶν τιθέμενος, εἰκότως καὶ κατὰ τὸν ἐνεστῶτα τοῦ περιέχοντός με πάθους καιρόν, ὅτε σοὶ τῷ πατρὶ γενόμενος ὑπήκοος [7], αὐθαίρετος καὶ ἑκὼν γέγονα «σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ.[8]» καὶ νῦν ὅτε «πάντες οἱ θεωροῦντές [9]» μου τὸ σῶμα τῷ σταυρῷ προσηλούμενον, ἀποτρόπαιον ἡγούμενοι ὁρᾶν πρᾶγμα, «ἐξεμυκτήρισάν με [10]», τοσαύτην κατ' ἐμοῦ χλεύην καὶ διασυρμὸν καταχέοντες, ὡς μὴ μόνον ἐν διανοίᾳ λογίζεσθαι καὶ ἐνθυμεῖσθαι περὶ ἐμοῦ τὰ ἀσεβῆ, ἀλλὰ καὶ ἀφόβως φθέγγεσθαι καὶ ἐν φανερῷ λαλεῖν («ἐλάλησαν» γοῦν «ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν», λέγοντες «ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν [11]»), καὶ νῦν γοῦν ὅτε τὰ τοιαῦτά με περιέστηκεν, σὲ τὸν πατέρα μου τὸν ἐκσπάσαντά «με ἐκ γαστρὸς μητρός μου [12]», ἐφ' ὃν «ἐπερρίφην ἐκ μήτρας [13]», εἰς ὃν ἤλπισα «ἀπὸ μαστῶν [14]», τὸν καὶ ἀπὸ γαστρὸς μητρός μου γνωριζόμενόν μοι καὶ γινωσκόμενον θεὸν ἱκετεύω καὶ ἀντιβολῶ «μὴ ἀποστῆναι ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς.[15]»

1. Πρβλ. Ψαλμ. 21, 10. 2. Ψαλμ. 21, 10. 3. Ψαλμ. 21, 10. 4. Ψαλμ. 21, 11. 5. Ψαλμ. 21, 11. 6. Πρβλ. Λουκ. 1, 41. 7. Πρβλ. Φιλιπ. 2, 8. 8. Ψαλμ. 21, 7. 9. Ψαλμ. 21, 8. 10. Ψαλμ. 21, 8. 11. Πρβλ. Ψαλμ. 21, 8-9. 12. Ψαλμ. 21, 10. 13. Ψαλμ. 21, 11. 14. Ψαλμ. 21, 10. 15. Ψαλμ. 21, 12.

μέλλει γάρ, φησίν, καὶ ὅσον οὔπω πάρεστιν καὶ πλησιάζει συνέχον ἤδη καὶ ἐπικείμενόν μοι τὸ πάντων ἔσχατον τῆς ὑπερβαλλούσης μου θλίψεως νέφος. οὔπω γὰρ ἐγὼ θλῖψιν ταύτην τὴν νῦν περιέχουσάν με καλῶ οὔτε τὸν σταυρόν, οὔτε τοὺς ἐξ ἀνθρώπων ὀνειδισμούς, οὔτε τὰς χλεύας, οὔτε μὴν τὰ πρὸ τοῦ σταυροῦ συμβεβηκότα μοι, τὰς μάστιγας, τὰς ὕβρεις, καὶ ὅσα ἄλλα ἐπαροίνησαν εἰς ἐμὲ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἀλλὰ γὰρ ὁρῶ, μετὰ τὴν τοῦ σώματος ἀνάλυσιν κατ' αὐτὸν τὸν θάνατον καὶ τὴν εἰς ᾅδου κατάβασιν, πλησιάζουσαν τῶν ἀντικειμένων καὶ ἐχθρῶν τῷ θεῷ δυνάμεων ἐπανάστασιν. διό φημι· «ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.[1]» πῶς γὰρ οὐχ ὑπερβάλλουσα ἦν καὶ μεγίστη θλῖψις αὕτη ἐκείνη, ἐν ᾗ «οὐκ ἔστιν ὁ βοηθῶν;[2]» ὁ μὲν γὰρ ἐπὶ σωτηρίᾳ τῶν ἐν ᾅδου ψυχῶν παρήει, ἐκ μακροῦ αἰῶνος τὴν ἄφιξιν αὐτοῦ περιμενουσῶν, καὶ κατήει γε «θύρας χαλκᾶς» συντρίψων καὶ «μοχλοὺς σιδηροὺς» συνθλάσων[3] καὶ τοὺς πρὶν δεσμίους ᾅδου ἐλευθέρους ἀνήσων, ὃ καὶ γέγονεν, ὅτε «πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων» ἀναστάντα συνεισῆλθον αὐτῷ «εἰς τὴν» ἀληθῶς «ἁγίαν» τοῦ θεοῦ «πόλιν.[4]»

Αἱ δὲ δυνάμεις αἱ ἀντικείμεναι πρὸς τοῖς τῶν ἀνθρώπων κακοῖς ἐπεστρατεύοντο αὐτῷ, λύπην οὐ μικρὰν καὶ θλῖψιν αὐτῷ παρέχουσαι, ἀποκλαομένῳ καὶ ἐπ' αὐταῖς δι' ὑπερβολὴν ἀγαθότητος· ἀλλὰ γὰρ τήρει, τίνα τρόπον ταῦτα πάντα λέλεκται ὡς ἐκ προσώπου αὐτοῦ ἐν μήτρᾳ κυοφορηθέντος καὶ ἀπὸ γαστρὸς μητρὸς γεγεννημένου[5], ὃν ἐφάσκομεν εἶναι «τὸν ἀμνὸν τοῦ θεοῦ.[6]» τούτῳ γὰρ καὶ συμβαίνει τὰ περὶ τὸ πάθος, ὡς καὶ τὰ τῆς ἐνσάρκου γενέσεως ἥρμοζεν. τὸ γοῦν γεννηθὲν καὶ ἀποθνήσκει, τὸ δὲ θνῆσκον οὐκ ἄλλως θανάτου τυγχάνει ἢ πρότερον ὁδεῦσαν διὰ γενέσεως. ταῦτ' οὖν διέξεισιν ὁ σωτὴρ καὶ κύριος ἡμῶν, οὐ καθ' ὃ ἄσαρκος καὶ ἀσώματος ὑπάρχει τὴν φύσιν, οὐδὲ καθ' ὃ θεοῦ λόγος καὶ θεὸς ἐπινοεῖται, ἀλλὰ καθ' ὃ οἷός τε ἦν ἐν τῇ πρὸς τὸν πατέρα εὐχῇ λέγειν· «ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ.[7]» οὗτος δὴ οὖν, πρὸς τῷ πάθει γεγονώς, εὔχεται τὰ προκείμενα πρὸς τὸν πατέρα, καὶ τοσούτων, φησίν, μελ⟨λ⟩όντων με περιστήσεσθαι ἀντικειμένων ἐνεργειῶν καὶ δαιμόνων ἀκαθάρτων καὶ πνευματικῶν πονηρίας, καὶ ἐπὶ πᾶσι τοῦ πάντων χειρίστου αὐτοῦ δὴ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου[8], οὓς τῆς κακίας ἕνεκεν θῆρας πονηροὺς ὀνομάζειν ἄξιον καὶ ἤτοι ταύρους ἀγρίους ἢ μόσχους ἢ λέοντας ἢ κύνας[9], μέλλων τε πρὸς ἅπαντας ἵστασθαι καὶ μηδὲν ἀγαθὸν εἰς αὐτοὺς ἐνεργεῖν, τῷ μηδὲν παραδέχεσθαι αὐτοὺς τῶν ἐμῶν ἀγαθῶν δι' ἄκραν

---

1. Ψαλμ. 21, 12. 2. Ψαλμ. 21, 12. 3. Πρβλ. 45, 2. 4. Πρβλ. Ματθ. 27, 52-53. 5. Πρβλ. Ψαλμ. 21, 11. 6. Ἰω. 1, 36. 7. Ψαλμ. 21, 10-11. 8. Πρβλ. Α' Κορ. 2, 6. 9. Πρβλ. Ψαλμ. 21, 13, 14, 17.

κακίας ἕξιν, ἀλλὰ μηδὲ βοηθοῦ μηδὲ συνεργοῦ τυγχάνων τινὸς τῶν προειρημένων εἰς τὸν ὑπὲρ τῶν ἐν ᾅδου ψυχῶν ἆθλον, πῶς οὐκ ἂν εὐλόγως εἴποιμ' ἂν καὶ «ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν; [1]» τὸ μὲν οὖν τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις μὴ συνεργεῖν αὐτῷ μηδὲ βοηθεῖν ἐπ' ἀγαθὸν αὐτῷ κομιζομένῳ οὐδὲν ἦν θαυμαστόν· τὸ δὲ πάντων μέγιστον τῆς θλίψεως τῆς μάλιστα πιεζούσης αὐτὸν τοῦτ' ἦν ἄρα, τὸ μηδένα μηδὲ τῶν αἰσίων καὶ δεξιῶν ἀγγέλων μηδὲ μὴν τῶν θείων δυνάμεων τολμᾶν ἐπιβαίνειν τοῖς τοῦ θανάτου βασιλείοις μηδὲ συνεργεῖν ἐπὶ βοηθείᾳ τῶν αὐτόθι ψυχῶν. μόνῳ γὰρ αὐτῷ τοῦτ' ἀτρεμὲς ἦν, ἐπεὶ καὶ μόνῳ ἠνεῴχθησαν «πύλαι θανάτου», καὶ μόνον αὐτὸν «πυλωροὶ ᾅδου ἰδόντες ἔπτηξαν[2]», αὐτός τε ὁ τὸ κράτος ἔχων τοῦ θανάτου, ὑπεκστὰς τῶν βασιλείων θρόνων[3], ἅτε μόνον αὐτὸν ἐπιγνοὺς ἑαυτοῦ κύριον, ἐλάλησεν αὐτῷ «δεήσει καὶ ἱκετηρίᾳ μαλακῶς[4]», κατὰ τὰ δηλούμενα ἐν τῷ Ἰὼβ περὶ τούτων. πλὴν ἀλλὰ τὴν ἀσεβῆ τοῦ τυράννου καταδυναστείαν τοσοῦτον ὁρῶν ἰσχύουσαν, ὡς μηδένα ἄλλον τολμᾶν τῶν κατ' οὐρανὸν ἐν τοῖς αὐτόθι χωρίοις συμπαρεῖναι αὐτῷ καὶ τῇ τῶν αὐτόθι ψυχῶν συνεργεῖν σωτηρίᾳ, εἰκότως φησὶν «ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν[5]», ἑνὸς μόνου τοῦ κἀκεῖσε βοηθεῖν αὐτῷ δυναμένου καταλελοιπότος αὐτόν, ὡς ἂν εἰς πάντας ἀνακηρυχθείη τὸ λαμπρὸν καὶ ἐξαίρετον τῆς ἰδίας αὐτοῦ προαιρέσεως τῆς τε κατὰ πάντων νίκης.

Καὶ ἐπειδήπερ ὁ μόνος αὐτῷ βοηθεῖν δυνάμενος οὐκ ἦν αὐτῷ τότε βοηθός, εἰκότως ἀρχόμενος ἔλεγεν τὸ «ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανί, τοῦτ' ἔστιν θεέ μου θεέ μου, ἵνα τί ἐγκατέλιπές με; [6]» συλλαμβανομένῳ μὲν οὖν καὶ κυοφορουμένῳ ὑπὸ τῆς ἁγίας παρθένου τῷ δηλουμένῳ ἡ πατρικὴ δύναμις συνῆν, ὅτε «πνεῦμα ἅγιον» ἐπῆλθεν τῇ παρθένῳ, «καὶ δύναμις ὑψίστου» ἐπεσκίασεν αὐτῇ[7], αὐτός τε ὁ πατὴρ τὸν γεννώμενον, ὡς ὁ λόγος παρέστησεν, ἀπὸ τῆς γαστρὸς ἐξέσπασεν·[8] ἀποδυομένου δὲ παρὰ τὸν καιρὸν τοῦ πάθους πρὸς τὴν κατὰ τοῦ θανάτου πάλην οὐκέτι βοηθὸς αὐτῷ παρῆν. τοῦτο γοῦν αὐτῷ μαρτυροῦντι πιστεύω· τὸ γὰρ «ἠλὶ ἠλὶ λεμᾶ σαβαχθανὶ[9]» εἰρημένον αὐτῷ ἐπὶ τοῦ σταυροῦ καὶ ὑπὸ τοῦ ψαλμοῦ προφητικῶς ἀναπεφωνημένον, καὶ «ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν[10]», τί ἕτερον ἐδήλου ἢ ὅτι ὡς μέγας ἀθλητὴς τοῖς τοσούτοις ἀντιπάλοις προβεβλημένος ἦν, ἀγωνοθετοῦντος καὶ βραβεύοντος τοῖς γινομένοις τοῦ ἐπὶ πᾶσι θεοῦ; ἔφορον δ' οὖν τῶν πραττομένων παρεκάλει τὸν πατέρα καὶ πάρεδρον, ὡς ἂν δεξιὸν ἀλείπτην, αὐτῷ συμπαρεῖναι, ταύτῃ μάλιστα ὅτε μηδ' ὑπῆρχεν αὐτῷ βοηθὸς ἕτερος ἢ μόνος εἷς ὁ βραβευτὴς τῶν

---

1. Ψαλμ. 21, 12. 2. Ἰὼβ 38, 17. 3. Πρβλ. Σοφ. Σολ. 18, 15. 4. Ἰὼβ 40, 27. 5. Ψαλμ. 21, 12. 6. Ψαλμ. 21, 2. Ματθ. 27, 46. 7. Πρβλ. Λουκ. 1, 35. 8. Πρβλ. Ψαλμ. 21, 10. 9. Ψαλμ. 21, 2. Ματθ. 27, 46. 10. Ψαλμ. 21, 12.

γινομένων. διό φησιν εὐχόμενος· «μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.[1]» ὁρῶν δὲ ἐνθέοις ὄμμασιν, ἔτι ἐπὶ τοῦ ἰκρίου προσηρτημένου αὐτῷ τοῦ σώματος, τὰς ἔξωθεν ἀμφὶ τὸν ἀέρα τοῦτον ἀσάρκους καὶ ἀνθρώποις ἀοράτους δυνάμεις δίκην οἰωνῶν ὠμοβόρων τρόπον τε θηρίων περὶ αὐτὸν ἰλυσπωμένας, καὶ πρὸς τὸ μέλλον ὅσον οὔπω νεκρὸν ἔσεσθαι αὐτοῦ τὸ σῶμα πανταχόθεν τε συρρεούσας τὰς ἀρχὰς καὶ ἐξουσίας «τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας[2]», καὶ ἔτι τοὺς ἀμφὶ τὴν γῆν διιπταμένους καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκουμένης δαίμονας, εἰκὸς δ' ὅτι καὶ τοὺς ὑποχθονίους ἤδη καὶ τοὺς ἐν αὐτῷ ταρτάρῳ θῆρας ἀγρίους καὶ φοβερούς, περὶ ὧν Ἡσαΐας πρὸς τὸν ἐκπεπτωκότα τοῦ οὐρανοῦ ἑωσφόρον[3] ἀποτεινόμενος ἔλεγεν «ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες[4]», ταῦτα δὴ οὖν ἅπαντα συνορῶν ἔξωθεν τὸ ἀνεσκολοπισμένον σῶμα κυκλοῦντα καὶ παρασκευαζόμενα κατ' αὐτοῦ, τὸ σύστημα αὐτῶν διαγράφει φάσκων· «περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.[5]» ψυχὴν γάρ, ὡς εἰκός, ἀνθρωπείαν καὶ τῇ τῶν πολλῶν παραπλησίαν πλέον δὲ οὐδὲν ἡγούμενοι εἶναι τὴν τὸ σῶμα Ἰησοῦ κατασκηνοῦσαν, ἤνοιξαν τὸ στόμα οἱ προειρημένοι, ὡς ὁμοίως ταῖς ἄλλαις τῶν ἀνθρώπων ψυχαῖς καὶ αὐτὴν καταπιούμενοι. διό φησιν· «ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.[6]»

Οἷς ἑξῆς ἐπιλέγει· «ὡσεὶ ὕδωρ ἐξεχύθην.[7]» ὅπερ αἰσθητῶς μὲν καὶ κατὰ τὴν ἱστορίαν εἴποι ἄν τις πεπληρῶσθαι, ὅτε «εἷς τῶν στρατιωτῶν», κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, τοῦ ἀμνοῦ τοῦ θεοῦ «λόγχῃ τὴν πλευρὰν ἔνυξεν, καὶ ἐξῆλθεν εὐθὺς ὕδωρ καὶ αἷμα.[8]» πλὴν ἀλλὰ καὶ τὴν ὅλην τῆς πνευματικῆς φύσεως νέκρωσιν δηλοῦν ἔοικεν δι' ὧν φησιν· «ὡσεὶ ὕδωρ ἐξεχύθην καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου, ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου.[9]» τί γὰρ ἂν ἄλλο ταῦτα πάντα σημαίνοι ἢ νεκροῦ σώματος σύστασιν; ἐπιφέρει γοῦν εὐθὺς λέγων· «καὶ εἰς χοῦν θανάτου κατήγαγές με.[10]» ταῦτα μὲν οὔπω γενόμενα προβλέπων, ὡς ἐγγὺς δὲ καὶ πλησίον ἤδη ἑστῶτα καὶ περικυκλοῦντα αὐτὸν ἔλεγεν. αὖθις δὲ ἐπαναλαβὼν τὰ ἤδη προπεπραγμένα εἰς τὴν τῶν μελλόντων συμβήσεσθαι παραμυθίαν, οἷα ὑπέμενεν ἐπιβουλευθεὶς διδάσκει λέγων· «ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με[11]», διὰ τούτων, ὡς εἰκός, δηλῶν ὁμοῦ

1. Ψαλμ. 21, 12. 2. Ἐφ. 2, 2. 3. Πρβλ. Ἡσ. 14, 12. 4. Ἡσ. 14, 9. 5. Ψαλμ. 21, 13-14. 6. Ψαλμ. 21, 14. 7. Ψαλμ. 21, 15. 8. Ἰω. 19, 34. 9. Ψαλμ. 21, 15-16. 10. Ψαλμ. 21, 16. 11. Ψαλμ. 21, 17.

μὲν καὶ τοὺς στρατιώτας, ὁμοῦ δὲ καὶ τοὺς ἐκ περιτομῆς ἐπαναστάντας αὐτῷ. «οἱ» μὲν γὰρ «στρατιῶται» τοῦ Πιλάτου «παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον ὅλην τὴν σπεῖραν ἐπ' αὐτόν, καὶ ἐκδύσαντες αὐτὸν χλαμύδα κοκκίνην περιέθηκαν αὐτῷ, καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι[1]», μονονουχὶ ἔργῳ πληροῦντες τὸ «ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με[2]», ἀλλὰ καὶ τὸ «ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου», καὶ ἔτι τὸ «αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με[3]», καὶ τὸ «διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον[4]» αὖθις ἐπληροῦτο, ὅτε ἥλοις αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας τῷ σταυρῷ κατέπειραν, καὶ ὁπηνίκα τὰ ἱμάτια αὐτοῦ λαβόντες διεμερίσαντο ἑαυτοῖς· ὁ γοῦν Ἰωάννης ἱστορεῖ λέγων· «οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος.» «τὸν χιτῶνα» δέ, ὅτι «ἄταφος» ἦν, «ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου, εἶπον πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται, ἵνα πληρωθῇ ἡ γραφὴ ἡ λέγουσα, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[5]» οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίουν. καὶ ὁ Ματθαῖος δὲ τοῖς γεγενημένοις τοῦτον τὸν τρόπον μαρτυρεῖ λέγων· «σταυρώσαντες δὲ αὐτὸν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βαλόντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον, καὶ καθήμενοι ἐτήρουν αὐτόν.[6]»

Κύνες δὲ ἦσαν κυκλοῦντες αὐτὸν καὶ «συναγωγὴ πονηρευομένων[7]», οἱ ἐκ περιτομῆς ἄρχοντες τῶν Ἰουδαίων, οἵ τε γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ Φαρισαῖοι, οἱ καὶ τὸ πᾶν ἀνασείσαντες πλῆθος ἐξαιτήσασθαι τὸ αἷμα αὐτοῦ καθ' ἑαυτῶν καὶ κατὰ τῶν ἰδίων τέκνων.[8] σαφῶς γοῦν ὁ Ἡσαΐας κύνας αὐτοὺς ἀποκαλεῖ φάσκων· πάντες «κύνες ἐνεοί», οὐ δυνάμενοι «ὑλακτεῖν.[9]» δέον γὰρ αὐτούς, εἰ καὶ μὴ ποιμένων τρόπον ἀνειλήφεσαν, ἀλλὰ δίκην γοῦν ἀγαθῶν κυνῶν τὴν τοῦ δεσπότου λογικὴν ποίμνην καὶ «τὰ πρόβατα τοῦ οἴκου Ἰσραὴλ[10]» φυλάττοντας ἐπιστημονικῶς «ὑλακτεῖν[11]», σαίνοντας μὲν καὶ

---

1. Ματθ. 27, 27-31. 2. Ψαλμ. 21, 17. 3. Ψαλμ. 21, 17-18. 4. Ψαλμ. 21, 19. 5. Ἰω. 19, 23-24. 6. Ματθ. 27, 35-36. 7. Ψαλμ. 21, 17. 8. Πρβλ. Ματθ. 27, 20, 25. 9. Πρβλ. Ἡσ. 56, 10. 10. Ματθ. 15, 24. 11. Ἡσ. 56, 10.

ἐπιγινώσκοντας τὸν ἑαυτῶν δεσπότην καὶ ἀρχιποίμενα[1] πάσῃ τε φυλακῇ τὴν πεπιστευμένην αὐτοῖς ποίμνην φρουροῦντας, ὑλακτεῖν δέ, εἰ ἄρα.., κατὰ τῶν ἔξωθεν ἐπιβουλευόντων τῇ ποίμνῃ· οἱ δὲ κυνῶν τρόπον ἐνεῶν[2] ὡς ἀληθῶς καὶ μεμηνότων τοὺς ὑλαγμοὺς ἔφερον, τὰ πρόβατα τοῦ ποιμένος ἐξαγριοῦντες, ὥστε εἰκότως αὐτοῖς ἁρμόζειν τὸ «περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.[3]» καὶ πάντες δὲ οἱ εἰς δεῦρο τὸν ὅμοιον τρόπον ἐκείνοις διαπραττόμενοι ἐν τῷ βλασφημεῖν καὶ ὑλακτεῖν τὸν Χριστὸν τοῦ θεοῦ οὐκ ⟨ἂν⟩ ἀλλότριοι ἐκείνων λογισθεῖεν. ἀλλὰ καὶ οἱ δίκην τῶν τότε ἀσεβούντων στρατιωτῶν «ἀνασταυροῦντες τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντες[4]» οὐκ ἂν τῆς ἐκείνων μακρὰν γένοιντο διαθέσεως. πάντες οὖν εἰσέτι καὶ νῦν οἱ τὸ σῶμα τοῦ Χριστοῦ, τοῦτ' ἔστιν τὴν ἐκκλησίαν[5], λωβώμενοι, χεῖρας αὐτοῦ καὶ πόδας καὶ προσέτι τὰ ὀστέα διαχειρίζονται, εἴ γε πάντες «ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη[6]», καὶ οὐκ ἂν εἴποι «ἡ κεφαλὴ τοῖς ποσίν, χρείαν ὑμῶν οὐκ ἔχω[7]», ὡς οὐδὲ ταῖς χερσὶν οἱ ὀφθαλμοί. κατὰ γοῦν τοὺς καιροὺς τῶν διωγμῶν εἴ ποτέ τινα κατὰ τῶν μελῶν τοῦ Χριστοῦ πρὸς τῶν ἐχθρῶν καὶ πολεμίων ἐνεργοῖτο, εἴποι ἂν καὶ περὶ αὐτῶν οὐκ ἀκαίρως τὸ «ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.[8]» τότε δὲ καὶ διαμερίζονται τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ βάλλουσι κλῆρον[9], ὅτε τὸν τοῦ λόγου κόσμον, ἤτοι τὰς λέξεις τῶν θείων γραφῶν, ἄλλοτε ἄλλως ἕκαστος διαφθείρων ἐπισπᾶται, καὶ ὅτε τὰς περὶ αὐτοῦ δόξας διαστρόφοις διδασκαλίαις ἀπολαμβάνουσιν, ὁποῖα σύνηθες τοῖς ἀθέοις αἱρεσιώταις ποιεῖν.

Ἐπὶ πᾶσι τούτοις πρὸς τὸν ἑαυτοῦ θεὸν καὶ κύριον καὶ πατέρα τὴν εὐχὴν ἀποτείνας ἐπιφέρει λέγων· «σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου.[10]» ὡς γὰρ εἰς βραχὺ καταλειφθεὶς πρὸς τὴν τοῦ ἀγῶνος ἐπίδειξιν, καὶ μόνος δίχα βοηθοῦ πρὸς τὸν θάνατον ἀποδυσάμενος, εὖ εἰδὼς τὴν βοήθειαν τὴν παρὰ τοῦ πατρὸς οὐκ ἄλλως αὐτῷ γενήσεσθαι ἢ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, εἰκότως ἐπὶ τοῦ παρόντος εὔχεται διεξόδου τυχεῖν τῆς τῶν ἀντιπάλων παρατάξεως. διό φησιν· «σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες.[11]» διὰ γὰρ τῆ⟨ς⟩ σῆς βοηθείας ἡ «ἀντίληψίς» μοι γενήσεται, δι' ἣν ἀντίληψιν ὁ πᾶς εἰκότως προγέγραπται ψαλμὸς «ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς.[12]» «εἰς τὴν ἀντίληψιν» τοιγαροῦν «πρόσχες[13]», παρέχων μοι τὴν ὅσον οὔπω κατὰ τὴν ἔσω τῆς ἐκ νεκρῶν ἀναστάσεως ἀντίληψιν, ἧς ἐλπίζω τεύξεσθαι, ἐπάν, μὴ μακρύνας μου

---

1. Α' Πέτρ. 5, 4. 2. Πρβλ. Ἠσ. 56, 10. 3. Ψαλμ. 21, 17. 4. Ἑβρ 6, 6. 5. Πρβλ. Κολ. 1, 24. 6. Ῥωμ. 12, 5. 7. Α' Κορ. 12, 21. 8. Ψαλμ. 21, 17-18. 9. Ψαλμ. 21, 19. 10. Ψαλμ. 21, 20. 11. Ψαλμ. 21, 20. 12. Ψαλμ. 21, 1. 13. Ψαλμ. 21, 20.

αὐτήν, «ῥύσῃ ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου[1]», ἐπὰν «σώσῃς με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.[2]» δι' ὧν ἡγοῦμαι αὐτὸν τὰς καταχθονίους αἰνίττεσθαι δυνάμεις (ὧν οὐ καθ' ἡμᾶς ἂν εἴη τὸ εἶδος διαστείλασθαι καὶ διελεῖν), ὅπως ἡ μέν τις αὐτῶν «ῥομφαία» οὖσα ἀνετείνετο κατὰ τῆς ψυχῆς τοῦ σωτῆρος ἡμῶν, ἡ δέ τις «κύων» οὖσα θανάτῳ τὴν θανατηφόρον χεῖρα προυβάλλετο εἰς τὸ καθάψασθαι αὐτῆς (διό φησιν· «ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου[3]»), ἄλλη δέ τις πονηρὰ καὶ τῶν ἐκεῖσε θηρίων ἡγουμένη δύναμις, «λέων» προσαγορευομένη[4], τὸ πλατὺ καὶ ἀχανὲς τοῦ θανάτου στόμα διανοίξασα, μετὰ τῶν ἄλλων τῶν εἰς ᾅδου κατιόντων καὶ τὴν αὐτοῦ ψυχὴν καταπιεῖν ὥρμητο, ὥσπερ οὖν πάλαι πρότερον «κατέπιεν ὁ θάνατος ἰσχύσας[5]», οὐχ ἕτερος ὢν τοῦ ἐνταῦθα λέοντος τοῦ τὸ στόμα κατὰ τοῦ σωτῆρος ἡμῶν ἀνεῴξαντος, ἀφ' οὗ καὶ αὐτοῦ σωθῆναι τὸν πατέρα παρακαλεῖ λέγων· «σῶσόν με ἐκ στόματος λέοντος.[6]» εἶεν δ' ἂν καὶ ἄλλαι τινὲς πονηραὶ καὶ θεομάχοι δυνάμεις τῷ μονοκέρωτι[7] τοῦ θεοῦ ἀντιπράττουσαι καὶ ἀντιπαρεξάγειν αὐτὸν ἐπιχειροῦσαι, ἀφ' ὧν καὶ αὐτῶν ὁ τοῦ θεοῦ μονόκερως, αὐτὸς ὁ κύριος ἡμῶν, μόνον τὸν πατέρα κέρας ἔχων, τὴν ἑαυτοῦ ταπείνωσιν ῥυσθῆναι ἀξιοῖ, λέγων· «καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.[8]» ποίαν δὲ ταπείνωσιν ἢ ταύτην αὐτήν, καθ' ἣν «ἐν μορφῇ θεοῦ ὑπάρχων» ἐταπείνωσεν ἑαυτὸν καὶ «ἐκένωσεν», «γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ;[9]» ἀλλὰ γὰρ ἐπὶ τοσοῦτον κατελθὼν καὶ μέχρι τούτου φθάσας, λέγω δὴ μέχρι τῆς ἐν τῷ ᾅδῃ «ῥομφαίας», καὶ τῆς «χειρὸς» τοῦ αὐτόθι λεγομένου «κυνὸς[10]» (ὅθεν καὶ παῖδας Ἑλλήνων εἰκὸς τοιοῦτόν τινα, παρακούσαντας, κύνα θανάτου καὶ τοῦτον τρικέφαλον ἀναζωγραφεῖν) καὶ μέχρι δὲ τῶν φαρύγγων τοῦ προδεδηλωμένου «λέοντος» ἐλθών, καὶ «τὴν ταπείνωσιν[11]» αὐτοῦ τοῖς ἀντιπάλοις καὶ θεομάχοις μονοκέρωσιν ὑποστρώσας, καὶ ἐπὶ τοῦτό γε τέλος τὴν πᾶσαν οἰκονομίαν τῆς ἑαυτοῦ κενώσεώς τε καὶ ταπεινώσεως στήσας, κἄπειτα εὐξάμενος ἤδη λοιπὸν τυχεῖν τῆς βοηθείας καὶ τῆς παρὰ τοῦ πατρὸς ἀντιλήψεως, ἐπιλέγει· «σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες.[12]» καὶ τοῦτ' εἰπὼν οὐκ εἰς μακρὸν ἐπηκόου σοῦ πατρὸς τυγχάνει, μὴ μακρυνθέντος μηδὲ τὸ βραχύτατον ὑπερθεμένου, αὐτοῖς δὲ ἔργοις μονονουχὶ φήσαντος αὐτῷ «ἔτι λαλοῦντός σου», ἐρῶ, «ἰδοὺ πάρειμι.[13]»

Καὶ δὴ τοῦτ' αἰσθόμενος, τῆς τε πατρικῆς βοηθείας, καθάπερ

---

1. Ψαλμ. 21, 21. 2. Ψαλμ. 21, 22. 3. Ψαλμ. 21, 21. 4. Πρβλ. Ψαλμ. 21, 22. 5. Πρβλ. Α' Πέτρ. 5, 8. Ἡσ. 25, 8. 6. Ψαλμ. 21, 22. 7. Πρβλ. Ἀριθ. 24, 8. 8. Ψαλμ. 21, 22. 9. Πρβλ. Φιλιπ. 2, 6-8. 10. Πρβλ. Ψαλμ. 21, 21. 11. Πρβλ. Ψαλμ. 21, 22. 12. Ψαλμ. 21, 20. 13. Ἡσ. 58, 9.

ηὔξατο, τυχών, ἐντεῦθεν λοιπὸν ἀπάρχεται τοῦ ἐπινικίου ὕμνου, «ὑπὲρ τῆς ἑωθινῆς ἀντιλήψεως[1]» τὸν ψαλμὸν ποιούμενος, ἐν οἷς φησι· «διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.[2]» πρώτοις μὲν οὖν τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις ἐπαγγέλλεται τὰ τῆς ἐπ' αὐτῷ χαρᾶς καὶ ἀγαλλιάσεως εὐαγγελίσεσθαι, ἀδελφοὺς αὐτοὺς ὀνομάζων· οἷς ἀκόλουθα καὶ ὁ Ματθαῖος διδάσκει λέγων· «καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς» (δηλονότι ταῖς ἀμφὶ τὴν Μαγδαληνὴν Μαρίαν) «λέγων, χαίρετε· αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. τότε λέγει αὐταῖς ὁ Ἰησοῦς, μὴ φοβεῖσθε, ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται.[3]» ὁ Ἰωάννης δὲ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν εἰσάγει καὶ αὐτὸς τὸν Ἰησοῦν λέγοντα πρὸς τὴν Μαριάμ· «μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὸν αὐτοῖς, ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν.[4]» πρώτοις μὲν οὖν τοῖς ἀποστόλοις αὐτοῦ, οὓς ἰδίους ἀδελφοὺς ὀνομάζει, τὸ ὄνομα τοῦ πατρὸς διηγήσεσθαί φησι· μετὰ δὲ ἐκείνους τάξει καὶ ἀκολουθίᾳ τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐπὶ τῷ ὀνόματι αὐτοῦ συστᾶσαν ἐκκλησίαν διδάξειν τὸν πατρικὸν ὕμνον ἐπαγγέ⟨λ⟩λεται. ὥσπερ γὰρ εἴ τις ἐν μέσῳ μαθητῶν διεξοδεύοι λόγους ἐπὶ σοφίᾳ διαπρέπων διδάσκαλος ὑπὲρ τοῦ κἀκείνους ἀκούσαντας προσυπακοῦσαι, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς «ἐν μέσῳ ἐκκλησίας», φησίν, «ὑμνήσω σε[5]», ὑπὲρ τοῦ μαθοῦσαν τὴν ἐκκλησίαν καὶ ἀκούσασαν παρ' αὐτοῦ, ὃν προσήκει τρόπον, [καὶ] μηκέθ' ὡς τὸ πρὶν τοὺς δαίμονας ἀλλ' αὐτὸν μόνον τὸν πάντων θεὸν διὰ τοῦ καταγγείλαντος αὐτὸν ἀνυμνεῖν. ταῦτα πράξειν ὑποσχόμενος σφόδρα ἀκολούθως ἐντεῦθεν ἤδη προστάττει τῇ ἐκκλησίᾳ καὶ τοῖς αὐτοῦ ἀδελφοῖς ὑμνεῖν τὸν πατέρα. διό φησιν· «οἱ φοβούμενοι τὸν κύριον, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν», καὶ «φοβηθήτωσαν ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ. ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου[6]», δι' ὧν σαφῶς παρέστησεν τῶν προωνομασμένων κακῶν τὴν ἀπαλλαγήν. εἰ γὰρ «ἐν τῷ κεκραγέναι πρὸς αὐτὸν εἰσήκουσεν[7]» αὐτοῦ, ηὔξατο δὲ ῥυσθῆναι «ἀπὸ» μὲν «ῥομφαίας τὴν ψυχὴν» αὐτοῦ, «ἐκ» δὲ «κυνὸς τὴν μονογενῆ» αὐτοῦ, καὶ ἔτι «ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσιν» αὐτοῦ[8], ἀκόλουθόν ἐστι νοεῖν τούτων ἀπαλλαγὴν εὑρέσθαι τὸν φήσαντα, ὅτι μὴ «προσώχθισεν» ὁ θεὸς «τῇ δεήσει» αὐτοῦ, μηδὲ «τὸ

---

1. Ψαλμ. 21, 1. 2. Ψαλμ. 21, 23. 3. Ματθ. 28, 9-10. 4. Ἰω. 20, 17. 5. Ψαλμ. 21, 23. 6. Ψαλμ. 21, 24-25. 7. Ψαλμ. 21, 25. 8. Πρβλ. Ψαλμ. 21, 21-22.

πρόσωπον ἀπέστρεψεν» ἀπ' αὐτοῦ, ἀλλ' «ἐν τῷ κεκραγέναι» «εἰσήκουσεν» αὐτοῦ.[1] διὸ καὶ ὑπῆρξεν αὐτῷ, ῥυσθέντι τῶν τοσούτων καὶ ἐκ τοῦ θανάτου διαφυγόντι, συνδιατρίβειν τοῖς ἑαυτοῦ μαθηταῖς ὁμοῦ καὶ «ἀδελφοῖς», καὶ ὑμνεῖν «ἐν μέσῳ ἐκκλησίας[2]» τὸν πατέρα. τήρει δὲ πάλιν, ὡς «πτωχὸν[3]» αὖθις ἑαυτὸν ἀποκαλεῖ, συμφώνως ταῖς πρότερον παρατεθείσαις προφητείαις, δι' ὧν πένης καὶ πτωχὸς ὠνομάζετο.[4]

Ἀλλ' ἐπεὶ καὶ τὴν ἀνάστασιν αὐτοῦ διὰ τούτων παρέστησεν, αὖθις πρὸς τὸν πατέρα ἐπιστρέφων τὸν λόγον, «παρὰ σοῦ», φησίν, «ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ[5]», τῆς ἐπ' ὀνόματι αὐτοῦ συστάσης ἐξ ἐθνῶν καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίας μνημονεύων, ἐν ᾗ ὁ περὶ τοῦ σωτῆρος ἡμῶν ἔπαινος διὰ παντὸς ᾄδεται νεύματι τοῦ πατρὸς αὐτοῦ καὶ συνεργίᾳ. διό φησι· «παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ.[6]» μεγάλη γὰρ ὡς ἀληθῶς ἡ ἐκκλησία αὕτη ἐκ παντὸς γένους ἀνθρώπων συγκεκροτημένη, οὐδὲ συγκρίνεσθαι διὰ τὸ σεμνὸν καὶ ὑπερφυὲς τοῦ βίου καὶ διὰ τὸ τῶν δογμάτων μέγεθος ἀξία τῷ Ἰουδαίων ἔθνει καὶ τῇ τῶν ἐκ περιτομῆς συναγωγῇ, πάσῃ πτωχείᾳ λόγου καὶ βίου καὶ φρονήματος καὶ τῆς ἄλλης περὶ θεοῦ δόξης ἐσμικρυμένῃ. εἶτ' ἐπιλέγει· «τὰς εὐχάς μου» τῷ κυρίῳ «ἀποδώσω ἐνώπιον πάντων τῶν φοβουμένων αὐτόν[7]» («φοβουμένους αὐτὸν» ἀποκαλῶν τὴν πρότερον ὀνομασθεῖσαν ἐκκλησίαν μεγάλην), οἷς ἔλεγεν· «οἱ φοβούμενοι τὸν κύριον, αἰνέσατε αὐτόν.[8]» ποίας δὲ εὐχὰς ἀποδώσειν φησὶν ἢ ἃς ἐπηγγείλατο; ποίας δὲ ἐπηγγείλατο ἢ ἐκείνας δι' ὧν ἔφησεν· «διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε;[9]» εὐχαὶ γάρ εἰσιν αἱ ἐπαγγελίαι, ἃς ἐπαγγειλάμενος δώσειν «ἐν μέσῳ ἐκκλησίας» διεβεβαιοῦτο.

Τούτοις ἑξῆς ἐπιλέγει· «φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.[10]» δι' ὧν σφόδρα ἀκολούθως τὰ μετὰ τὴν ἀνάστασιν αὐτοῦ κατορθώματα ἀναφωνεῖ, ἃ καὶ πεπλήρωται διὰ τῆς ἐξ ἁπάντων τῶν ἐθνῶν κλήσεως, διά τε τῆς ἐν τοῖς πέρασιν τῆς οἰκουμένης ἀνθρώπων ἐκλογῆς, ὧν αἱ ἐκβάσεις ὀφθαλμοῖς θεωρούμεναι πάντων ἂν γένοιντο τῶν διὰ τοῦ ψαλμοῦ λεγομένων παραστατικαί. «πένητες[11]» δὲ πάλιν ἡμεῖς, οὓς κατὰ θεὸν πτωχεύοντας ἐκτρέφων ὁ σωτήριος λόγος τῷ νοητῷ καὶ λογικῷ ἄρτῳ, ταῖς ζωοποιοῖς τῶν

---

1. Πρβλ. Ψαλμ. 21, 25. 2. Πρβλ. Ψαλμ. 21, 23. 3. Πρβλ. Ψαλμ. 21, 25. 4. Πρβλ. Ψαλμ. 34, 10. 5. Ψαλμ. 21, 26. 6. Ψαλμ. 21, 26. 7. Ψαλμ. 21, 26. 8. Ψαλμ. 21, 24. 9. Ψαλμ. 21, 23. 10. Ψαλμ. 21, 27-29. 11. Πρβλ. Ψαλμ. 21, 27.

ψυχῶν τροφαῖς, τὴν αἰώνιον ἡμῖν παρέχει ζωήν.[1] διό φησιν ὁ ψαλμός· «φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσιν κύριον οἱ ἐκζητοῦντες αὐτόν· ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.[2]»

Καὶ ὁ ἐπίλογος δὲ τῆς ὅλης προφητείας, μετὰ πάντα ἐπιφέρων «ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ κύριος[3]», ἄντικρυς τὸν ἐξ ἐθνῶν προθεσπίζει λαόν, καὶ τὴν διὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ συστᾶσαν ἐπὶ τῆς γῆς γενεάν. τίς γὰρ ἂν εἴη ὁ μετὰ ταῦτα τεχθήσεσθαι λεγόμενος τῷ θεῷ λαός, πάλαι μὴ ὢν μηδ' ὑφεστὼς ἐν ἀνθρώποις ὕστερον δὲ γεγονώς; τίς τε ἡ μὴ οὖσα τότε λεγομένη δὲ ἐλεύσεσθαι γενεά, εἰ μὴ αὕτη ἡ διὰ τοῦ σωτῆρος ἡμῶν ἐν παντὶ τῷ κόσμῳ συστᾶσα ἐκκλησία καὶ ὁ νέος ἐξ ἐθνῶν λαός, ἐφ' ᾧ καὶ διὰ Ἡσαΐου τὸ πνεῦμα τὸ ἅγιον θαυμαστικῶς ἀπεφθέγξατο φῆσαν· «τίς ἤκουσεν τοιαῦτα καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινεν γῆ ἐν ἡμέρᾳ μιᾷ, καὶ εἰ ἐτέχθη ἔθνος εἰς ἅπαξ.[4]»

Ταῦτα μὲν οὖν ἡμεῖς, ἐφ' ἕτερα συνελαύνοντος τοῦ καιροῦ, διαδραμόντες ἀκροθιγῶς διεξήλθομεν· ὅτῳ δ' ἂν μέλῃ τῆς τοῦ σωτῆρος ἡμῶν παρακελεύσεως φήσαντος, «ἐρευνᾶτε τὰς γραφάς, ἐν αἷς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν· καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ[5]», ἑκάστῃ λέξει τοῦ ψαλμοῦ τὸν νοῦν ἐμβαθύνας, τὴν ἀκριβῆ διάνοιαν θηρεῦσαι ἂν τῆς ἐν τοῖς εἰρημένοις ἀληθείας.

---

1. Πρβλ. Ἰω. 6, 32-40. 2. Ψαλμ. 21, 27. 3. Ψαλμ. 21, 31-32. 4. Ἡσ. 66, 8. 5. Ἰω. 5, 39.

'Αποσπάσματα ἐκ τοῦ XV βιβλίου.

1. 'Απόσπασμα.

Εὐσέβιος ὁ Παμφίλου καὶ Ἱππόλυτος, ὁ ἁγιώτατος ἐπίσκοπος Ῥώμης, ἀπεικάζουσι τὴν προκειμένην τοῦ Ναβοχουδονόσορ ὅρασιν τῇ τοῦ προφήτου Δανιὴλ ὀπτασίᾳ. ἐπειδὴ διαφόρως τὴν προκειμένην θεωρίαν ἐξέλαβον οἱ ταύτην ἑρμηνεύσαντες, ἀναγκαῖον ἐλογισάμην Εὐσεβίου τοῦ Καισαρείας τοῦ ἐπίκλην Παμφίλου παραθέσθαι φωνὰς εἰρημένας ἐν πεντεκαιδεκάτῳ τόμῳ τῆς Εὐαγγελικῆς 'Αποδείξεως· οὗτος γὰρ πᾶσαν ἐκθέμενος τὴν ὅρασιν οὕτως φησί·

Ἡγοῦμαι ταῦτα μηδὲν διαφέρειν τῆς τοῦ προφήτου θεωρίας. ὡς γὰρ ὁ προφήτης «θάλασσαν» ἑώρα «μεγάλην[1]», οὕτως ὁ βασιλεὺς «εἰκόνα πολλήν.[2]» καὶ πάλιν ὡς ὁ προφήτης ἑώρα «τέσσαρα θηρία[3]», ἅπερ ἑρμηνεύων μετέβαλεν εἰς τέσσαρας βασιλείας[4], οὕτως ὁ βασιλεὺς [τὰς] διὰ τοῦ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καὶ σιδήρου τέσσαρας βασιλείας ᾐνίττετο.[5] καὶ αὖθις ὡς ὁ προφήτης τῶν τοῦ ὑστάτου θηρίου κεράτων δέκα διαίρεσιν ἑώρα, καὶ τρία κέρατα ὑφ' ἑνὸς συντριβόμενα[6], καὶ ὁ βασιλεὺς ὡσαύτως ἐπὶ τῶν τελευταίων τῆς εἰκόνος «μέρος τι σιδηροῦν καὶ μέρος ὀστράκινον[7]» ἐθεώρει. καὶ ἐπὶ τούτοις ὡς ὁ προφήτης μετὰ τὴν τῶν τεσσάρων βασιλειῶν ὅρασιν ἑώρα υἱὸν ἀνθρώπου τὴν κατὰ πάντων «ἀρχὴν» καὶ «ἐξουσίαν» καὶ «βασιλείαν[8]» παρειληφότα, οὕτως καὶ ὁ βασιλεὺς λίθον συντρίβοντα τὴν εἰκόνα πᾶσαν καὶ γινόμενον εἰς «ὄρος μέγα» καὶ πληροῦντα πᾶσαν τὴν γῆν.[9] ἄμφω δὲ ταῦτα θεωροῦσι περὶ τῆς κατὰ τὸν ἀνθρώπινον βίον συστάσεως. τὸν μὲν σύμπαντα βίον αἰνιγματωδῶς ὁ μὲν βασιλεὺς οἷα εἰκόνα ὁ δὲ προφήτης οἷα θάλασσαν ἐδόκουν ὁρᾶν, καὶ εἰκότως· ἔπρεπε γὰρ τῷ μὲν ἠπατημένῳ περὶ τὴν τοῦ βίου φαντασίαν βασιλεῖ καὶ τὴν τῶν αἰσθητῶν οἷα χρωμάτων ὡραιότητα ἐπὶ γραφῆς ἀνακειμένην θαυμάζοντι εἰκόνι μεγάλῃ[10] τῶν πάντων ἀνθρώπων ἀπεικάζειν τὸν βίον, τὸν δὲ προφήτην τὸν πολὺν καὶ μέγαν σάλον τοῦ βίου μεγάλῃ θαλάσσῃ παραβάλλειν, καὶ τῷ μὲν βασιλεῖ τὰς παρὰ ἀνθρώποις πολυτελεῖς νενομισμένας ὕλας χρυσοῦ καὶ ἀργύρου χαλκοῦ τε καὶ σιδήρου θαυμάζοντι τὰς κατὰ χρόνους ἐν τῷ βίῳ τῶν ἀνθρώπων ἐπικρατεῖς βασιλείας ταύταις ἀφομοιοῦν ταῖς

---

1. Πρβλ. Δαν. 7, 2. 2. Πρβλ. Δαν. 2, 31. 3. Δαν. 7, 3. 4. Πρβλ. Δαν. 7, 17. 5. Πρβλ. Δαν. 2, 32-33 ἑξ. 6. Πρβλ. Δαν. 7, 7-8. 7. Δαν. 2, 33. 8. Πρβλ. Δαν. 7, 26-27. 9. Πρβλ. Δαν. 2, 34-35. 10. Πρβλ. Δαν. 3, 1.

ὕλαις, τῷ δὲ προφήτῃ ἐν μορφαῖς θηρίων τὰς αὐτὰς βασιλείας καταλλήλως τῷ τῆς ἀρχῆς τρόπῳ διαγράφεσθαι. καὶ πάλιν τῷ μὲν βασιλεῖ μέγα ὡς εἰκὸς ἐφ' ἑαυτῷ φρονοῦντι καὶ ἀλαζονευομένῳ ἐπὶ τῇ τῶν προγόνων βασιλείᾳ ἡ τῶν πραγμάτων μεταβολὴ δείκνυται καὶ τῶν ἐπὶ γῆς βασιλειῶν τὸ τέλος, εἰς καθαίρεσιν τοῦ ἐν αὐτῷ τύφου καὶ εἰς τὸ μηδὲν ἡγεῖσθαι βέβαιον τῶν ἐν ἀνθρώποις ἢ μόνον τὸ ἐπὶ πάντων τέλος τῆς τοῦ θεοῦ βασιλείας· ἔσεσθαι γὰρ μετὰ τὴν πρώτην Ἀσσυρίων ἀρχήν, ἣν ὁ χρυσὸς ἠνίξατο, δευτέραν τὴν τῶν Περσῶν τὴν διὰ τοῦ ἀργύρου δεδηλωμένην· ἔπειτα τρίτην τὴν Μακεδόνων ἣν ὁ χαλκὸς ἐσήμαινε· μεθ' ἣν τετάρτην διαδέξεσθαι τὴν Ῥωμαίων, κραταιοτέραν οὖσαν τῶν πρὸ αὐτῆς, δι' ὃ καὶ σιδήρῳ παρεβάλλετο[1] (εἴρητο γοῦν περὶ αὐτῆς· «καὶ βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς ὁ σίδηρος· ὃν τρόπον ὁ σίδηρος λεπτύνει καὶ δαμάζει πάντα, οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει»)·[2] καὶ μετὰ τὰς εἰρημένας ἁπάσας τὴν τοῦ θεοῦ βασιλείαν διὰ τοῦ συντρίβοντος τὴν πᾶσαν εἰκόνα λίθου παρισταμένην.[3] καὶ ὁ προφήτης δὲ τούτοις ἀκολούθως τὴν ἐπὶ τέλει τοῦ τῶν ὅλων θεοῦ βασιλείαν οὐ πρότερον θεωρεῖ, ἢ τὰς εἰρημένας τέσσαρας δυναστείας διαγράψαι τῷ λόγῳ διὰ τῶν τεσσάρων θηρίων. τούτων δὲ τῶν τεσσάρων βασιλειῶν μόνων καὶ οὐδὲ ἑτέρων ἡγοῦμαι τὰς ὁράσεις καὶ τῷ βασιλεῖ καὶ τῷ προφήτῃ δεδεῖχθαι διὰ τὸ ταύταις καταδουλωθῆναι τὸ τῶν Ἰουδαίων ἔθνος ἀπὸ τῶν τοῦ προφήτου χρόνων.

2. Ἀπόσπασμα.

Εὐσεβίου Καισαρείας, ῥητοῦ προκειμένου, «φωνὴ κυρίου διακόπτοντος φλόγα πυρός.[4]» Διεκόπη μὲν ἐν τῇ Βαβυλῶνι ἡ φλὸξ τοῦ πυρὸς** διακοπεῖσα τῷ προστάγματι τοῦ θεοῦ· ἐδέξατο.. ἐν αὐτῇ, ἡδίστην ἀναπνοὴν καὶ ἀναψυχήν, ὥσπερ ἐν σκιᾷ τινι φυτῶν, ἐν εἰρηνικῇ καταστάσει παρεχομένη τοῖς παισίν· ἐγένετο γάρ, φησί, «ὡσεὶ πνεῦμα δρόσου διασυρίζον.[5]»

3. Ἀπόσπασμα.

«Ὡσεὶ υἱὸς ἀνθρώπου.[6]» Εὐσεβίου Καισαρείας. Σαφῶς ἡγοῦμαι δηλοῦσθαι τὴν καθόλου κρίσιν, ὅτε πάντες οἱ ἐξ αἰῶνος ἄνθρωποι παραστήσονται «τῷ βήματι τοῦ Χριστοῦ.[7]» μετὰ δὲ τὴν τῶν τετελευτηκότων ἀναβίωσιν καὶ μετὰ τὴν κατὰ πάντων κρίσιν ὁ ἑωραμένος τῷ Δανιὴλ «υἱὸς ἀνθρώπου» ἐπιστήσεται ἐπὶ «νεφελῶν[8]», τὴν κατὰ

---

1. Πρβλ. Δαν. 2, 39-40. 2. Δαν. 2, 40. 3. Πρβλ. Δαν. 2, 34. 44. 4. Ψαλμ. 28, 7. 5. Δαν. 3, 50. 6. Δαν. 7, 13. 7. Ῥωμ. 14, 10. 8. Πρβλ. Δαν. 7, 13.

πάντων τῶν λαῶν καὶ φυλῶν ὑπὸ τοῦ πατρὸς ἐξουσίαν τε καὶ βασιλείαν ἀγήρω καὶ ἀτελεύτητον παραληψόμενος[1], ὡς καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν περὶ ἑαυτοῦ διδάσκει λέγων· «ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη[2]», καὶ τὰ ἑξῆς. συνᾴδει γοῦν ταῦτα ταῖς ἐν χερσὶν μαρτυρίαις τῆς τοῦ Δανιὴλ προφητείας, καθ' ἣν λέλεκται· «καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν. καὶ προσηνέχθη αὐτῷ καὶ ἐδόθη αὐτῷ καὶ ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία[3]», καὶ τὰ ἑξῆς.

4. Ἀπόσπασμα.

«Αὐτῷ ἐδόθη ἡ ἀρχή.[4]» Εὐσεβίου. Οὐ μόνον δὲ τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὴν βασιλείαν ὁ προφήτης θεσπίζει ἀλλὰ καὶ πλείονα περὶ ὧν φησί.

5. Ἀπόσπασμα.

«Καὶ παραλήψονται τὴν βασιλείαν.[5]» Εὐσεβίου Καισαρείας. Συμβασιλεύοντες δηλαδὴ καὶ αὐτοὶ τῷ θεῷ. τίνες δ' ἂν εἶεν οὗτοι ἢ οἱ «κληρονόμοι τοῦ θεοῦ συγκληρονόμοι δὲ Χριστοῦ[6]», οἷς καὶ ἐπήγγελται τὴν βασιλείαν τῶν οὐρανῶν βασιλείαν ἐπιστησομένην μετὰ τέσσαρας βασιλείας τὰς τῷ προφήτῃ ἑωραμένας, περὶ ὧν ἐν βραχέσιν ἀρτίως διειλήφαμεν. ἐντεῦθεν οἶμαι τὸν ἱερὸν ἀπόστολον Παῦλον ὁρμᾶσθαι, περὶ τῆς δευτέρας ἀφίξεως τοῦ Χριστοῦ γράφων τὰ τοιάδε· «ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ[7]», καὶ τὰ ἑξῆς. ὁ δ' αὐτὸς ἀπόστολος καὶ τὴν ὑστάτην τοῦ ἀντιχρίστου ἄφιξίν τε καὶ ἀπώλειαν καὶ ἐπὶ ταύτῃ τὴν τοῦ σωτῆρος ἡμῶν ἔνδοξον παρουσίαν ἀκολούθως τῇ προφητείᾳ παρίστησι λέγων· «μήτις ὑμᾶς ἐξαπατήσει κατὰ μηδένα τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενα θεὸν ἢ σέβασμα ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶ θεός.[8] οὐ μνημονεύετε, ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν», καὶ τὰ ἑξῆς. τοσαῦτα καὶ ὁ θαυμάσιος ἀπόστολος ἐν τοῖς περὶ συντελείας τοῦ βίου διεξῆλθε λόγοις, τὰ διὰ τοῦ προφήτου Δανιὴλ περὶ τοῦ ἀντιχρίστου καὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐνδόξου βασιλείας τεθεσπισμένα πιστούμενος.

---

1. Πρβλ. Δαν. 7, 14. 2. Ματθ. 25, 31-32. 3. Δαν. 7, 13-14. 4. Δαν. 7, 14. 5. Δαν. 7, 18. 6. Ῥωμ. 8, 17. 7. Α' Θεσσ. 4, 16. 8. Β' Θεσ. 2, 3-5.

6. Ἀπόσπασμα.

Τοῦ αὐτοῦ. Παραγινομένου λοιπὸν ἀπ' οὐρανοῦ κριτοῦ τῶν κριτῶν καὶ «τοῦ βασιλέως τῶν βασιλέων[1]», ὃς μεταστήσει πᾶσαν τὴν τοῦ ἀντικειμένου ἀρχὴν καὶ δύναμιν καὶ καταφλέξει πάντας, αἰωνίῳ πυρὶ κολάζων[2], τοῖς δὲ δούλοις αὐτοῦ καὶ τοῖς προφήταις καὶ μάρτυσι καὶ πᾶσι τοῖς φοβουμένοις αὐτὸν δώσει τὸ αἰώνιον βασίλειον, τοῦτ' ἔστιν, ἀτελεύτητον ἕξουσι τῶν ἀγαθῶν ἀπόλαυσιν.

1. Δαν. 2, 37. 2. Πρβλ. Ματθ. 25, 41.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ ΕΙΣ ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ ΤΟΥ ΠΡΟΚΟΠΙΟΥ.*

I. Προκοπίου εἰς τὴν Γένεσιν 49,8 ἑξ. Πρβλ. Εὐσεβίου, Εὐαγγελικὴ Ἀπόδειξις VIII, 1.

«Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου[1]» καὶ τὰ ἑξῆς. τοὺς προτέρους μεμψάμενος υἱοὺς Ἰακὼβ ὡς διά τινα πλημμελήματα τῆς μελλούσης προρρήσεως ἀναξίους γεγενημένους, ὡς κρείττονι τῶν ἀδελφῶν Ἰούδᾳ τάδε θεσπίζει. ἐσκόπει γὰρ διά τινος τῶν παίδων ἡ περὶ τῶν ἐθνῶν ἐπαγγελία προβήσεται, αὐτῷ τε καὶ τοῖς αὐτοῦ πατράσιν ἐκ θεοῦ δεδομένη. ἐπὶ δὲ τὸν τέταρτον ἐλθὼν τὸν Ἰούδαν, ὁμοῦ μὲν τὸν φήσαντα αὐτῷ χρησμὸν «βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται[2]» τέλος λήψεσθαι θεσπίζει διὰ τῆς τούτου διαδοχῆς, ἐξ οὗ καὶ τὸ βασιλικὸν γένος συνέστη· ὁμοῦ δὲ παρίστησι καὶ τὸν περὶ τῆς τῶν ἐθνῶν κλήσεως χρόνον, ἐξ αὐτοῦ δεικνὺς καὶ τόν, δι' οὗπερ ἡ κλῆσις, Χριστόν, δι' ὃν καὶ βασιλικῆς ἠξιώθη παρὰ τοὺς ἄλλους φυλῆς. καὶ ἀπὸ τῶν Μωυσέως χρόνων θεοῦ προστάξει κατὰ τὴν διάταξιν τῶν λοιπῶν ἡγεῖτο φυλῶν, καὶ ἐν τῷ ἐγκαινισμῷ τῆς σκηνῆς πρῶτοι τὰ δῶρα προσήνεγκαν, καὶ ἐν τῷ διαμερισμῷ τῆς γῆς αἱ μὲν ἄλλαι φυλαὶ διὰ κλήρου, ἀκληρωτὶ δὲ αὕτη τὸ οἰκεῖον μέρος κομίζεται, καὶ μετὰ τελευτὴν Ἰησοῦ θεὸς προσέταξεν ἐπὶ τοὺς Χαναναίους ταύτην ἡγήσασθαι, καὶ πανταχοῦ ταύτην ἡγουμένην εὑρήσομεν. εἰ γὰρ καὶ οἱ κριταὶ ἐκ διαφόρων ὡρμῶντο μερῶν, ἀλλ' οὖν καθόλου ἡ τοῦ Ἰούδα φυλὴ τοῦ παντὸς ἔθνους ἡγεῖτο. πολὺ δὲ μᾶλλον ἀπὸ τῆς τοῦ Δαβὶδ βασιλείας καὶ κάτω μέχρι τῆς αἰχμαλωσίας τῆς εἰς Βαβυλῶνα καὶ μετὰ τὴν ἐπάνοδον. καὶ ἐν Παραλειπομέναις δὲ πρώτη γενεαλογεῖται. λείπεται δὴ οὖν τούτοις ἀκολούθως καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις τὴν αὐτὴν φυλὴν τῶν λοιπῶν ἡγεῖσθαι μέχρι τῆς τοῦ σωτῆρος ἐπιδημίας, εἰ καὶ μὴ θείαν ἔχομεν μέχρι ταύτης ἱστοροῦσαν γραφήν. λόγος γὰρ αὐτὴν τῶν πασῶν ἡγεῖσθαι φυλῶν μέχρι τὸ γένος ὑπὸ Ῥωμαίων δεδούλωται. διὸ καὶ πᾶν τὸ ἔθνος ἐξ αὐτῆς Ἰουδαῖοι προσαγορεύονται. ἀλλ' οὐκ ἀπὸ τοῦ Ῥουβίμ, ὃς πρωτότοκος ἦν, καίτοι τῶν πρωτοτόκων τιμωμένων κατὰ τὸν νόμον· οὐδὲ ἀπὸ ⟨τοῦ⟩ Λευΐ, πρεσβυτέρου ὄντος καὶ ἱερωσύνῃ τετιμημένου, ἢ καὶ ἀπὸ τοῦ Ἰωσήφ, ἄρξαντος Αἰγύπτου καὶ τῶν ἀδελφῶν, καὶ τῶν ἐξ αὐτοῦ χρόνον ἐπὶ πλεῖστον ἡγησαμένων τῶν θ' φυλῶν. διὰ τί δὲ μὴ ἀπὸ τοῦ Βενιαμίν, οὗπερ ἦν ἐν τῷ κλήρῳ ἡ τοῦ παντὸς ἔθνους

---

* *Κατὰ τὴν ἔκδοσιν τοῦ E. Klostermann ἐν Eusebius Werke 6. Bd (Ἔκδ. Preussischen Akademie der Wissenschaften) Leipzig 1913.*

1. Γεν. 49, 8. 2. Γεν. 35, 11.

μητρόπολις; ἀλλὰ γὰρ ἡ τοῦ Ἰούδα φυλὴ ἄνωθεν ἦν ἀρχικὴ καὶ ἡγεῖτο πάντων, ἕως ἦσαν αὐτόνομοι, κατὰ τὴν προφητείαν. ἦσαν δὲ μέχρι τῶν Αὐγούστου χρόνων ἐλεύθεροι καὶ αὐτόνομοι, καθ' ὃν Χριστοῦ φανέντος τὸ ἔθνος ἅπαν δεδούλωται. ὅτε καὶ πρῶτος ἀλλόφυλος αὐτῶν Ἡρῴδης ἡγήσατο καὶ βασιλεὺς Αὔγουστος, ὁ καὶ τὴν ἀρχὴν ἐγχειρίσας αὐτῷ μετὰ καὶ τῆς συγκλήτου, ἐξ Ἀντιπάτρου γεγονότι τὸ γένος Ἀσκαλωνίτου ἱεροδούλου Ἀπόλλωνος καὶ Κυπρίνης ἐξ Ἀράβων μητρός. οὗτος γὰρ τὸν ἐκ διαδοχῆς τῶν ἀρχιερέων ὕστατον ἡγησάμενον Ὑρκανὸν ἀνελὼν Ἰουδαίων ἀναγορεύεται βασιλεύς. καὶ ἁπλῶς, ὡς ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς ἄλλοι μὲν ἐξ ἄλλων ἐθνῶν βασιλεῖς καὶ ἄρχοντες καὶ στρατηγοὶ προχειρίζονται, Ῥωμαίων δὲ τὸ πᾶν ὠνόμασται κράτος, οὕτως ἐπὶ τῶν Ἰουδαίων τὸ μὲν πᾶν κράτος τῆς Ἰούδα καθόλου ὑπῆρχε φυλῆς, οἱ δὲ κατὰ μέρος βασιλεῖς τε καὶ ἄρχοντες ἐξ ἄλλων φυλῶν ἐσθ' ὅτε προὐβάλλοντο. ἀλλ' ἄνωθεν λοιπὸν τὴν προκειμένην ἐξετάσωμεν ῥῆσιν. ὅτι γὰρ οὐκ εἰς τὸν υἱὸν τοῦ Ἰακὼβ τὸν τέταρτον, ὅθεν ἡ φυλὴ κατήγετο, τὰ τῆς παρούσης τείνει προφητείας, ἐκ τοῦ τὸν Ἰακὼβ προειρηκέναι «ἀκούσατε» τὰ «ἐπ' ἐσχάτου τῶν ἡμερῶν [1]» γενησόμενα δῆλον· ταῦτα δὲ πρὸς τὸν τότε ζῶντα πῶς τείνειν ἐδύνατο; ἀλλ' οὐδὲ ἐκεῖνον τὸν Ἰούδαν ᾔνεσαν «οἱ ἀδελφοὶ» (τί γὰρ δὴ καὶ κατώρθωσεν;) οὔτε μὴν αὐτῷ προσεκύνησαν.[2] ἀλλ', εἴπερ ἄρα, τοῦτο ἥρμοττεν εἰρῆσθαι περὶ τοῦ Ἰωσήφ, ᾧ δὴ πρὸ τῆς προφητείας καὶ αὐτὸς Ἰούδας προσεκύνησεν.[3] μεῖζον δὲ ἢ κατὰ τὸν πρῶτον Ἰούδαν καὶ τὸ «ἀναπεσὼν δὲ ἐκοιμήθης ὡς λέων [4]», καὶ μάλιστα τὸ «ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν [5]» τὸν χρόνον τῆς τοῦ προφητευομένου δηλοῖ παρουσίας. πολλοὶ δὲ καὶ τοῦ παντὸς ἔθνους γεγόνασιν ἄρχοντες, οὐκ ἐξ Ἰούδα μόνου τοῦ πρώτου καταγόμενοι, οἷον Μωυσῆς, Ἰησοῦς, Δεββώρα καὶ οἱ ἐφεξῆς ἐγγύς που α̅ ἔτεσιν, ὧν ἄλλας εἶπεν φυλὰς ἡ γραφή, καὶ Σαοὺλ ὁ πρῶτος βασιλεύσας. καὶ αὐτοὶ δὲ οἱ ἀπὸ τοῦ Δαβὶδ οὐδὲ φ̅ διήρκεσαν ἔτεσι μέχρι τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, οὐδὲ τοῦ παντὸς ἔθνους βασιλεύοντες ἀλλ' ἢ τριῶν οὐδ' ὅλων τούτων φυλῶν· ἄλλοι γὰρ ἦσαν οἱ τῶν φυλῶν τῶν πλειόνων ἡγούμενοι (ἡ γὰρ πᾶσα βασιλεία μετὰ τελευτὴν Σολομῶνος διῄρηται). καὶ πάλιν μετὰ τὴν ἀπὸ Βαβυλῶνος | ἐπάνοδον αὖθις ὑπὲρ τὰ φ̅ ἔτη μέχρι τῆς Χριστοῦ γενέσεως διετέλεσαν πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ, τῶν κατὰ χρόνους ἱερέων ἡγουμένων τοῦ ἔθνους. ὥστε πανταχόθεν δῆλον, οὔτε ἐπὶ τὸν πρῶτον ἐκεῖνον Ἰούδαν οὔτε τοὺς αὐτοῦ διαδόχους ἀναφέρεσθαι τὸ «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα [6]», ἀλλ' ἐπ' αὐτὴν ὅλην ὡς εἴρηται τὴν φυλήν, ὡσεὶ ἔλεγεν· οὐκ ἐκλείψει ἄρχουσα ἡ τοῦ

---

1. Γεν. 49, 1, 2. 2. Πρβλ. Γεν. 49, 8. 3. Πρβλ. Γεν. 44, 18. 4. Γεν. 49, 9. 5. Γεν. 49, 10. 6. Γεν. 49, 10.

Ἰούδα φυλή «ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται[1]», ὃς ἄρχειν προσεδοκᾶτο τῶν ἐθνῶν ἀπὸ τῆς τοῦ θεοῦ τοῖς περὶ τὸν Ἀβραὰμ ὑποσχέσεως. λεγέσθω τοίνυν πρὸς ἅπασαν τὴν φυλὴν τὸ «σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου[2]», προτετιμημένην τῶν ἄλλων· ᾗ κἂν πρέποι τῶν πολεμίων ἡγουμένῃ τὸ «αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου[3]», καὶ διὰ τὸ ἀρχικὸν «τὸ σκύμνος λέοντος Ἰούδα.[4]» ἐφ' ᾗ καὶ σεμνυνόμενος ὁ προπάτωρ φησὶ τὸ «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης[5]» [*ὅ ἐστιν ἐξ ἐμοῦ, ἅμα καὶ δεικνὺς τὸ ἐπιδοτικὸν καὶ αὐξητικόν.*] τὸ δὲ «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων[6]» διὰ τὸ ἀκατάπληκτον ἐκ τῶν ἐναντίων [*καὶ ἐν ἱδρύσει βασιλικῇ τῆς κληρονομίας ἀμετακίνητον. λέγεται δὲ κείμενος ὁ λέων φοβερώτερος εἶναι, πλατύτερος φαινόμενος.*] ὅθεν θαυμάζει ἐκεῖνον ὡς σπάνιόν τε καὶ δυσθεώρητον τὸν μέλλοντα αὐτὴν ἀναστῆσαι τοῦ οἱονεὶ θρόνου καὶ ἀρχικοῦ ἀξιώματος, ὃν ἐφεξῆς δηλοῖ προσδοκίαν «ἐθνῶν» γενησόμενον.[7] ὃς οὐ πρότερον φανήσεται ἐν ἀνθρώποις ἢ ἐκλιπεῖν ἄρχοντα καὶ ἡγούμενον· ὃς καὶ μεταστῆσαι τῆς ἀρχῆς προφητεύεται τὴν Ἰούδα φυλήν· Χριστοῦ γὰρ γεννηθέντος πᾶν ἄρχον ἐν Ἰουδαίοις ἐπαύσατο, Ῥωμαίοις ὑποταγέντος τοῦ ἔθνους (οὐ γὰρ Ἰουδαίων, ἀλλ «ἐθνῶν» ἔφησεν αὐτὸν προσδοκίαν).[8] ὅθεν ὁ μακάριος Λουκᾶς ἐπισημαινόμενος τοὺς χρόνους τῆς τῶν Ἰουδαϊκῶν ἀρχόντων ἐκλείψεως τὴν ἀρχὴν τῆς Χριστοῦ διδασκαλίας ἱστορεῖ γεγονέναι «ἐν ἔτει πεντεκαιδεκάτῳ Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας·[9]» καὶ ὁ ἅγιος δὲ Ματθαῖος ὁμοίως φησί· «τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα[10]», δι' ὧν σαφῶς παρέστησε καὶ τῶν ἀλλοφύλων τὴν κατ' αὐτῶν ἀρχὴν | καὶ τῶν ἐξ ἀνατολῆς ἀλλοφύλων ἐθνῶν τὴν ὑπὸ τοῦ θεοῦ κλῆσιν. ταῦτα δὲ «ἐπ' ἐσχάτου» γέγονε τῶν ἡμερῶν[11] κατὰ τὴν προφητείαν, ἐσχάτας ἡμέρας σημαίνουσαν τὰ ἔσχατα τῆς συστάσεως τοῦ Ἰουδαίων ἔθνους. ὅτε καὶ ἡ Χριστοῦ τῶν ἐθνῶν ἀνέσχεν ἀρχή· ἐξ οὗ σεμνὸν οὐδὲν παρ' Ἰουδαίοις, οὐ κατὰ προφητείαν, οὐ καθ' ἱερωσύνην, οὐ κατὰ πολέμους, ἐδείκνυτο, Ῥωμαίοις ἐξ ἐκείνου δουλεύουσιν. ὅτε καὶ τὸ ἱερὸν σὺν ἁγιστείᾳ τῇ κατ' αὐτὸ τελουμένῃ πρώην ἐκλέλοιπεν, ὅτε καὶ ἦλθε τῷ προφητευομένῳ «τὰ ἀποκείμενα.[12]» τίνα δὲ ταῦτα; τὸ «Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου[13]» καὶ τὰ ἑξῆς· ἃ καθ' ἑτέραν ἔννοιαν εἰς τὸν Χριστὸν ἀναφέρεται, ὃς Ἰούδας χρηματίζει, ὥσπερ οὖν Ἰακὼβ (φησὶ γὰρ ὁ προφήτης· «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν

1. Γεν. 49, 10. 2. Γεν. 49, 8. 3. Γεν. 49, 8. 4. Γεν. 49, 9. 5. Γεν. 49, 9. 6. Γεν. 49, 9. 7. Πρβλ. Γεν. 49, 10. 8. Πρβλ. Γεν. 49, 10. 9. Λουκ. 3, 1. 10. Ματθ. 2, 1. 11. Πρβλ. Γεν. 49, 1. 12. Πρβλ. Γεν. 49, 10. 13. Πρβλ. Γεν. 49, 8.

ἐξοίσει[1]» ἕως τοῦ «καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν»).[2] χρηματίζει καὶ Δαβίδ, ὡς ἐν πη ψαλμῷ· «αὐτὸς ἐπικαλέσεταί με· πατήρ μου εἶ σύ, κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν ὑψηλότερον παρὰ τοῖς βασιλεῦσι τῆς γῆς, εἰς τὸν αἰῶνα ἑτοιμάσω αὐτῷ τὸ ἔλεός μου.[3]» καὶ πάλιν «τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα[4]» ἀκατάλληλα τῷ Δαβὶδ περὶ οὗ δοκεῖ λέγεσθαι. χρηματίζει καὶ Σολομῶν, ὡς ἐν οα ψαλμῷ ἐπιγεγραμμένῳ «εἰς Σολομῶνα[5]», σαφῶς δὲ περὶ Χριστοῦ περιέχοντι τὸ «κυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης[6]» καὶ «πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.[7]» οὕτως οὖν καὶ Ἰούδας, ἐπεὶ γέγονεν ἐκ τῆς Ἰούδα φυλῆς, ὁ κύριος ἐχρημάτισεν ἀνατείλας ἐκ ταύτης κατὰ τὸν θεῖον ἀπόστολον.[8] [*δηλοῖ δὲ τοὔνομα αἶνον ἢ ὕμνησιν ἢ ὑμνούμενον. τίνι δ' ἂν πρέποι δοξολογεῖσθαι πλὴν ἢ μόνῳ Χριστῷ;*] ὃς καὶ παρὰ τῶν ἀδελφῶν, τῶν ἀποστόλων, τὰς παραδόξους δυνάμεις ἐπιτελῶν ἐθαυμάζετο, περὶ ὧν φησιν ἐν ψαλμοῖς· «ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου[9]», τοῖς δὲ περὶ τὴν Μαριὰμ φησιν· «ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου[10], ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα μου.[11]» οὗτοι δὴ οὖν τὰ μὲν πρῶτα μόνον αὐτὸν ἐπῄνουν, ἐπὶ τοῖς θαυμασίοις, ὡς ἕνα τῶν προφητῶν εἶναι νομί|σαντες·[12] εἶτα, μαθόντες ὡς καθεῖλε τὸν «ἐχθρὸν» καὶ «ἐκδικητήν[13]», τόν τε θάνατον καὶ τὰς ἀοράτους δυνάμεις, θεὸν αὐτὸν εἶναι πιστεύσαντες «προσεκύνησαν.[14]» πῶς δὲ οὐκ «ἐπὶ νώτου τῶν ἐχθρῶν» «αἱ χεῖρες[15]» αὐτοῦ, ὅτε πάντα, καὶ τὴν διδασκαλίαν καὶ τὰς δυνάμεις, ἐπὶ καθαιρέσει τῶν δαιμόνων ἐποιεῖτο; ἐπὶ δὲ τοῦ σταυροῦ τὰς χεῖρας πετάσας φυγάδας τοὺς ἐχθροὺς ἀπειργάσατο, καὶ νῶτα τραπέντες ἐδίδοσαν. [*ὅθεν καὶ ἐν Δαβίδ φησι· «καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλείψωσιν. ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.[16]» καὶ ταῦτα παθόντες οὐδὲν ἀντιποιῆσαι δεδύνηνται, κατὰ τὸ «οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν·[17]»*] καὶ μᾶλλον ὅτε παραδοὺς τὸ πνεῦμα τῷ πατρὶ ἄσαρκος ἐπὶ τὸ τῶν ἐχθρῶν κατῄει χωρίον, αὐτοζωὴ τυγχάνων, θάνατον καταλύων καὶ τὰς ἐπανισταμένας αὐτῷ δυνάμεις. ἃς εἰκὸς κατ' ἀρχὰς μὲν αὐτὸν κοινὸν ἄνθρωπον ὑπολαβούσας κυκλῶσαι καὶ ἐφορμᾶν ὡς τῷ τυχόντι, γνούσας δὲ κρείττω τυγχάνειν ἢ κατὰ ἄνθρωπον τραπῆναι καὶ τὰ νῶτα παραχωρῆσαι αὐτῷ· καθ' ὧν τὰς χεῖρας ἀφεὶς τοῖς ἐνθέοις

---

1. Ἡσ. 42, 1. 2. Ἡσ. 42, 4. 3. Ψαλμ. 88, 27 ἑξ. 4. Ψαλμ. 88, 37 ἑξ. 5. Ψαλμ. 71, 1. 6. Ψαλμ. 71, 8. 7. Ψαλμ. 71, 11. 8. Πρβλ. Ἑβρ. 7, 14. 9. Ψαλμ. 21, 23. 10. Ματθ. 28, 10. 11. Ἰω. 20, 17. 12. Πρβλ. Ματθ. 16, 14. 13. Πρβλ. Ψαλμ. 8, 3. 14. Ματθ. 28, 17. 15. Γεν. 49, 8. 16. Ψαλμ. 17, 38 ἑξ. 17. Ψαλμ. 88, 23.

αὐτοῦ βέλεσι φεύγοντας ἤλαυνεν. καὶ νῦν δὲ τοὺς πολεμοῦντας αὐτῷ διὰ τῆς ἐκκλησίας ἀοράτῳ τροποῦται χειρί. λαβόντι δὲ τὰ κατ' ἐχθρῶν νικητήρια πάντες αὐτῷ λοιπὸν οἱ «τοῦ πατρὸς» προσεκύνουν «υἱοί [1]», πάντες οἱ κατ' οὐρανὸν ἄγγελοί τε καὶ θεῖαι δυνάμεις οἵ τε ἐπὶ γῆς ἀπόστολοί τε καὶ τὰ ἔθνη, θεὸν αὐτὸν ἐγνωκότες [*καὶ παρ' αὐτοῦ λαβόντες τὸ «πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ [2]» νῶτα δεδωκότος ἡμῖν δι' αὐτοῦ, μᾶλλον δὲ καὶ καταπατουμένου διὰ τὴν ἀνυπέρβλητον τοῦ ὑποτάξαντος δύναμιν. δύναται δὲ τὸ «ἐπὶ νώτου [3]» περὶ τῶν 'Ιουδαίων λέγεσθαι τῶν διωξάντων αὐτόν. κἂν γὰρ πρὸς τὸ παρὸν αὐτὸν ἀποφύγωσιν, «ἐπ' ἐσχάτων τῶν ἡμερῶν [4]» ἐξομολογήσονται αὐτῷ· οὗτοι γάρ εἰσιν «οἱ υἱοὶ τοῦ πατρὸς αὐτοῦ [5]» κατὰ τὴν 'Ησαΐου φωνήν· «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.[6]» λέγοι δ' ἂν καὶ τοὺς κατὰ σάρκα τοῦ κυρίου ἀδελφούς, οἳ τὴν ἀρχὴν μὲν ἐδίσταζον· ἐθαύμαζον μὲν γὰρ θαυματουργοῦντα, προσέκοπτον δὲ τὰς λατρείας τὰς νομικὰς ὑπερβαίνοντι (πρὸς μὲν γὰρ τὸ εἰς τροφὰς ἀδιάφορον ἔλεγεν· «οὐ τὸ εἰσερχόμενον | εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον [7]», πρὸς δὲ τὸ μὴ τηρεῖν τὸ σάββατον· «ὅτι κύριός ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου.[8]» ὡς οὖν διστάζοντες ἔλεγον· (εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ [9]», «οὐδεὶς γάρ τι ἐν κρυπτῷ ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι [10]», οἷς ἐπάγων ὁ εὐαγγελιστὴς «οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ» φησὶν «ἐπίστευον εἰς αὐτόν»).[11] ὕστερον δὲ καὶ λίαν ὡς εἰς θεὸν κατὰ φύσιν ἐπίστευον. ἃ δὴ προεγνωκὼς 'Ιερεμίας ἐν πνεύματι πρὸς αὐτόν πού φησι τὸν Χριστόν· «ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου καὶ αὐτοὶ ἠθέτησάν σε καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν· μὴ σπεύσῃς ἐν αὐτοῖς, ὅτι λαλήσουσι πρὸς σὲ καλά [12]», ὃ δὴ καὶ γέγονεν. 'Ιάκωβος γοῦν «ταῖς δώδεκα φυλαῖς» ἐπιστέλλων φησίν· 'Ιάκωβος θεοῦ καὶ κυρίου 'Ιησοῦ Χριστοῦ δοῦλος.[13]»*] ἀλλ' ἐπεὶ ἐχρῆν καὶ τὰ τῆς γενέσεως αὐτοῦ καὶ τὰ τοῦ θανάτου μυστήρια τῇ περὶ αὐτοῦ προφητείᾳ συμπεριλαβεῖν, ἐπιλέγει· «σκύμνος λέοντος 'Ιούδα [14]» διὰ τὸ ἐκ βασιλικῆς αὐτὸν γεγονέναι φυλῆς [*υἱόν τε εἶναι τοῦ πάντα ἰσχύοντος καὶ τοὺς ἀνθεστηκότας μόνῳ καταπλήττειν τῷ λόγῳ κατὰ τὸν προφήτην· «λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; [15]»*] «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· [16]» ἦν γὰρ ἐκ σπέρματος καὶ ῥίζης τοῦ ταῦτα προλέγοντος 'Ιακὼβ τὸ κατὰ σάρκα Χριστός [17], [*μᾶλλον δὲ ἀπὸ «βλαστοῦ» καὶ ῥίζης εὐγενοῦς ἀναφὺς τῆς ἁγίας παρθένου ἐξ ἁγίου πνεύματος· καὶ ἀλλαχοῦ γάρ φησιν ἡ γραφή·*

---

1. Πρβλ. Γεν. 49, 8. 2. Λουκ. 10, 19. 3. Γεν. 49, 8. 4. Γεν. 49, 1. 5. Γεν. 49, 1. 6. 'Ησ. 1, 2. 7. Ματθ. 15, 11. 8. Λουκ. 6, 5. 9. 'Ιω. 7, 4. 10. 'Ιω. 7, 4. 11. 'Ιω. 7, 5. 12. 'Ιερ. 12, 6. 13. 'Ιακ. 1, 1. 14. Γεν. 49, 9. 15. 'Αμ. 3, 8. 16. Γεν. 49, 9. 17. Πρβλ. 'Ρωμ. 1, 3.

«ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.[1]» καὶ γάρ ἐστιν αὐτὸς ἡ τῆς δυνάμεως ῥάβδος, ἣν «ἐκ Σιὼν» ἡμῖν ἀπέστειλεν ὁ θεός[2], ἡ πάντας παρακαλοῦσα καὶ ἀνέχουσα «βακτηρία[3]», ἡ εὐθύτητός τε καὶ βασιλείας[4], ἡ ὀρθῶς μὲν καὶ πρᾴως τὰς τῶν ἁγίων ἀγέλας διαποιμαίνουσα, συντρίβουσα δὲ καθάπερ τι «σκεῦος κεραμέως[5]» τοὺς ὑπ αὐτοῦ νέμεσθαι μὴ ἀνεχομένους. αὐτὸς ἡ ῥάβδος ἡ τόπον ἔχουσα τὴν θείαν σκηνὴν καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσενηνεγμένη, ἡ ἐξανθήσασα «κάρυα» (ὅπερ ἐστὶν ἀναστάσεως σύμβολον· ξύλον γὰρ τὸ ἐκ καρύας ἀγρυπνίας ἐστί πως ἐμποιητικόν)].[6] τὸν δὲ θάνατον δηλῶν ἐπάγει· «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος[7]» *[ἐπειδὴ ὁ πατὴρ ἐν τῷ υἱῷ καὶ ὁ υἱὸς ἐν τῷ πατρί].*[8] ἔθος δὲ τῇ γραφῇ κοίμησιν ὀνομάζειν τὸν θάνατον. *[διὰ δὲ τοῦ «ἀναπεσὼν» οὐκ ἀβούλητον ἐμφαίνει τὸν θάνατον· νικᾶν γὰρ πάντας ὡς λέων ἀκμάζων τε καὶ νέος ἠδύνατο, ἀλλ' οὐ θανάτῳ κάτοχος ἦν ὡς οἱ σταυροῦντες ἐνόμιζον[9], ἑκὼν δὲ κατεκλίθη. καὶ ὥσπερ ὁ λέων οὐκ ἐγρηγορὼς μόνον ἀλλὰ καὶ καθεύδων ἐστὶ φοβερός, οὕτω καὶ ὁ Χριστὸς οὐ πρὸ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ φοβερὸς ἦν καὶ τὰ μεγάλα εἰργάζετο θαύματα. οὐκ εἶπε δὲ «κοιμηθήσῃ», ἀλλ' «ἐκοιμήθης·» οἱ γὰρ προφῆται τὸ πάντως γενήσεσθαι τὰ μέλλοντα δηλοῦντες ὡς γεγονότα λαμβάνουσιν, ἐπεὶ καὶ τὸ γεγονὸς οὔποτ' ἂν ἄπρακτον γένοιτο, καὶ θεῷ δὲ τὸ μέλλον ἤδη γεγένηται καὶ πᾶς αὐτῷ πάρεστι χρόνος. τοιοῦτον καὶ τὸ «ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.[10]»]* τὸ δὲ «τίς ἐγερεῖ αὐτὸν» θαυμαστικῶς δηλοῖ τὴν ἀνάστασιν, καὶ ἀνεγείρων ἡμᾶς εἰς τὴν τοῦ ἐγείροντος ζήτησιν. *[ἐμφαίνων ὡς κατεκλίθη μὲν ἑκών, ἀλλ' οὐ τῆς παρ' ἑτέρου δεήσεται συνεργίας].* ἀνεγερεῖ τε γὰρ αὐτὸν ὁ πατὴρ κατὰ τὴν λέγουσαν γραφήν· «ὃν ὁ πατὴρ ἤγειρεν ἐκ νεκρῶν[11]», *[αὐτός τε ἑαυτὸν (ὁ καὶ ζωοποιῶν τοὺς νεκροὺς) κατὰ τὸ «λύσασε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[12]»]* ἐμφατικώτατα δὲ ὁ μὲν Ἀκύλας φησίν· «σκύλαξ λέοντος Ἰούδα, ἀπὸ ἁλώσεως, υἱέ μου, ἀνέβης· κάμψας κατεκλίθης», ὁ δὲ Σύμμαχος· «σκύμνος λέοντος Ἰούδα, ἐκ θηριαλώσεως, υἱέ μου, ἀνέβης· ὀκλάσας ἡδράσθης.» δι' ὧν σαφῶς παρίσταται ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἐξ ᾅδου ὥσπερ ἔκ τινος θηριαλώσεως τοῦ σωτῆρος ἡμῶν ἀποφυγή. τὸ δὲ ὀκλάσαι καὶ ἑδρασθῆναι, ἀλλὰ μὴ καταπεσεῖν, ὁμοῦ τὸν θάνατον ἔδειξε διὰ τοῦ ὀκλάσαι καὶ τὸ μὴ ὑποσυρῆναι ὁμοίως ταῖς τῶν ἄλλων ἀνθρώπων ψυχαῖς διὰ τοῦ ἡδράσθαι. εἶτα τὸν καιρὸν ἐμφανίζει διὰ τοῦ «οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα», τουτέστιν οὐκ ἐκλείψουσιν ἅγιοι τοῦ γένους ἐξάρχοντες.

---

1. Ἡσ. 11, 1. 2. Πρβλ. Ψαλμ. 109, 2. 3. Πρβλ. Ψαλμ. 22, 4. 4. Πρβλ. Ψαλμ. 44, 7. 5. Πρβλ. Ψαλμ. 2, 9. 6. Πρβλ. Ἀριθ. 17, 7 ἑξ. 7. Γεν. 49, 9. 8. Πρβλ. Ἰω. 10, 38. 9. Πρβλ. Μάρκ. 14, 64. 10. Ψαλμ. 21, 17 ἑξ. 11. Πράξ. 3, 15. 12. Ἰω. 2, 19.

μετὰ γὰρ τὴν τῶν 'Ιουδαίων ἀρχὴν ὁ ἐξ ἐθνῶν ἀνέφυ λαός, ὅτε λοιπὸν οὐδεὶς ἔτι παρ' 'Ιουδαίοις ἅγιος γέγονε, τῶν καλῶν αὐτοῖς ἁπάντων ἐκλελοιπότων. ὅπερ δηλῶν ἐπάγει· «δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ.» [*προσέδησε γὰρ ὥσπερ ἑαυτῷ διὰ πίστεως «ἡ ἄμπελος ἡ ἀληθινὴ*[1]*» τὸν νέον λαόν, τὸν ὄντα πρότερον ἀδάμαστόν τε καὶ ἀχαλίνωτον· προσδήσει δὲ καὶ τῇ ἕλικι τῆς ἀμπέλου τῷ ἰδίῳ λόγῳ καὶ τῇ ἀγάπῃ τῇ παρ' ἑαυτοῦ τὸν τῆς ἀρχαίας συναγωγῆς λαόν. πλὴν εἰ μὴ λέγοι τὸν ἐκ περιτομῆς λαὸν προσδεδέσθαι τῇ τοῦ νόμου παλαιότητι.* | *ἤγουν ἄμπελον μὲν λέγει τὸν 'Ισραήλ, πῶλον δὲ τὸν ἐξ ἐθνῶν λαόν, τοὺς τοῖς κτήνεσι τοῖς ἀνοήτοις παραβληθέντας καὶ ὁμοιωθέντας αὐτοῖς, οὓς καὶ κύνας καλεῖ ὁ κύριος·*[2] *τὰ γὰρ ἔθνη συνῆψεν ἀμπελῶνι κυρίου Σαβαὼθ*[3] *τὸν φραγμὸν καθελὼν καὶ τὸ μεσότοιχον διαλύσας*[4]*, καὶ προσέδησε τῷ 'Ισραὴλ διὰ τοῦ συνδέσμου τῆς ἀγάπης, οὕτως ἡμερωθέντα τὰ πρότερον ἄγρια, ὥστε τῇ ἕλικι προσδεδεμένα μὴ ἀποπηδᾶν ἀλλ' ἀνέχεσθαι καὶ μὴ λυμαίνεσθαι τὴν ἄμπελον. «πῶλον» δὲ λέγει καὶ «πῶλον» ὡς ἐκ μιᾶς ὄνου*[5] *(τουτέστι πίστεως) ἀμφοτέρων γεγεννημένων.*] εἴποι δ' ἄν τις καὶ πρὸς λέξιν ταῦτα τέλους τετυχηκέναι, ὅτε κατὰ τὸν Ματθαῖον ὁ κύριος ἔφη τοῖς μαθηταῖς· «πορεύεσθε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένον καὶ πῶλον· λύσαντες ἀγάγετέ μοι.[6]» ἐμφαίνει δὲ ἡ προφητεία, ὡς οὐχ οἷά τις ἐπίδοξος ἐν ἀνθρώποις βασιλεὺς ἐφ' ἁρμάτων καὶ ἵππων ὀχήσεται, ἀλλ' ἐπὶ ὄνου καὶ πώλου οἷά τις πένης. ὅπερ καὶ Ζαχαρίας διὰ τῆς προφητείας ἐδήλωσε· «χαῖρε σφόδρα, θύγατηρ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.[7]» [*ὅτι δὲ ἤμελλεν αἵματι τῷ ἰδίῳ τὴν ἑαυτοῦ φοινίξαι σάρκα τῇ λόγχῃ διανενυγμένος, ἐμφαίνει τὸ «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ*[8]*», ὃν καὶ κατὰ τὸν 'Ησαΐαν αἱ ἄνω βλέπουσαι δυνάμεις ἀναλαμβανόμενον ἔλεγον· «τίς οὗτος ὁ παραγινόμενος ἐξ 'Εδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ;*[9]*» καὶ πάλιν· «ἱνατί σου ἐρυθρὰ τὰ ἱμάτια καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ;*[10]*»*] δηλοῖ δὲ ἡ περιβολὴ καὶ τὸν αὐτοῦ λαόν, ὃν ἐκάθηρε τῷ ἰδίῳ αἵματι (ὁ γὰρ οἶνος τοῦτο δηλοῖ, τοὺς εἰς τὸν θάνατον αὐτοῦ πεπιστευκότας καὶ βαπτιζομένους), [*ἢ ὅτι τῷ ἁγίῳ πνεύματι καθαριεῖ τὴν ἰδίαν σάρκα καὶ τῷ λόγῳ τῆς ἀληθείας. ὅτι δὲ παροινούντων εἰς αὐτὸν 'Ιουδαίων οὐ πολὺς ἦν αὐτῷ λόγος, ἐπὶ δὲ τῇ ἡμετέρᾳ σωτηρίᾳ καὶ λίαν ηὐφραίνετο, ὢν καὶ ἀπαθὴς κατὰ τὴν ἰδίαν θεότητα, παρέδειξεν εἰπών· «χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου*[11]*», ἀπὸ μεταφορᾶς τῶν μεθυόντων, οἵτινές εἰσιν ἱλαρώτεροι*]. ἐμφαίνει δὲ καὶ τὴν εὐφροσύνην τὴν ἀπὸ τοῦ μυστικοῦ

---

1. 'Ιω. 15, 1. 2. Πρβλ. Μάρκ. 7, 27. 3. Πρβλ. 'Ησ. 5, 7. 4. Πρβλ. 'Εφεσ. 2, 14. 5. Πρβλ. Γεν. 49, 11. 6. Ματθ. 21, 2. 7. Ζαχ. 9, 9. 8. Γεν. 49, 11. 9. 'Ησ. 63, 1. 10. 'Ησ. 63, 2. 11. Γεν. 49, 12.

οἴνου, ὃν παραδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς ἔλεγε· «λάβετε, πίετε, τοῦτό μού ἐστι τὸ αἷμα τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.[1]» [*δηλοῖ δὲ καὶ τὸ λίαν* | *εὐμενῶς ἐπὶ πάντας τοὺς πιστεύοντας εἰς αὐτόν.*] αὐτὸ δὲ τὸ τοῦ οἴνου καὶ τὸ «λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα[2]» τὸ λαμπρὸν ὑποσημαίνει καὶ καθαρὸν τῆς μυστηριώδους τροφῆς· παρέδωκε γὰρ εἰκόνα τοῦ ἰδίου σώματος τοῖς μαθηταῖς, μηκέτι τὰς νομικὰς καὶ δι' αἰνιγμάτων θυσίας προσιέμενος. τοῦ τοίνυν ἄρτου τὸ καθαρὸν τῆς τροφῆς διὰ τῶν λευκῶν ὀδόντων ἐδήλωσεν· κατὰ γὰρ τὸν θεῖον Δαβὶδ «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· σῶμα δὲ κατηρτίσω μου.[3]» [*λέγοιτο δ' ἂν καί, ἐπειδὴ κτλ.*]

II. Προκοπίου εἰς τοὺς Ἀριθμοὺς 24,17 ἑξ. Πρβλ. Εὐσεβίου, Εὐαγγελικὴ Ἀπόδειξις IX,1.

«δείξω αὐτῷ, καὶ οὐχὶ νῦν· μακαρίζω, καὶ οὐκ ἐγγίζει· ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ.» ἐπὶ ταύτῃ φασὶ τῇ προφητείᾳ κινηθέντας τοὺς διαδόχους τοῦ Βαλαὰμ (σεσῶσθαι γὰρ αὐτήν, ὡς εἰκός, παρ' αὐτοῖς), ὡς εἶδον ξενίζοντά τινα παρὰ τοὺς συνήθεις ἀστέρα κατὰ κάθετον τῆς Ἰουδαίας ἐστηριγμένον, ἐλθεῖν εἰς ἐπιζήτησιν τοῦ σημαινομένου βασιλέως, καθὰ Ματθαῖος ἐν εὐαγγελίοις παρέδωκεν. ἀλλ' ἐπὶ τῇ τοῦ ἄστρου ἐπιτολῇ θραῦσιν ἔσεσθαι φησὶ τοῦ Μωάβ, οὓς κατ' ἰδίαν ὠνόμασεν ὡς ἀντικαθεστῶτας τότε τῷ Ἰσραήλ, καὶ ὅτι τοῖς εἰδώλοις αὐτῶν ἀκολουθήσας ὁ λαὸς ἐτελέσθη «τῷ Βεελφεγὸρ[4]» (θεῷ τοῦ Μωάβ, διὸ καὶ ἀρχηγοὺς αὐτοῦ τοὺς παρ' αὐτοῦ τιμωμένους ἐδήλωσε δαίμονας), ὅτε καὶ ἐξεπόρνευσαν εἰς τὰς Μωαβίτιδας.[5] διὸ προφητεύει τὴν εἰς τοὐναντίον τῶν πραγμάτων μεταβολήν, δεικνὺς τοὺς μεγαλαυχήσαντάς ποτε κατὰ τοῦ Ἰσραὴλ δαίμονας τῶν Μωαβιτῶν ἐπὶ τοῦ μέλλοντος ἄστρου θραῦσιν παθεῖν· ὧν πεσόντων τοὺς «υἱοὺς Σὴθ καὶ Ἐδὼμ» καὶ Ἡσαῦ[6] καὶ πάντα τὰ ἔθνη διὰ τούτων δηλούμενα [*μᾶλλον δὲ πάντας μὲν ἀνθρώπους διὰ τῶν υἱῶν Σὴθ ἐδήλωσεν, ἰδίᾳ δὲ τοὺς Ἰδουμαίους, ἐπεὶ τὸν αὐτὸν τρόπον προσηνέχθησαν τῷ Ἰσραήλ·*] πάντας οὖν φησι τῆς ἰδίας παύσεσθαι δεισιδαιμονίας. [*μέμνηται καὶ τοῦ Ἀμαλὴκ ὡς ἐπελθόντος τῷ Ἰσραὴλ πρότερον καὶ νικηθέντος ἐκτάσει τῶν Μωυσέως χειρῶν· μέμνηται καὶ τοῦ Κιναίου δυσμενοῦς τῷ λαῷ γεγονότος, ὃς καὶ κατὰ γένος προσῆκε τῷ Μωυσεῖ, ὡς ἐν Κριταῖς περὶ Χαβὲρ τοῦ Κιναίου φησίν, ὡς «ἦν ἐκ τῶν υἱῶν Ἰωβὰβ τοῦ πενθεροῦ Μωυσέως καὶ ἐξέτεινε τὴν σκηνὴν αὐτοῦ ἕως Βασεωνὶ τῆς παρὰ τὴν Κέδες·[7]» κατέσχον γὰρ μέρος* | *τῆς ἁγίας γῆς. καὶ ἐπὶ πολὺ παρέτεινεν. διὸ λέγει περὶ αὐτοῦ·*

---

1. Ματθ. 26, 28. 2. Γεν. 49, 12. 3. Ψαλμ. 39, 7. 4. Πρβλ. Ἀριθ. 25, 3. 5. Πρβλ. Ἀριθ. 25, 1. 6. Πρβλ. Ἀριθ. 24, 17 ἑξ. 7. Κριτ. 4, 11.

«*ἰσχυρὰ ἡ κατοικία σου*[1]»] πάντα οὖν οἰκεῖα τοῦ θεσπιζομένου λέγει γενήσεσθαι, κλῆρον αὐτὰ παρὰ τοῦ πατρὸς εἰληφότος, ὃς πρὸς αὐτόν φησιν· «αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.[2]» ὧν εἰς τὸν κλῆρον τῶν ἁγίων μεταστάντων, τἀναντία τῷ 'Ισραὴλ ἔσεσθαι θεσπίζει. φησὶ γ' οὖν· «καὶ 'Ισραὴλ ἐποίησεν ἐν ἰσχύι[3]», τὴν πάντων μεγίστην ἀσέβειαν. διὸ «ἐξεγερθήσεται» ἀπ' αὐτῶν καὶ ἀπαναστήσεται. τίς οὗτος; ὁ προφητευόμενος τοῦ θεοῦ λόγος, ὃς καὶ ἀπώλεσε «σῳζόμενον ἐκ πόλεως[4]», τὴν 'Ιερουσαλὴμ αἰνιττόμενος, ἐξ ἧς ἀπώλετο πᾶς σῳζόμενος, ἢ καὶ τὸ πᾶν τοῦ ἔθνους αὐτῶν πολίτευμα. τί δὲ τὸ τοῦ ἀστέρος, κατίδωμεν ἀκριβέστερον. «εἰς σημεῖα» καὶ «εἰς καιρούς[5]» τεθεῖσθαι πάντας φησὶ Μωυσῆς. γίνονται γὰρ καὶ ἐπὶ παραδόξων πραγμάτων καὶ λαμπρῶν ἄγαν προσώπων ἐκλάμψεις ἀστέρων, οὓς καλοῦσι κομήτας καὶ δοκίδας καὶ πωγωνίας καὶ τοιαῦτα. ὁ δὲ τοῦ σωτῆρος πάντων ὑπῆρχε καινότερος, δηλῶν τὸν μέγαν καὶ νοητὸν ὄντως φωστῆρα ἐξ οὐρανοῦ τῷ παντὶ διαλάμψαντα κόσμῳ. τί γὰρ τοιοῦτον ἐν ἀνθρώποις μέγα γέγονεν ἢ παράδοξον; συνηθείᾳ δὲ γραφῆς σῳζούσης ἀεὶ τὸ φαινόμενον τῷ ῥητῷ καὶ τὸ δηλούμενον νοητόν, δι' ὅπερ ἐστὶ καὶ τὸ φαινόμενον (ὠφελεῖν καὶ αὐτὸ δυνάμεμενον ἱστορικώτερον), καὶ νῦν ἑκάτερον ἐσώθη, τοῦ φανέντος ἀστέρος δηλώσαντος τὸν ἐξ οὐρανοῦ θεὸν ἐπιλάμψαντα, ὃν καὶ ἄνθρωπον διὰ τὴν οἰκονομίαν ἡ προφητεία καλεῖ· κατὰ γὰρ τὴν θεότητα καὶ ἀλλαχοῦ «ἀνατολὴν[6]» καὶ «φῶς[7]» καὶ «ἥλιον δικαιοσύνης[8]» καλεῖ, ἅτε «φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον[9]», ὅθεν καὶ νῦν τῷ «ἀνατελεῖ» κέχρηται.[10] τὸ δὲ ἀνθρώπινον διὰ τὸ συμβὰν περὶ αὐτὸν πάθος ὡς ἀναπεπτωκὸς ἀναστήσεσθαί φησιν. οὕτω καὶ 'Ησαΐας· «καὶ ἔσται ἡ ῥίζα τοῦ 'Ιεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν·[11]» ἐξ 'Ιακὼβ γὰρ (τοῦ τῆς περιτομῆς | λαοῦ) πᾶσιν ἐξέλαμψε. πρὸς ὃν λέγεται· «ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν.[12]» τὸ δὲ «δείξω αὐτῷ, καὶ οὐχὶ νῦν[13]» ὁ μὲν 'Ακύλας «ὄψομαι» φησίν, ὁ δὲ Σύμμαχος «ὁρῶ», ὡς ἂν μακροῖς ὕστερον χρόνοις μελλόντων τούτων ἐπιτελεῖσθαι· μετὰ γὰρ δισχίλια τῆς προρρήσεως ἀπήντηκεν ἔτη.

III. Προκοπίου εἰς τοὺς 'Αριθμοὺς 24,3 ἑξ. Πρβλ. Εὐσεβίου, Εὐαγγελικὴ 'Απόδειξις IX, 3.

ἤδη δὲ καὶ πάντα εἰς τὸν Χριστὸν οἰκειότερον ἐκληφθήσεται. ὃν γὰρ εἶπεν 'Ησαΐας «εἰς Αἴγυπτον» εἰσιόντα «τὰ χειροποίητα» σείσειν

1. 'Αριθ. 24, 21. 2. Ψαλμ. 2, 8. 3. 'Αριθ. 24, 18. 4. Πρβλ. 'Αριθ. 24, 19. 5. Πρβλ. Γεν. 1, 14. 6. Ζαχ. 6, 12. 7. 'Ιω. 8, 12. 8. Μαλ. 4, 2. 9. 'Ιω. 1, 9. 10. Πρβλ. 'Αριθ. 24, 17. 11. 'Ησ. 11, 10. 12. 'Ησ. 49, 6. 13. 'Αριθ. 24, 17.

«Αἰγύπτου», νῦν δείκνυσιν ἐκ ταύτης ἐπανερχόμενον·[1] ὡς γὰρ ἐν εὐαγγελίοις εἴρηται, φυγὼν Ἡρώδην μετὰ τῶν γονέων ὁ Χριστὸς εἰσῆλθεν εἰς Αἴγυπτον, καὶ «τελευτήσαντος» ἐκείνου πάλιν ἐπανελήλυθεν.[2] | ὃς καὶ μόνος ἐκ σπέρματος Ἰσραὴλ «πολλῶν ἐθνῶν» ἐκυρίευσεν[3], ὡς αὐτόν, οὐκ ἄλλον, εἶναι τὸν προφητευόμενον, καθ' ὃν καὶ ἡ τοῦ Γὼγ συνηύξηται βασιλεία, σημαίνουσα καθ' Ἑβραίους τὴν Ῥωμαίων ἀρχήν, ᾗ συνήκμασεν ἡ Χριστοῦ διδασκαλία. ὃν Ἰεζεκιὴλ «ἄρχοντα Ῥὼς καὶ Μοσὸχ καὶ Θοβὲλ[4]» ὀνομάζει, διὰ μὲν τοῦ Ῥὼς τὴν Ῥωμαίων, ὡς ἔοικε, πάλιν αἰνιττόμενος (ἐπεὶ καὶ ἀρχὴν καὶ κεφαλὴν καθ' Ἑβραίους σημαίνει), διὰ δὲ τοῦ Μοσὸχ τὴν Μυσίαν καὶ τὰ πέριξ ἔθνη ταύτης Ῥωμαίοις ὑποτελῆ, διὰ δὲ τοῦ Θοβὲλ τὴν Ἰβηρίαν, ὥς φησιν Ἰώσηπος. «δόξα» δὲ «μονοκέρωτος·[5]» παρῆν τῷ Χριστῷ διὰ τὸ ἐν αὐτῷ κατοικῆσαι «πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς[6]» κατὰ τὸν ἀπόστολον, ὡς ἓν κέρας νοούμενον. ὃς καὶ βέλεσι νοητοῖς τὸν σατανᾶν καὶ τὰ σὺν αὐτῷ στίφη τῶν δαιμόνων διὰ τῆς ἀμάχου δυνάμεως ἤλαυνεν, εἰσέτι τε νῦν «ἐθνῶν κυριεύει πολλῶν», λεπτύνων αὐτῶν «τὰ πάχη[7]» («τὸ φρόνημα τῆς σαρκός[8]»), ἐπὶ στενὴν ὁδὸν τῆς αἰωνίου ζωῆς[9] ἐπιτηδείους κατασκευάζων. ὅς, φησιν, «κατακλιθεὶς ὡς λέων ἀνεπαύσατο[10]», οὕτω δηλῶν τὴν οἰκονομίαν, ἣν ἀνεδέξατο, καθ' ἣν ὥσπερ τις βασιλικὸς θαρραλέως ἐποιήσατο θήραν, μηδενὸς αὐτοῦ καταπαύσοντος τὴν ἀρχήν. ὃν οἱ θαυμάζοντες ὡς θεὸν καὶ τὴν αὐτοῦ διδασκαλίαν σεμνύνοντες λόγῳ τε καὶ ἔργῳ τὴν ἐκ θεοῦ μετειλήφασιν εὐλογίαν, αὔξοντες ὁσημέραι καὶ πληθύνοντες κατὰ τὸ «αὐξάνεσθε καὶ πληθύνεσθε[11]» ἀληθέστερον καὶ θεοπρεπέστερον, ὡς ἔμπαλιν Ἰουδαῖοι τοῦτον ἀρώμενοι τὰ τοσαῦτα πεπόνθασί τε καὶ πάσχουσιν. [*τοιοῦτος καὶ νῦν ὁ Βαλὰκ ἀρᾶσθαι θέλων τὸν Ἰσραὴλ κεκατάραται, τῆς μαγικῆς ἐλπίδος περιτραπείσης αὐτῷ*]. παρέοικεν δὲ αὕτη τῇ τοῦ Ἰακὼβ προφητείᾳ, τῷ μὲν «ἐκ βλαστοῦ μου, υἱέ μου, ἀνέβης[12]» τὸ «ἐξελεύσεται ἐκ τοῦ σπέρματος αὐτοῦ[13]» (δῆλον δὲ ὅτι τοῦ Ἰακώβ), τῷ δὲ «αὐτὸς ἔσται προσδοκία ἐθνῶν[14]» τὸ «καὶ κυριεύσει ἐθνῶν πολλῶν[15]», καὶ τῷ «αἱ χεῖρές σου ἐπάνω τῶν ἐχθρῶν σου[16]» τὸ «καὶ ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν[17]», καὶ τῷ «σκύμνος λέοντος Ἰούδα» καὶ τὰ ἑξῆς τὰ παρόντα πάλιν ὡς περὶ λέοντος. [*τὸ δὲ | τὸν Χριστὸν κατακρατήσειν κτλ.*].

---

1. Πρβλ. Ἠσ. 19, 1. 2. Πρβλ. Ματθ. 2, 13-29. 3. Πρβλ. Ἀριθ. 24, 7. 4. Ἰεζ. 38, 3. 5. Πρβλ. Ἀριθ. 24, 8. 6. Κολ. 2, 9. 7. Πρβλ. Ἀριθ. 24, 7 ἑξ. 8. Ῥωμ. 8, 6. 9. Πρβλ. Ματθ. 7, 14. 10. Ἀριθ. 24, 9. 11. Γεν. 1,28. 12. Γεν. 49, 9. 13. Ἀριθ. 24, 7. 14. Γεν. 49, 10. 15. Ἀριθ. 24, 7. 16. Γεν. 49, 8. 17. Ἀριθ. 24, 8.

IV. Προκοπίου εἰς τὸ Δευτερονόμιον 18,15. ἑξ. Πρβλ. Εὐσεβίου, Εὐαγγελικὴ Ἀπόδειξις IX, 11.

ὅτι δὲ Χριστὸς ἦν ὁ νῦν προφήτης λεγόμενος, καὶ οὐκ Ἰησοῦς ὁ τοῦ Ναυή, δῆλον ἐκ τοῦ περὶ τὸ τέλος λέγεσθαι τοῦ Δευτερονομίου· «οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωυσῆς[1]» [*καὶ ἄλλως τε καὶ ἤδη ἦν ἀναστήσας αὐτὸν καὶ συστήσας ἔναντι πάσης τῆς συναγωγῆς*[2], *ὡς ἐν τοῖς Ἀριθμοῖς, ἀλλ' οὔτε νομοθέτης ἐγένετο κατὰ τὸν Μωυσέα οὔτε τῆς ἴσης χάριτος, μέρος δὲ τῆς* | *ἐκείνου παρέλαβεν*]. ὅτι δὲ οὐδὲ ἄλλον τινὰ δηλοῖ τῶν προφητῶν, δῆλον ἐκ τοῦ πολλοὺς γεγονέναι προφήτας, ὡς περὶ ἑνὸς δὲ κατ' ἐξαίρετον λέγεσθαι, ὃν δὴ καὶ κατ' αὐτὸν γενήσεσθαί φησι Μωυσῆς, ὅνπερ καὶ προσδοκῶντες Ἰουδαῖοι μετὰ τοσούτους γεγονότας προφήτας ἠρώτων τὸν Ἰωάννην· «σὺ εἶ ὁ προφήτης;[3]» ὁ δέ φησιν· οὐκ εἰμι, καίτοι προφήτης ὤν. πῶς οὖν κατὰ τὸν Μωυσέα Χριστός, καὶ μείζων ἐκείνου; ὁ μὲν ἠλευθέρωσεν ἐξ Αἰγυπτίων λαὸν ἕνα, Χριστὸς δὲ [*τῆς τοῦ διαβόλου δυναστείας πᾶσαν τὴν γῆν, ὃς ὑποχειρίους πάντας ἔχων ἀνθρώπους νεανιευόμενος ἔλεγεν· «τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ, καὶ οὐκ ἔστιν, ὃς διαφεύξεταί με ἢ ἀντείπει μοι.*[4]*» αὖθις ὁ μὲν τὸν λαὸν διὰ θαλάσσης διεβίβασεν ἐρυθρᾶς καταποντίσας τοὺς Αἰγυπτίους, ὁ δὲ τὰ ἔθνη πάντα διὰ βαπτίσματος, καταποντίσας μετὰ τοῦ διαβόλου τοὺς δαίμονας· ὅπερ ἔτι δηλοῖ καὶ ἡ διὰ τοῦ Ἰορδάνου διάβασις, σώσασα μὲν εὐσεβεῖς, ἀσεβεῖς δὲ διώκοντας φθείρασα. ὁ μὲν μάννα δέδωκεν αἰσθητόν, ὁ δὲ Χριστὸς ἑαυτὸν ἄρτον ἐξ οὐρανοῦ καταβάντα.*[5] *μεσίτης ἦν ὁ Μωυσῆς Ἰσραὴλ καὶ θεοῦ, ἐθνῶν δὲ πάντων καὶ τοῦ πατρὸς ὁ Χριστός·*[6]] νομοθέτης ἐκεῖνος ὑπηρετούμενος τῷ θεῷ, ὁ δὲ κατ' αὐθεντίαν ὡς θεὸς εἰκότως νομοθετεῖ λέγων· «ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις οὐ φονεύσεις. ἐγὼ δὲ λέγω ὑμῖν μηδὲ ὀργίζεσθε εἰκῇ[7]» καὶ τὰ ἑξῆς, ἐφ' οἷς ἐπιλέγεται ὅτι «ἐξεπλήττοντο πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων.[8]» οὗ τὴν νομοθεσίαν οἱ ἐθνικοὶ παρεδέξαντο, διὸ προλέγει Δαβίδ· «κατάστησον, κύριε, νομοθέτην ἐπ' αὐτούς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.[9]» [*ὅπερ ὁ Μωυσῆς οὐκ ἠγνόηκεν, ὡς θεὸς καὶ νομοθέτης ἐστὶν ὁ Χριστός· καίτοι γὰρ περὶ τῶν ἰδίων νόμων εἰπὼν «οὐκ ἔστιν προσθεῖναι καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν*[10]*», ἐννοήσας τὴν τῶν δεσποτικῶν ἀξιωμάτων ὑπεροχὴν παρεγγυᾷ λέγων· «αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἐὰν λαλήσῃ πρὸς ὑμᾶς*[11]*»,* | *τουτέστι κἂν τὸν δι' ἐμοῦ νό-*

1. Δευτ. 34, 10. 2. Πρβλ. Ἀριθ. 27, 22 ἑξ. 3. Ἰω. 1, 21. 4. Ἡσ. 10, 14. 5. Πρβλ. Ἰω. 6, 41. 6. Πρβλ. Α' Τιμ. 2, 5. 7. Ματθ. 5, 21 ἑξ. 8. Μάρκ. 1, 22. 9. Ψαλμ. 9, 21. 10. Ἐκκλ. 3, 14. 11. Δευτ. 18, 15 ἑξ., 19.

μον ἐθέλῃ μεταποιεῖν. ἵνα δὲ μὴ μόνον Μωυσέως ὁ λόγος ὑπάρχῃ, βεβαιοῖ τοῦτον ὁ πατὴρ λέγων· «ὀρθῶς πάντα ὅσα ἐλάλησας. προφήτην ἀναστήσω αὐτοῖς ὥσπερ σέ, καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ.[1]» ἀλλ᾿ ἐρεῖ τις, ὡς καὶ τοῖς ἄλλοις προφήταις ῥῆμα παρέσχεν αὐτός. ἀλλ ἐκεῖνοι μὲν δουλοπρεπῆ τὴν διακονίαν ποιούμενοι «τάδε λέγει κύριος» ἔλεγον, ὁ δὲ ὡς ὢν φύσει θεὸς τῷ μὲν λεπρῷ φησιν· «θέλω, καθαρίσθητι[2]», τῷ δὲ νεανίσκῳ νεκρῷ· «σοὶ λέγω, ἐγέρθητι[3]», καὶ Λαζάρῳ· «δεῦρο ἔξω.[4]» ὡς δὲ δημιουργὸς ἐπετίμα θαλάσσῃ καὶ πνεύμασιν, «σιώπα» λέγων «πεφίμωσο.[5]» ὁρᾷς, πῇ μὲν οὐσιῶδες ῥῆμα, πῇ δὲ κατ' ἔλλαμψιν μερικήν. διό φησιν ὁ Παῦλος· «φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως[6]» τοῦ πατρός.] ἐπήνεγκε δὲ καὶ τῆς ἐνσάρκου παρουσίας τὴν αἰτίαν ὁ Μωυσῆς, αὐτοὺς δείξας τοὺς ἐξ Ἰσραὴλ παραιτησαμένους τὴν ἐν Σινὰ τοῦ θεοῦ διὰ πυρὸς ἐπιφάνειαν λέγοντας Μωυσεῖ· «λάλει πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ θεός, μήποτε ἀποθάνωμεν.[7]» διὸ τῆς εὐλαβείας θεὸς αὐτοὺς ἀποδεξάμενος «προφήτην» φησὶν «αὐτοῖς ἀναστήσω.[8]» ὡς γὰρ ἀσθενεστέροις τῆς κρείττονος θεωρίας τὴν ἀνθρωπίνην αὐτοῖς ἐπιφάνειαν ἐπηγγείλατο. ἀλλ' ἐπεὶ τοῖς ἐκ περιτομῆς ὁ προφήτης ἀναστήσεσθαι προθεσπίζεται, εἰκότως φησὶν ὁ σωτήρ· «οὐκ ἦλθον, εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ.[9]» διὸ καὶ τοῖς ἀποστόλοις παρήγγελλεν· «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ[10]», δηλῶν ὡς αὐτοῖς προηγουμένως κατὰ τὴν προφητείαν ἀπέσταλτο. τοιγαροῦν μὴ δεξαμένων, ἀπελέγχει μὲν αὐτούς, ἐν ἑτέροις λέγων· «διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων[11]», καί φησι πρὸς αὐτούς· «ἀρθήσεται ἀφ' ἡμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.[12]» προστάττει δὲ τοῖς μαθη|ταῖς· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.[13]» τὸ δὲ τῆς νομοθεσίας ὑπερέχον δηλῶν ὁ θεός φησιν· «ὃς ἂν μὴ ἀκούσῃ πάντα ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐκδικήσω ἐξ αὐτοῦ.[14]» ἐκδεδίκηται γ' οὖν ἐκ τοῦ λαοῦ ἐκείνου «πᾶν αἷμα» ἐκχυθὲν ἀπὸ «Ἄβελ ἕως αἵματος Ζαχαρίου[15]» καὶ αὐτοῦ ἐπὶ πᾶσι τοῦ Χριστοῦ, οὗ τὸ αἷμα καθ' ἑαυτῶν καὶ τῶν παίδων ἐξαιτησάμενοι[16] εἰσέτι καὶ νῦν τῆς ἀσεβείας δίκην ὑπέχουσιν. [*καὶ ὃς ἐὰν λαλήσῃ κτλ.*].

1. Δευτ. 18, 17 ἑξ. 2. Μάρκ. 1, 41. 3. Λουκ. 7, 14. 4. Ἰω. 11, 43. 5. Πρβλ. Μάρκ. 4, 39. 6. Ἑβρ. 1, 3. 7. Ἔξ. 20, 19. 8. Δευτ. 18, 18. 9. Ματθ. 15, 24. 10. Ματθ. 10, 17. 11. Ἡσ. 50, 2. 12. Ματθ. 21, 43. 13. Ματθ. 28, 19. 14. Δευτ. 18, 19. 15. Πρβλ. Ματθ. 23, 35. 16. Πρβλ. Ματθ. 27, 25.

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΠΡΟΣ ΤΑ

ΥΠΟ ΦΙΛΟΣΤΡΑΤΟΥ ΕΙΣ ΑΠΟΛΛΩΝΙΟΝ ΤΟΝ ΤΥΑΝΕΑ

ΔΙΑ ΤΗΝ ΙΕΡΟΚΛΕΙ ΠΑΡΑΛΗΦΘΕΙΣΑΝ ΑΥΤΟΥ ΤΕ ΚΑΙ ΤΟΥ ΧΡΙΣΤΟΥ ΣΥΓΚΡΙΣΙΝ *

Ἆρ᾿ οὖν, ὦ φιλότης, κἀκεῖνα σε τοῦ συγγραφέως ἄξιον ἀποθαυμάζειν, ἃ τῷ ἡμετέρῳ σωτῆρί τε καὶ διδασκάλῳ τὸν Τυανέα συγκρίνων παρεδοξολόγει; πρὸς μὲν γὰρ τὰ λοιπὰ τῶν ἐν τῷ Φιλαλήθει, οὕτω γὰρ εὖ ἔχειν αὐτῷ τὸν καθ᾿ ἡμῶν ἐπιγράφειν ἐδόκει λόγον, οὐδὲν ἂν εἴη σπουδαῖον ἐπὶ τοῦ παρόντος ἵστασθαι μὴ αὐτοῦ ἴδια τυγχάνοντα, σφόδρα δὲ ἀναιδῶς ἐξ ἑτέρων οὐκ αὐτοῖς μονονουχὶ νοήμασιν, ἀλλὰ καὶ ῥήμασι καὶ συλλαβαῖς ἀποσεσυλημένα, (ἃ) τύχοι μὲν ἂν καὶ αὐτὰ τῆς προσηκούσης κατὰ καιρὸν ἀπελέγξεως, δυνάμει δ᾿ ἤδη καὶ πρὸ τῆς ἰδίας κατ᾿ αὐτῶν γραφῆς ἀνατέτραπται καὶ προαπελήλεγκται ἐν ὅλοις ὀκτὼ συγγράμμασι τοῖς Ὠριγένει γραφεῖσι πρὸς τὸν ἀλαζονικώτερον τοῦ Φιλαλήθους ἐπιγεγραμμένον Κέλσου Ἀληθῆ λόγον, ᾧ τὰς εὐθύνας ἀπαραλείπτως, ἐν ὅσοις εἰρήκαμεν, ὁ δεδηλωμένος παραγαγὼν συλλήβδην ὅσα εἰς τὴν αὐτὴν ὑπόθεσιν παντί τῳ εἴρηταί τε καὶ εἰρήσεται, προλαβὼν διελύσατο, ἐφ᾿ ἃ τοὺς ἐπ᾿ ἀκριβὲς τὰ καθ᾿ ἡμᾶς διαγνῶναι ἔχοντας φιλαλήθως ἀναπέμψαντες φέρε μόνην ἐπὶ τοῦ παρόντος τὴν κατὰ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τοῦ Φιλαλήθους τουτουὶ λόγου παράθεσιν ἐπισκεψώμεθα μηδέν τι σπουδαῖον ἡγούμενοι πρὸς τὰ λοιπὰ τῶν ἑτέρωθεν ὑποσεσυλημένων αὐτῷ διαμάχεσθαι. μόνα δὲ εἰκότως νυνὶ τὰ περὶ τὸν Ἀπολλώνιον ἐποψόμεθα, ἐπεὶ καὶ μόνῳ παρὰ τοὺς πώποτε καθ᾿ ἡμῶν γεγραφότας ἐξαίρετος νῦν τούτῳ γέγονεν ἡ τοῦδε πρὸς τὸν ἡμέτερον σωτῆρα παράθεσίς τε καὶ σύγκρισις.

Θαυμάζει γοῦν καὶ ἀποδέχεται θείᾳ τινὶ καὶ ἀρρήτῳ σοφίᾳ. οὐχὶ δὲ γοητείας σοφίσμασι τεθαυματουργηκέναι φάσκων αὐτὸν καὶ ταῦτα ἀληθῶς οὕτως ἔχειν ὡς ἔτυχε, πιστεύων καὶ ἀναποδείκτως ἀπισχυριζόμενος. ἄκουε δ᾿ οὖν, ἅ φησιν αὐταῖς συλλαβαῖς «ἄνω δὲ καὶ κάτω θρυλοῦσι σεμνύνοντες τὸν Ἰησοῦν ὡς τυφλοῖς ἀναβλέψαι παρασχόντα καί τινα τοιαῦτα δράσαντα θαυμάσια.»

---

* Κατὰ τὴν ἔκδοσιν C. L. Kayser, Flavii Philostrati Opera. Accedunt, Apollonii Epistolae, Eusebius adversus Hieroclem, Philostrati junioris imagines, Calistrati descriptiones. Lipsiae, In Aedibus B. G. Teubneri MDCCCLXX (1870).

εἶτά τινα μεταξὺ εἰπὼν ἐπιλέγει· «ἐπισκεψώμεθά γε μήν, ὅσῳ βέλτιον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα καὶ ἣν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην.» καὶ ἐπὶ τούτοις τὸν Προκοννήσιον Ἀριστέαν καὶ Πυθαγόραν ὡς ἂν ἀρχαιοτέρους παρελθὼν ἐπιφέρει λέγων· ἀλλ' ἐπὶ τῶν προγόνων ἡμῶν καὶ τὴν Νέρωνος βασιλείαν Ἀπολλώνιος ἤκμασεν ὁ Τυανεύς, ὃς ἐκ παιδὸς κομιδῇ νέου καὶ ἀφ' οὗπερ ἐν Αἰγαῖς τῆς Κιλικίας ἱεράσατο τῷ φιλανθρώπῳ Ἀσκληπιῷ, πολλὰ καὶ θαυμαστὰ διεπράξατο, ὧν τὰ πλείω παρεὶς ὀλίγων ποιήσομαι μνήμην.» εἶτα καταλέγει ἀπὸ πρώτου ἀρξάμενος τὰ παράδοξα, μεθ' ἃ καὶ ἐπιλέγει ταῦτα κατὰ λέξιν· «τίνος οὖν ἕνεκα τούτων ἐμνήσθην; ἵν' ἐξῇ συγκρῖναι τὴν ἡμετέραν ἀκριβῆ καὶ βεβαίαν ἐφ' ἑκάστῳ κρίσιν καὶ τὴν τῶν Χριστιανῶν κουφότητα, εἴπερ ἡμεῖς μὲν τὸν τὰ τοιαῦτα πεποιηκότα οὐ θεόν, ἀλλὰ θεοῖς κεχαρισμένον ἄνδρα ἡγούμεθα. οἱ δὲ δι' ὀλίγας τερατείας τινὰς τὸν Ἰησοῦν θεὸν ἀναγορεύουσι.» τούτοις ἐπιφέρει μεθ' ἕτερα φάσκων· «κἀκεῖνο λογίσασθαι ἄξιον, ὅτι τὰ μὲν τοῦ Ἰησοῦ Πέτρος καὶ Παῦλος καί τινες τούτοιν παραπλήσιοι κεκομπάκασιν ἄνθρωποι ψεῦσται καὶ ἀπαίδευτοι καὶ γόητες, τὰ δὲ Ἀπολλωνίου Μάξιμος ὁ Αἰγιεὺς καὶ Δάμις ὁ φιλόσοφος ὁ συνδιατρίψας αὐτῷ καὶ Φιλόστρατος ὁ Ἀθηναῖος παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντες, τὸ δ' ἀληθὲς τιμῶντες διὰ φιλανθρωπίαν ἀνδρὸς γενναίου καὶ θεοῖς φίλου πράξεις μὴ βουλόμενοι λαθεῖν.» ταῦτα ῥήμασιν αὐτοῖς Ἱεροκλεῖ τῷ τὸν καθ' ἡμῶν ἐπιγεγραφότι Φιλαλήθη λόγον εἴρηται.

Δάμις μὲν οὖν ὁ τὰ πολλὰ ξυνδιατρίψας τῷ Ἀπολλωνίῳ ἀπὸ τῆς Ἀσσυρίων γῆς ὁρμώμενος αὐτόθι τε πρῶτον ἐπὶ τῆς ἰδίας χώρας αὐτῷ συμμίξας τὴν ἐξ ἐκείνου μετὰ τοῦ ἀνδρὸς αὐτῷ γενομένην συνουσίαν ἱστόρησεν, ὁ δὲ Μάξιμος κομιδῇ βραχέα τῶν κατὰ μέρος αὐτῷ πεπραγμένων ἀνεγράψατο, ὅ γε μὴν Ἀθηναῖος Φιλόστρατος τὰ φερόμενα πάντα ὁμοῦ ἀπό τε τῶν Μαξίμου καὶ αὐτοῦ Δάμιδος καὶ ἄλλων συναγαγεῖν ἑαυτὸν φήσας πάντων μάλιστα ἐντελῆ τὴν ἀπὸ γενέσεως καὶ μέχρι τελευτῆς ἱστορίαν τοῦ κατὰ τὸν ἄνδρα βίου πεποίηται.

Εἰ δὴ οὖν ἐξὸν τὴν ἐπικατηγορουμένην ἡμῶν εὐχέρειάν τε καὶ κουφότητα καὶ τὴν τοῦ Φιλαλήθους ἀκριβῆ καὶ βεβαίαν ἐφ' ἑκάστῳ παραθεῖναι κρίσιν, φέρε διαπυθώμεθα, οὐχ ὅστις θειότερος γεγόνει. οὐδ' ὁποῖος θαυμασιώτερά τε καὶ πλείω διεπράξατο παράδοξα, οὐδ' ὡς μόνος παρὰ τοῖς ἀνέκαθεν πρὸ μυρίων ὅσων (ἐτῶν) γενομένοις Ἑβραίων σοφοῖς ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστὸς ἥξειν εἰς ἀνθρώπους κατὰ θείαν ἐπίπνοιαν προπεφήτευτο, οὐδ' ὡς πλείους ἐπὶ τὸν τῆς θείας διδασκαλίας αὐτοῦ λόγον προὐτρέψατο, οὐδ' ὡς γνησίους καὶ ὄντως ἀληθεῖς ἐκτήσατο φοιτητὰς μονονουχὶ καὶ ὑπεραποθνήσκειν ἑτοίμως τῶν λόγων αὐτοῦ παρεσκευασμένους. οὐδ' ὡς μόνος σώφρονος βίου διδασκαλεῖον καὶ ἐς τὸν μετέπειτα χρόνον

συνεστήσατο, οὐδ' ὡς τῇ ἰδίᾳ θεότητί τε καὶ ἀρετῇ πᾶσαν ἔσωσε τὴν οἰκουμένην [καὶ] εἰσέτι καὶ νῦν μυρία πλήθη πανταχόθεν ἐπὶ τὴν θείαν ἑαυτοῦ διδασκαλίαν ἐπαγόμενος, οὐδ' ὡς τῶν πώποτε μόνος πρὸς ἁπάντων σχεδὸν εἰπεῖν ἀνθρώπων ἀρχόντων τε καὶ ἀρχομένων πλείστοις ἔτεσιν ἤδη πολεμούμενος κρείττων καὶ πολὺ δυνατώτερος τῶν πικρῶς ἐλαυνόντων ἀπίστων ἀποδέδεικται θείᾳ καὶ ἀρρήτῳ δυνάμει τοὺς μὲν κατὰ καιρὸν ἐπανισταμένους αὐτοῦ τῇ θείᾳ διδασκαλίᾳ ῥᾳδίως μετιών, τὸν δὲ παγέντα πρὸς αὐτοῦ καὶ παραδοθέντα θεῖον λόγον εἰς ἄπειρον αἰῶνα καθ' ὅλης κρατύνων τῆς οἰκουμένης, οὐδ' ὡς εἰσέτι καὶ νῦν τῆς ἐνθέου δυνάμεως τὴν ἀρετὴν ἐπιδείκνυται μοχθηρούς τινας καὶ φαύλους δαίμονας ψυχαῖς ἀνθρώπων καὶ σώμασιν ἐφεδρεύοντας ἀπελαύνων διὰ μόνης τῆς ἀρρήτου προσηγορίας αὐτοῦ ὡς αὐτῇ πείρᾳ κατειλήφαμεν, ταῦτα γὰρ περὶ τὸν 'Απολλώνιον ζητεῖν μὴ καὶ τὸ ἐρωτᾶν ἀνόητον· μόνην δὲ ἐπισκεψώμεθα τὴν τοῦ Φιλοστράτου γραφήν, δι' ἧς εὐθυνοῦμεν, ὡς οὐχ ὅτι γε ἐν φιλοσόφοις, ἀλλ' οὐδὲ ἐν ἐπιεικέσι καὶ μετρίοις ἀνδράσιν ἄξιον ἐγκρίνειν, οὐχ ὅπως τῷ σωτῆρι ἡμῶν Χριστῷ παρατιθέναι τὸν 'Απολλώνιον ὅσον ἐπὶ τῇ γραφῇ τοῦ παρὰ τῷ Φιλαλήθει παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντος, τὸ δ' ἀληθὲς μὴ τιμῶντος συγγραφέως. τοιοῦτος γὰρ ἦν αὐτῷ μετὰ τῶν ἄλλων καὶ ὁ 'Αθηναῖος Φιλόστρατος. ἐξ οὗ ῥᾳδίως ἂν καταμάθοιμεν καὶ τῶν λοιπῶν τῶν κατ' αὐτὸν παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἡκόντων, αὐτὸ δὲ τὸ ἐξητασμένως μὴ ἀπηκριβωμένων τῆς κατὰ τὸν 'Απολλώνιον ἱστορίας. τούτων γὰρ ἡμῖν διευκρινηθέντων ὁμοῦ τοῦ τε Φιλαλήθους τὰ ἀνωτάτω τε καὶ καθ' ὅλων δικαστήρια διειληφότος ἡ κατὰ Χριστιανῶν βεβαία καί, ὡς αὐτὸς ἑαυτῷ δοκεῖ, ἀκριβὴς ἐφ' ἑκάστῳ κρίσις φανερὰ καταστήσεται ἡμῶν τε αὖ, οἱ μωροὶ καὶ βεβουκολημένοι νενομίσμεθα παρ' αὐτοῖς, ἡ πρὸς αὐτῶν ἐπικαλουμένη εὐχέρειά τε καὶ κουφότης.

Ἄλλος μὲν οὖν ὁμόσε χωρῶν αὐτόθεν διέβαλλεν ἂν βλασφημῶν ὡς ἐχθρὸν αὐτῷ καὶ πολέμιον τὸν καθ' οὗ τὸν λόγον ἐποιεῖτο, ἐγὼ δέ, ἑταῖρε, σοφόν τινα τὰ ἀνθρώπινα τὸν Τυανέα γεγονέναι ἡγούμην καὶ ἔτι γε (τῆς) αὐτῆς ἔχεσθαι διανοίας ἑκὼν εἶναι βουλοίμην καί σοι τὴν αὐτὸς ἐμαυτοῦ περὶ αὐτοῦ δόξαν ἐκθείην ἂν ἐρωτῶντι· φιλοσόφων μὲν ὅτῳ τις βούλοιτο (συγ)καταλέγειν τὸν ἄνδρα πέρα μηδὲν διενοχλῶν ταῖς περὶ αὐτοῦ μυθολογίαις, μὴ φθονεῖν, εἰ δ' ὑπερπηδᾶν τοὺς ὅρους καὶ φιλοσοφίας ὑπέρτερα φρονεῖν εἴτε τις Δάμις 'Ασσύριος, εἴτε Φιλόστρατος, εἴτε τις συγγραφεὺς ἢ λογογράφος θρασύνοιτο λόγῳ μὲν ἐκτρεπόμενος γοητείαν, ἔργοις δὲ πλέον ἢ ῥήμασιν ἐπιφορτίζων τὸν ἄνδρα προσωπείου δίκην τὴν Πυθαγόρειον ἐπιμορφαζόμενος ἀγωγήν, οἰχήσεται μὲν ἡμῖν ὁ φιλόσοφος, ὄνος δ' ἀντὶ τοῦ λέοντος ἐπικρυπτόμενος δέρρει σοφιστής τις ὡς ἀληθῶς ἀγείρων κατὰ τὰς πόλεις αὐτό τε τοῦτο γόης ἀτεχνῶς ἀντὶ

φιλοσόφου φωραθήσεται. πῶς δὲ τοῦτό φημι καὶ πόθεν ὁρμώμενος, ἐρωτᾷς; μάνθανε· ὅροι φύσεως ἀρχὰς καὶ μέσα καὶ τέλη τῆς τῶν ὅλων οὐσίας περιειληφότες μέτρα καὶ θεσμοὶ ἅπασι, δι' ὧν τόδε τὸ πᾶν μηχάνημά τε καὶ ἀρχιτεκτόνημα τοῦ παντὸς κόσμου τελεσιουργεῖται, διατέθεινται νόμοις ἀλύτοις καὶ δεσμοῖς ἀρρήκτοις τῆς τὰ πάντα οἰκονομούσης προνοίας τὸ πάνσοφον βούλημα διαφυλάττοντες. οὔκουν κινήσειέ τι καὶ μεταθείη (τις ἂν) τῆς τάξεως τῶν ἅπαξ διατεθειμένων. κεκράτηται δ' οὖν θεσμῷ φύσεως τὸν θεῖον ὑπεραναβαίνειν νόμον πᾶς, ὅτῳ τις θρασύτερος τῶν ἐπέκεινα (ἐπι) βαίνειν ἔνεστι πόθος. οὔτ' οὖν παρὰ φύσιν ὁ ἔνυδρος ἐπὶ τὴν χέρσον μεταβὰς βιῶναι δυνήσεται ἰχθύς, οὔτε τὸ ἐν χέρσῳ τραφὲν τοῖς ὕδασιν ἐγκαταδύσεται τὴν ἐκεῖσε διηνεκῆ μονὴν ἀσπαζόμενον, οὔτε μέγα πηδήσας μετέωρός τις τῶν ἐπὶ γῆς ἀρθήσεται πρὸς ἀέρα συμπεριπολεῖν ἀετοῖς ἐπιθυμῶν. καὶ μὴν ἐκεῖνοί γε κἂν ἐπὶ γῆς ἔλθοιεν βρίσαντες ἐπὶ τὸ κάτω τὴν δύναμιν καὶ τοῦ πτεροῦ χαλάσαντες καὶ ἀνέντες τὴν φύσιν, ἐπεὶ καὶ τοῦτο θείοις ὥρισται νόμοις, (ἐκ) τοῦ ὕψους τὸ μετέωρον ὑποκαταβαίνειν δύνασθαι, οὐ μὴν καὶ ἔμπαλιν τὸ ταπεινὸν καὶ γεῶδες ἐπὶ τὸ μετέωρον αἴρεσθαι. ταύτῃ δὴ καὶ τὸ θνητὸν ἀνθρώπων γένος ψυχῆς μετέχον καὶ σώματος ὅροις περιγέγραπται θείοις. οὔτ' οὖν τῷ σώματι δι' ἀέρος ἔλθοι ποτὲ τῶν ἐπὶ γῆς τις καταφρονήσας διατριβῶν μὴ οὐχὶ τοὐπιτίμιον αὐτίκα τῆς ἀνοίας παρασχών, οὔτε τὴν ψυχὴν ἀρθεὶς φρονήματι καθίξεται τῶν ἀνεφίκτων, ἢ μελαγχολίας νοσήματι ἂν περιπέσοι. σωφρονοῖ δ' ἂν ἀρτίοις μὲν τὸ σῶμα ποσὶν ἐπὶ γῆς φερόμενος, τὴν δὲ ψυχὴν παιδείᾳ καὶ φιλοσοφίᾳ σκηρίπτων, εὔξαιτο δὲ καί τινα συνεργὸν ἄνωθέν ποθεν ἐκ τῶν κατ' οὐρανὸν διατριβῶν ἐλθεῖν καὶ τῆς ἐκεῖσε διδάσκαλον αὐτῷ φανῆναι σωτηρίας. ἐρρωμένῳ γάρ τοι παραδείγματι νοσοῦντι μὲν τὸν ἰατρὸν ἐπιφοιτᾶν θέμις, καὶ τὸν διδάσκαλον εἰσαγομένῳ τοῖς μαθήμασι συμφέρεσθαι καὶ τὸν ἄνω που καὶ ἐν ὕψει συγκατιέναι τοῖς ταπεινοῖς, οὐ μὴν καὶ ἀνάπαλιν. ὅθεν δὴ θείαν μὲν φύσιν εὐεργέτιν οὖσαν καὶ σώτειραν καὶ προνοητικὴν τῶν (ἐπι)όντων ἀνθρώποις ποτὲ εἰς ὁμιλίαν ἐλθεῖν οὐδεὶς ἂν ἀπείργοι λόγος ὅρῳ θείας προνοίας καὶ τούτου συγκεχωρημένου, ἀγαθὸς γὰρ ἦν κατὰ τὸν Πλάτωνα, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς ἐγγίνεται φθόνος· οὔκουν σωμάτων μόνων ἀγαθὸς ὢν ὁ τόδε τὸ πᾶν διακυβερνῶν ἐπιμελήσεται, πολὺ πλέον δὲ ψυχῶν, αἷς τὸ ἀθάνατόν τε καὶ αὐτοκρατορικὸν κεχάρισται γέρας. ταύταις δῆτα οἷα τῆς οἰκονομίας ἁπάσης κύριος ὢν καὶ χαρίτων, ὧν ἂν δωρούμενος αὐτὰς εὐεργετῇ τὴν φύσιν οὔσαις ἀντιληπτικαῖς ἀκτῖνας ὥσπερ τοῦ παρ' ἑαυτοῦ φωτὸς δωρήσεται ἀφθόνως τῶν ἀμφ' αὐτόν, ἔστιν ὅτε τοὺς μάλιστα προσεχεῖς εἰς τὴν τῶν ἐπίταδε σωτηρίαν τε καὶ ἀντίληψιν ἐκπέμπων, ὧν εἴ τῳ εὐτυχῆσαι γένοιτο, τὴν διάνοιαν οὗτος ἀποκαθαρθεὶς καὶ τὴν τῆς θνητότητος ἀποσκεδάσας ἀχλὺν θεῖος ἀληθῶς ἀναγραφήσεται μέγαν τινὰ θεὸν

ἀγαλματοφορῶν (ἐν) τῇ ψυχῇ. κινήσειε δῆτ' ἂν οἷα τηλικοῦτος τὸ πάντων ἀνθρώπων γένος καὶ μᾶλλον ἡλίου τὴν οἰκουμένην καταλάμψειε τοὔργον τῆς αἰδίου θεότητος καὶ εἰς τὸν ἐπιόντα συνορᾶσθαι καταλείπων χρόνον οὐ μεῖον τῶν ἐξ ἀψύχου ὕλης δημιουργημάτων τὸ τῆς ἐνθέου παράδειγμα φύσεως παρεσχημένος. καὶ ταύτῃ μὲν ἀνθρωπεία φύσις τῆς ὑπὲρ ἄνθρωπον κοινωνῆσαι ἄν, ἄλλως δ' οὐ θέμις τοὺς ὅρους ὑπερβαίνειν, οὐδ' ἄπτερον ἔχοντα τὸ σῶμα τὰ τῶν πτηνῶν ἐπιτηδεύειν, οὐδ' ἄνθρωπον ὄντα τὰ τῶν δαιμόνων πολυπραγμονεῖν.

Τίνα δῆτα ἡμῖν ἐπὶ τούτοις τὸν Ἀπολλώνιον εἰσάγεις, ὦ συγγραφεῦ; εἰ μὲν δὴ θεῖον καὶ φιλοσόφου κρείττονα τήν τε φύσιν ἁπλῶς εἰπεῖν ὑπὲρ ἄνθρωπον, τήρει μοι δι' ὅλης τῆς ἱστορίας τὴν ὑπόθεσιν καὶ τοὔργον εἰσέτι νῦν ἐπιδείκνυθι τῆς θειότητος. ἦ γὰρ οὐκ ἀτοπώτατον τεκτόνων μὲν καὶ οἰκοδόμων καὶ μετὰ τὴν τῶν δημιουργῶν τελευτὴν ἐπὶ μήκιστον τοὔργον διαρκεῖν ἀθάνατόν που σχεδὸν τῶν συστησαμένων τὴν μνήμην στηλιτεῦον, θείαν δὲ ἄρα φύσιν ἀνθρώποις ἐπιλάμψασαν σκότιόν που καὶ μινυνθάδιον ἀποτελεῖν, οὐχὶ δὲ εἰς αἰῶνα τὴν ἀρετὴν ἐπιδείκνυσθαι, μὴ εἰς ἕνα τινὰ Δάμιν ἢ καὶ ἄλλους βραχεῖς πτωχεύουσαν τῶν ἀνθρώπων, ἀλλ' εἰς μυρίων ὅσων ὠφελείας οὐ τῶν καθ' ὃν (χρόνον) ἐγνωρίζετο μόνων, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γενησομένων τὴν πάροδον ποιουμένην; ταύτῃ τοι καὶ τοὺς πάλαι σοφοὺς ζηλωτάς τε καὶ διαδόχους ποιήσασθαι τῆς ἀρετῆς ἀθάνατον ὡς ἀληθῶς ἀνθρώποις παρεσχημένους τὸ κατόρθωμα. εἰ δὲ θνητὴν ὑπογράφεις τἀνδρὸς τὴν φύσιν, ὅρα μὴ πλέον, ἢ προσῆκε, ταύτῃ χαριζόμενος δίκην ἀποίσεις παραλογίας. ἀλλὰ μὴν εἰσῆκται αὐτῷ θεῖος ἄνθρωπος καὶ θαλαττίου δαίμονος σχῆμά τε καὶ προσωπεῖον ἀπὸ γενέσεως ἀναλαμβάνων. «κυούσῃ γάρ», ὥς φησι, τῇ αὐτοῦ μητρὶ φάσμα ἦλθε θαλαττίου δαίμονος, Πρωτεὺς ὁ παρὰ τῷ Ὁμήρῳ ἐξαλλάττων. ἡ δὲ οὐδὲν δείσασα ἤρετο αὐτόν, τί ἀποκυήσοι, ὁ δὲ «ἐμὲ» εἶπε· «σὺ δὲ τίς» εἰπούσης «Πρωτεὺς» ἔφη «ὁ Αἰγύπτιος.» εἶτα δὲ λειμῶνά τινα, καὶ κύκνους τὴν γυναῖκα μαιεύεσθαι γράφει, ὁπόθεν αὐτὸ τοῦτ' εἴη ληφθέν, μὴ εἰπών· οὐ γὰρ δὴ καὶ τούτου ὑφηγητὴν Δάμιν τὸν Ἀσσύριον ὑπογράφεται. ἀλλὰ καὶ οὐκ ἐς μακρὸν τῆς αὐτῆς ἱστορίας αὐτῷ Δάμιδι οἷα δὴ θείας ὄντα φύσεως τὸν Ἀπολλώνιον εἰσάγει αὐτὰ δὴ ταῦτα λέγοντα· «ἐγώ, ὦ ἑταῖρε, πασῶν τῶν φωνῶν ξυνίημι μαθὼν οὐδεμίαν·» καὶ «μὴ θαυμάσῃς, οἶδα γὰρ καὶ ἃ σιωπῶσιν οἱ ἄνθρωποι.» καὶ πάλιν ἐν Ἀσκληπιοῦ τιμώμενον πρὸς τοῦ δαίμονος καὶ πρόγνωσιν φυσικήν τινα καὶ ἀδίδακτον ἔχειν ἐκ παιδὸς κρείττονά τε ἀτεχνῶς ἀνθρώπου φῦναι αὐτὸν ἐξ αὐτῆς γενέσεως καὶ δι' ὅλης ἡμῖν τῆς ἱστορίας ὑπογράφει. λύσαντος γοῦν ἑαυτόν ποτε ἀπὸ δεσμῶν ἐπιφέρει λέγων· «τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου. μὴ γὰρ θύσαντά τι, πῶς γὰρ ἐν δεσμωτηρίῳ;

μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ.» ἐπὶ τελευτῇ δὲ τάφον μὲν αὐτοῦ μηδόλως ποι γῆς εὑρίσκεσθαι, χωρῆσαι δὲ εἰς οὐρανὸν αὐτῷ σώματι μεθ' ὕμνων καὶ χορείας λέγει. εἰκότως δὴ οὖν οἷα ὄντα τοσοῦτον «θειότερον ἢ Πυθαγόρας Ἐμπεδοκλῆς τε καὶ Πλάτων φιλοσοφίᾳ τὸν ἄνδρα προσεληλυθέναι φησίν. οὐκοῦν ἐν θεοῖς ἡμῖν διὰ τούτων ἀναγεγράφθω ὁ ἄνθρωπος καὶ ὁ φθόνος ἀπέστω τῆς τῶν φωνῶν ἁπασῶν αὐτοφυοῦς καὶ αὐτοδιδάκτου συνέσεως. τί δῆτα οὖν ἐς διδασκάλου ἄγει αὐτὸν καὶ τὸν μηδεμίαν φωνὴν μεμαθηκότα διαβάλλει ὡς ἂν ἐξ ἀσκήσεως καὶ μελέτης, ἀλλ' οὐκ ἐκ φύσεως Ἀττικὸν γενόμενον τὴν γλῶτταν; φησὶ γάρ τοι, ὡς προϊὼν ἐς ἡλικίαν γράμματά τε καὶ μνήμης ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος καὶ ἡ γλῶττα αὐτῷ ἀττικῶς εἶχε.» καὶ «γεγονότα δὲ αὐτὸν ἔτη τεσσαρεσκαίδεκα ἄγει ἐς Ταρσοὺς ὁ πατὴρ παρ' Εὐθύδημον τὸν ἐκ Φοινίκης, ὃς ῥήτωρ τε ἀγαθὸς ἦν καὶ ἐπαίδευε τοῦτον, ὁ δὲ τοῦ διδασκάλου εἴχετο.» εἶτα «ξυνεφιλοσόφουν αὐτῷ Πλατώνειοί τε καὶ Χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ περιπάτου. διήκουε δὲ καὶ τῶν Ἐπικούρου λόγων, οὐδὲ γὰρ τούτους ἀπεσπούδαζε, τοὺς δὲ Πυθαγορείους ἀρρήτῳ τινὶ σοφίᾳ ξυνελάμβανε.» τοσαῦτα ὁ μηδεμίαν μαθὼν φωνὴν θείᾳ τε δυνάμει «ἃ καὶ σιωπῶσιν ἄνθρωποι» προλαβὼν ἐξεπαιδεύετο. ὁ δὲ διαλιπὼν αὖθις αὐτὸν θαυμάζει, ἐς ὅσον συνέσεως τῆς τῶν ζῴων φωνῆς ἦλθε καὶ ἐπιφέρει λέγων «καὶ ἐς ξύνεσιν δὲ τῆς τῶν ζῴων φωνῆς ἦλθε, καὶ ἔμαθε δὲ τοῦτο διὰ τῶν Ἀραβίων πορευόμενος ἄριστα γιγνωσκόντων τε καὶ πραττόντων αὐτό. ἔστι γὰρ τῶν Ἀραβίων κύκνων ἤδη καὶ ὀρνίθων μαντευομένων ἀκούειν, ὁπόσα οἱ χρησμοί. ξυμβάλλονται δὲ τῶν ἀλόγων σιτούμενοι τῶν δρακόντων οἱ μὲν καρδίαν φασίν, οἱ δὲ ἧπαρ.» ἐνταῦθα πάντως που δρακόντων καρδίας δήπου καὶ ἥπατος τὸν Πυθαγόρειον ἐμψύχων τε τροφῆς ἀπεχόμενον καὶ μηδὲ θύειν δαίμοσιν ἐπιτολμῶντα εἰκὸς ἦν ἀπογεύσασθαι, ὡς ἂν καὶ τῆς παρὰ τούτοις κοινωνήσοι σοφίας. πρὸς γὰρ τοιῶνδε διδασκομένῳ πῶς ἂν ἄλλως μὴ οὐχὶ τὰ ὅμοια τοῖς διδασκάλοις ζηλώσαντι κατωρθοῦτο τὸ ἐπιτήδευμα; ἔχομεν δὴ οὖν πρὸς τοῖς καταλελεγμένοις καὶ τοὺς Ἀραβίων σοφοὺς διδασκάλους τῆς κατὰ τὴν οἰωνιστικὴν τἀνδρὸς ἐπιστήμης, ἀφ' ἧς εἰκότως ὁρμώμενος ὕστερόν ποτε τὸν στρουθόν, ὅ τι καὶ βούλοιτο συγκαλῶν τοὺς ἑτέρους ἐπὶ τροφήν, προειπὼν θαῦμα μέγιστον παρέχειν ἔδοξε τοῖς παροῦσι. ταύτῃ δὴ καὶ τὴν ἀπεσφαγμένην ὅσον οὔπω λέαιναν ἅμα τοῖς ὀκτὼ σκύμνοις κατὰ τὴν εἰς Ἀσσυρίους ὁδὸν θεασάμενος αὐτίκα τῷ θεάματι συμβαλὼν τῆς ἐσομένης αὐτῷ παρὰ Πέρσαις διατριβῆς τὸν χρόνον ἐμαντεύσατο. ἀκόλουθα δὲ τῇ παρὰ τοῖς Ἀραβίοις φοιτήσει ἐγχειρεῖν αὐτὸν καὶ παρὰ Πέρσαις ὁ αὐτὸς συγγραφεὺς ἱστορεῖ· τῷ γάρ τοι Δάμιδι, ὃς μόνος φοιτητὴς ἦν αὐτῷ καὶ ἑταῖρος, ἀπαγορεύσας παρὰ τοὺς μάγους ἰέναι μόνος αὐτὸς ὡς ἂν μὴ μετ' ἀγνώμονος δηλαδὴ τὰ τῆς μαγείας μανθάνοι, μεσημβρίας τε καὶ ἀμφὶ μέσας

νύκτας τὰς μετ' αὐτῶν ἐποιεῖτο σχολὰς ἔτι δὲ Οὐαρδάνῃ Βαβυλωνίῳ εἰς λόγους ἐλθόντα βασιλεῖ ὧδέ πως λέγειν αὐτὸν παρατίθεται· «σοφία δέ μοι Πυθαγόρου Σαμίου ἀνδρός, ὃς θεούς τε θεραπεύειν ὧδέ με ἐδιδάξατο καὶ ξυνιέναι σφῶν ὁρωμένων τε καὶ οὐχ ὁρωμένων φοιτᾶν τε ἐς διαλέξεις θεῶν.» τίς δ' αὐτῷ ταῦτα συγχωρήσειεν, ὅτε Πυθαγόρᾳ μὲν οὐδεμία τις τοιαύτη καταλέλειπται γραφή, οὐδ' ἀπόρρητά τινα συγγράμματα, ὡς κἂν ὑπονοῆσαι αὐτὸν ἐξ ἐκείνων ὁρμᾶσθαι. ὁ δέ γε διδάσκαλος αὐτῷ τῆς κατὰ Πυθαγόραν φιλοσοφίας οὐδέν τι διαφέρειν τῶν Ἐπικουρείων πρὸς αὐτοῦ μεμαρτύρηται τοῦ Φιλοστράτου ὧδέ πως εἰρηκότος «διδάσκαλος μὲν ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων οὐ πάνυ σπουδαῖος, οὐδ' ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος, γαστρός τε ἥττων καὶ ἀφροδισίων καὶ κατὰ τὸν Ἐπίκουρον ἐσχημάτιστο. ἦν δὲ οὗτος Εὔξενος ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου. τὰς δὲ Πυθαγόρου γνώμας ἐγίγνωσκεν, ὥσπερ οἱ ὄρνιθες ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων. «φεῦ τῆς ἀτοπίας, εἰ παρὰ τούτου λέγοι τις τῆς πρὸς τοὺς θεοὺς διαλέξεως τὴν σύνεσιν αὐτὸν εἰληφέναι. ἀλλὰ δὴ συγκεχωρήσθω καὶ ἑτέρων ὑφηγητῶν αὐτὸν ἀκηκοέναι καίτοι γε τοῦ συγγραφέως τοῦτο μηδαμῶς ἐπισημηναμένου· τίς δὴ οὖν τούτων σύνεσίν τε καὶ φοίτησιν (εἰς διαλέξεις) θεῶν ὁρωμένων καὶ οὐχ ὁρωμένων αὐτός τε ὡς ἀπὸ Πυθαγόρου (μαθὼν) εἰδέναι διδάσκεσθαί τε ἑτέρους ἐπηγγέλλετο; καὶ μὴν οὐδ' ὁ περιβόητος Πλάτων πάντων γε μᾶλλον τῆς Πυθαγόρου κεκοινωνηκὼς φιλοσοφίας, οὔτ' Ἀρχύτας, οὔτ' αὐτὸς ἐκεῖνος ὁ τὰς Πυθαγόρου γραφῇ παραδοὺς ὁμιλίας Φιλόλαος, οὐδ' εἴ τινες ἄλλοι γνώριμοι τἀνδρὸς γεγονότες, οἳ δόξας τε αὐτοῦ καὶ γνώμας γραφῇ τοῖς μετ' αὐτὸν παραδεδώκασιν, ἐπὶ τοιαύτῃ τινὶ ἐσεμνύναντο σοφίᾳ. οὐκοῦν ἑτέρωθεν, ἀλλ' οὐκ ἀπὸ Πυθαγόρου τὰ τοιαδὶ μαθὼν προσχήματι σεμνολογῶν ἐπιγράφεται τὴν τοῦ φιλοσόφου πρόσρησιν, ἵνα δὲ καὶ παραλογώτατα τὸ ψεῦδος ὡς ἀληθές τις γεγονέναι συγχωρήσειεν, οὐκ οἶδ' ὅπως ἐξ αὐτοῦ λέγων ἐκείνου τοῦ Σαμίου πρὸ μυρίων ὅσων ἐτῶν ἐξ ἀνθρώπων γενομένου τὰ περὶ τούτων αὐτὸν μεμαθηκέναι. οὐκοῦν πρὸς τοῖς Ἀραβίοις καὶ τοῦτον διδάσκαλον αὐτοῦ τῆς δὴ νομιζομένης ἀπορρήτου περὶ θεῶν ἐπιστήμης ἐπιγραπτέον. εἰ δὴ οὖν θείας ἦν φύσεως, κατέψευσται αὐτοῦ τοὺς διδασκάλους ὁ λόγος, εἰ δ' ἀληθὴς ἦν οὗτος, ψευδὴς ἦν ὁ μῦθος καὶ οὐκ ἀληθὴς ἡ περὶ τοῦ θεῖον γεγονέναι αὐτὸν γραφή. οὔπω μοι τοῦ Πρωτέως τὸ φάσμα πολυπραγμονεῖν ἔπεισι καὶ τὴν περὶ τούτου πίστιν αἰτεῖν, οὐδὲ τῶν παρ' αὐτῷ κύκνων τὰς ἀποδείξεις, οὓς γελοίως τὴν μητέρα τίκτουσαν αὐτὸν μαιοῦσθαι ἱστορεῖ, ἀλλ' οὐδὲ τῆς περὶ τοῦ σκηπτοῦ μυθολογίας τὸν μάρτυρα παρέχειν ἀξιῶ, οὐ γὰρ δὴ καὶ τούτων, ὡς ἔφην, Δάμις ἡμῖν συνίστωρ ἀφίξεται, μακρῷ ὕστερον ἐν Νίνῳ τῆς Ἀσσυρίας τἀνδρὶ συνάψας. ἐγὼ μὲν οὖν εὖ μάλα προθύμως τοῖς εἰκόσι τε καὶ ἀληθείας ἐχομένοις πειθόμενος, εἰ καὶ μείζονά τινα καθ' ὑπερβολὴν ἐς ἔπαινον ἀνδρὸς

ἀγαθοῦ λέγοιτ' ἄν, πιστὰ καὶ παραδεκτέα εἶναί μοι δοκῶ, ὅτι μὴ μόνα τὰ τερατώδη καὶ λήρου πλέα. οὔκουν φθονοίην, εἴ φησιν ὁ συγγραφεὺς γένος τε ἀρχαῖον καὶ τῶν οἰκιστῶν ἀνημμένον τῷ ἀνδρὶ γεγονέναι καὶ πλουτῶν εἰ οὕτως ἔτυχεν ὑπὲρ τοὺς ἐγχωρίους ἅπαντας διδασκάλων τε νέον ὄντα οὐ μόνον τῶν δεδηλωμένων τυχεῖν, ἀλλ', εἰ δοκεῖ, καὶ τούτων αὐτὸν διδάσκαλον καὶ καθηγητὴν γεγονέναι. ἔστω δ' ἐπὶ τούτοις ἐντρεχὴς καὶ τὰ κοινά, ὡς τὸν εἰς Ἀσκληπιοῦ θεραπείας χάριν ἀφιγμένον διὰ γνώμης ἀρίστης ἀπαλλάξαι τῆς ἀρρωστίας, νοσοῦντι γὰρ δὴ ὑδέρου πάθει κατάλληλον ἐγκρατείας ὑποθέσθαι δίαιταν τῷ κάμνοντι καὶ ταύτῃ αὐτὸν ὑγιᾶ καταστῆσαι καὶ τούτῳ γε τῆς φρονήσεως ἀποδεκτὸν τὸ μειράκιον, καὶ ὡς τὸν πολυτελῶς θύειν παρεσκευασμένον εἶρξεν οἷα εἰκὸς ἐπὶ κακίᾳ διαβεβοημένον, καὶ γὰρ δὴ τῶν ἐγχωρίων ἁπάντων πλουσιώτατόν τε καὶ περιφανέστατον αὐτὸν ὑποτίθεται. καὶ ἐν σώφροσι δι' αὐτὸν φθόνος οὐδεὶς ἐγγράφειν, ὅτι τε πρὸς τὸν ἐραστὴν πειρώμενον αὐτοῦ τῆς ὥρας διελοιδορήσατο καὶ γυναικείας ὅτι καθαρὸν ἑαυτὸν μίξεως διὰ τέλους, ὡς ὁ λόγος φησίν, ἤγαγε. πιστὰ δ' ἔστω καὶ τὰ τῆς πενταετοῦς κατὰ Πυθαγόραν σιωπῆς αὐτοῦ, καὶ τά, ὅπως ταύτην διήνυσεν, ἐπαίνου ἄξια. ταῦτα δὴ καὶ ὅσα τοιαῦτα ἀνθρώπινα καὶ ὡς ἀληθῶς φιλοσοφίας καὶ ἀληθείας οὐ πόρρω δεχοίμην ἂν περὶ πολλοῦ τὸ εὔγνωμόν τε καὶ φιλάληθες τιμώμενος, τό γέ τοι κρεῖττον ἀνθρώπου τὴν φύσιν ὑποτίθεσθαι καὶ παρὰ πόδας ἐναντιολογεῖν τῆς τε δοθείσης ἀμνημονεῖν ὑποθέσεως, ἔχειν ψόγον ἂν καὶ διαβολὴν αὐτῷ τε τῷ γράφοντι καὶ πολὺ πρότερον τῷ γραφομένῳ περιάψειν ἡγοῦμαι.

Καὶ ταῦτα μὲν ἀπὸ τοῦ πρώτου συγγράμματος. ἐπίωμεν δὲ καὶ τὰ ἐκ τοῦ δευτέρου. τὴν ἀπὸ Περσίδος ἐπ' Ἰνδοὺς πορείαν ἄγει παραλαβὼν αὐτὸν ὁ λόγος. εἶτά τι πεπονθὼς ἀπειρόκαλον. [ὥσπερ τι παράδοξον,] δαιμόνιόν τι, ὃ καὶ ἔμπουσαν ὀνομάζει, κατὰ τὴν ὁδὸν ἰδόντα λοιδορίαις ἅμα τοῖς ἀμφ' αὐτὸν ἀπελάσαι φησί, καὶ ζῴων δὲ εἰς τροφὴν αὐτοῖς προσαχθέντων εἰρηκέναι αὐτὸν τῷ Δάμιδι, ὡς ἄρα συγχωροίη αὐτῷ τε καὶ τοῖς ἑταίροις σιτεῖσθαι τῶν κρεῶν, τὸ γὰρ ἀπέχεσθαι αὐτῶν αὐτοῖς μὲν εἰς οὐδὲν ὁρᾶν προβαῖνον, ἑαυτῷ δὲ εἰς ἃ ὡμολόγηται πρὸς φιλοσοφίαν ἐκ παιδός. καίτοι τίς οὐκ ἂν ἀπορήσειεν, ὅτι μηδ' αὐτόν, ὃν μόνον ἐδόκει τοῦ βίου ζηλωτὴν κεκτῆσθαι καὶ προὔτρεπεν ἐπὶ φιλοσοφίαν, εἶργεν οἷα φίλτατον τῆς τῶν ἐμψύχων, ὡς ἂν οὐχ ὁσίας κατὰ Πυθαγόραν τροφῆς, ὁ δ' οὐκ οἶδ' ὁποίῳ λόγῳ λέγων μὲν οὐ συνοίσειν ἑαυτῷ, κείνοις δ' οὐδὲν ὁρᾶν ἀπὸ τῆς ἀποχῆς προβαῖνον ὡμολόγει; ἐπὶ τούτοις ὁ Φιλόστρατος ὁ τἀληθὲς τιμᾶν πρὸς τοῦ Φιλαλήθους μεμαρτυρημένος, ὅρα τῆς ἀληθείας ὁποῖα δείγματα παρίστησι· γενόμενον παρ' Ἰνδοῖς τὸν Ἀπολλώνιον παραστήσασθαί φησιν ἑρμηνέα καὶ δι' αὐτοῦ προσδιαλέγεσθαι Φραώτῃ, τοῦτο δ' εἶναι τῷ βασιλεῖ τῶν Ἰνδῶν ὄνομα, καὶ ὁ μικρῷ πρόσθεν κατ' αὐτὸν πασῶν γλωσσῶν συνεὶς νῦν αὖ κατὰ τὸν αὐτὸν

ἑρμηνέως δεῖται. καὶ πάλιν ὁ (τὰ) κατὰ διάνοιαν ἀνθρώπων εἰδὼς καὶ μόνον οὐχὶ κατὰ τὸν παρ' αὐτοῖς θεὸν

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

δι' ἑρμηνέως ἀνερωτᾷ, ὁποία τις εἴη τῷ βασιλεῖ δίαιτα, ἡγεμόνα τε ἀξιοῖ τῆς ἐς Βραχμᾶνας πορείας γενέσθαι τινὰ αὐτῷ. καὶ μεταξὺ ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς καὶ ταῦτα βάρβαρος ὢν τὴν φύσιν τὸν ἑρμηνέα ἐκποδὼν μεταστησάμενος Ἑλλάδι χρῆται πρὸς αὐτὸν τῇ ὁμιλίᾳ παιδείαν καὶ πολυμάθειαν ἐνδεικνύμενος, ὁ δὲ οὐδ' ὥς, ὅτι δὴ καὶ αὐτὸς τῆς παρ' αὐτοῖς οὐκ ἀμαθῶς ἔχοι φωνῆς δέον ἐπεφιλοτιμήσατο, ἀλλὰ καὶ λαλοῦντος Ἑλλάδι γλώσσῃ τοῦ Ἰνδοῦ ἐκπλήττεται, ᾗ φησιν ὁ Φιλόστρατος ἀκόλουθα, ὡς ἔοικεν, ἑαυτῷ γράφων. πῶς γὰρ ἂν ἐξεπλάγη μὴ οὐχὶ βάρβαρον οἰηθείς; καὶ τὸν τοιοῦτον θαυμάσας οὔποτ' ἂν ἑλληνίσαι προσεδόκησεν· εἶθ', ὥσπερ τι παραδόντα παράδοξον καταπλαγεὶς καὶ τὸ τούτου ἔτ' ἀγνοῶν αἴτιον «εἰπέ μοι» ἔφη ὁ Ἀπολλώνιος «ὦ βασιλεῦ, πόθεν οὕτως ἔχεις φωνῆς Ἑλλάδος; φιλοσοφία τε ἡ περὶ σὲ πόθεν ἐνταῦθα; οὐδὲ γὰρ ἐς διδασκάλους γε, οἶμαι, ἀναφέρεις, ἐπεὶ μηδὲ εἶναι Ἰνδοῖς (εἰκὸς) διδασκάλους τούτου.» αὗται αἱ παράδοξοι τοῦ πάντα προγνώσει διειληφότος φωναί, ἃς ὁ βασιλεὺς ἀμειβόμενος, ὅτι τε σχοίη διδασκάλους καὶ οἵτινες οὗτοι ἕκαστά τε πατρόθεν τῶν περὶ αὐτὸν συμβεβηκότων φράζει. εἶτα καί τισι τοῦ Ἰνδοῦ δικάζοντος περὶ θησαυροῦ φωραθέντος ἐν ἀγρῷ, πότερα τῷ πριαμένῳ ἢ τῷ τὸ χωρίον ἀποδομένῳ δέοι νεῖμαι τοῦτον, ὁ πάντα φιλόσοφος καὶ θεοῖς κεχαρισμένος ἐρωτηθεὶς ἐπικρίνει τῷ πριαμένῳ, λογισμὸν δὴ αὐτοῖς ῥήμασιν ἐπειπὼν «ὡς οὐκ ἂν οἱ θεοὶ τὸν μὲν ἀφείλοντο καὶ τὴν γῆν, εἰ μὴ φαῦλος ἦν, τῷ δ' αὖ καὶ τὰ ὑπὸ γῆν δοῦναι, εἰ μὴ βελτίων ἦν τοῦ ἀποδομένου.» ὡς κατ' αὐτὸν δὴ συνάγεσθαι, τοὺς μὲν εὐπόρους καὶ πλούτῳ διαφέροντας, κἂν αἰσχρότατοι καὶ πανωλέστατοι τυγχάνοιεν, τρισευδαίμονας καὶ θεοφιλεῖς ἡγεῖσθαι, μόνους δ' ἄρα κακοδαίμονάς τε καὶ ἀθλίους τοὺς πενεστάτους, κἂν Σωκράτης, κἂν Διογένης, κἂν αὐτὸς ἐκεῖνος Πυθαγόρας τυγχάνῃ, κἂν ἄλλος, οἱ πάντων ἀνδρῶν σωφρονέστατοί τε καὶ ἐπιεικέστατοι. εἴποι γὰρ ἄν τις ἑπόμενος τῷ λόγῳ μὴ ἂν κατ' αὐτὸν τοὺς θεοὺς τοὺς μὲν πένητας, τούτους δὴ αὐτούς, οἳ κατὰ φιλοσοφίαν διήνεγκαν, ἀφελέσθαι καὶ τὰ πρὸς τὴν ἀναγκαίαν τροφὴν μὴ οὐχὶ πάντως φαύλους ὄντας τὸν τρόπον, τοῖς δὲ τὸ ἦθος ἀκολαστοτέροις ἄφθονα καὶ τὰ μὴ ἀναγκαῖα παρασχεῖν, εἰ μὴ βελτίους ἐτύγχανον τῶν προτέρων, ἐξ ὧν παντί τῳ καταφανὴς ἡ τοῦ συμπεράσματος ἀτοπία.

Ταῦτα καὶ ἀπὸ τοῦ δευτέρου παραθέμενοι ἴωμεν ἐπὶ τὸ τρίτον τὰ κατὰ τοὺς βεβοημένους ἐποψόμενοι Βραχμᾶνας· ἔνθα δὴ τὰ ὑπὲρ Θούλην ἄπιστα καὶ εἴ τί περ ἄλλο τερατῶδές ποτε μυθολόγοις τισὶν ἀναπέπλασται, εὖ μάλα πιστὰ καὶ ἀληθέστατα, ὡς ἐν παραθέσει τούτων, ἀναφανήσεται, οἷς καὶ τὸν νοῦν ἐπιστῆσαι ἄξιον τῆς τοῦ

Φιλαλήθους ἕνεκεν αὐθαδείας ἡμῖν μὲν εὐχέρειαν καὶ κουφότητα τρόπου περιάπτοντος, αὐτῷ δὲ καὶ τοῖς αὐτῷ παραπλησίοις τὴν ἀκριβῆ καὶ βεβαίαν μετὰ συνέσεως κρίσιν. ὅρα γοῦν, ἐφ' οἷς σεμνύνεται παραδόξοις τῶν ἡμετέρων θείων εὐαγγελιστῶν προκρίνων τὸν Φιλόστρατον, ὡς μὴ μόνον παιδείας ἐπὶ πλεῖστον ἥκοντα, ἀλλὰ καὶ ἀληθείας ἐπιμεμελημένον. πρῶτα μὲν οὖν ἐν τῇ πρὸς τοὺς Βραχμᾶνας πορείᾳ τοῦ Ἀπολλωνίου γυνή τις αὐτῷ τὴν χροιὰν εἰσάγεται ἀπὸ τῆς κεφαλῆς ἐς ὀσφὺν λευκοτάτη, τὸ δὲ ἕτερον μέρος τοῦ σώματος μέλαινα, τὰ δὲ προϊόντων τῆς ἐπὶ τοὺς Βραχμᾶνας ὁδοῦ ὄρη καταπεφυτευμένα τὸ πέπερι καὶ τούτου πίθηκοι γεωργοὶ καὶ παράδοξοί τινες τὸ μέγεθος δράκοντες, ὧν ἀπὸ κεφαλῆς λαμπάδες ἀπορριπτοῦνται πυρός, οὓς εἴ τις ἀνέλοι, εὕροι ἄν, φησι, παραδόξους λίθους ἐν ταῖς κεφαλαῖς τῷ τοῦ Γύγου τοῦ παρὰ τῷ Πλάτωνι παραπλησίους. καὶ ταῦτα μὲν τὰ πρὸ τοῦ τῶν Βραχμάνων λόφου. ὡς δὲ καὶ εἰς αὐτὸν ἀφίκοντο, σανδαράκινον ἐνταῦθα φρέαρ ὕδατος ἰδεῖν παραδόξου καὶ κρατῆρα πλησίον πυρός, οὗ φλόγα ἀναπέμπεσθαι μολιβδώδη, δύο τε πίθους λίθου μέλανος τὸν μὲν ὄμβρων, τὸν δὲ ἀνέμων, ἀφ' ὧν τοὺς Βραχμᾶνας, οἷς ἂν εἶεν τῆς χώρας ἵλεῳ, χορηγεῖν. ἀλλά γε καὶ ἀγάλματα παρ' αὐτοῖς Ἀθηνᾶς Πολιάδος καὶ Ἀπόλλωνος Πυθίου καὶ Διονύσου Λιμναίου, καὶ ἄλλων τινῶν Ἑλληνικῶν θεῶν, Ἰάρχαν δὲ τὸν ἐπὶ πάντων διδάσκαλον καλεῖσθαι, ὃν καὶ ἰδεῖν καθεζόμενον πολλοῦ γε δεῖ φιλοσοφικῷ, σατραπικῷ δ' ἂν μᾶλλον σχήματι ἐφ' ὑψηλοτάτου δίφρου, χαλκοῦ δὲ μέλανος οὗτος ἦν καὶ πεποίκιλτο χρυσέοις ἀγάλμασιν, οἷα δὴ εἰκὸς τεχνουργῶν βαναύσων τρόπον πυρὶ καὶ σιδήρῳ μοχθοῦντας τοὺς φιλοσόφους τεχνουργεῖν, ἢ καὶ θαυματοποιῶν δίκην αὐτόματον ἀποτελεῖν τὸ δημιούργημα, οἱ δὲ τῶν ἄλλων τῶν μετ' αὐτὸ διδασκάλων δίφροι χαλκοῖ μέν, φησιν, ἄσημοι δ' ἦσαν καὶ ἧττον ὑψηλοί. ἔδει γάρ που πάντως τυράννου σχήματι προνομίας τῆς ἐν ἀγάλμασι καὶ χρυσῷ τὸν τῆς θείας φιλοσοφίας ἀξιοῦσθαι διδάσκαλον. πρῶτον δὲ τὸν Ἰάρχαν ἰδόντα φησὶ τὸν Ἀπολλώνιον ἐξ ὀνόματός τε προσειπεῖν Ἑλλάδι τῇ φωνῇ καὶ ἣν αὐτῷ παρὰ Φραώτου κομίζοι, ἐπιστολὴν αἰτῆσαι κατὰ πρόγνωσιν ἤδη τοῦτο προειληφότα ἐνδείξασθαί τε τὸ ἔνθεον τῆς προγνώσεως προειρηκότα, ὡς ἄρα ἑνὶ γράμματι τῷ δέλτᾳ λείποι ἡ ἐπιστολὴ ἄρξασθαί τε ἀπειροκάλως εὐθὺς ἀπὸ πρώτης ὁμιλίας ἀπειροπλούτου δίκην ἐνεπιδείκνυσθαι τὸ τῆς προγνώσεως πλεονέκτημα πατέρα καὶ μητέρα καταλέγοντα τοῦ Ἀπολλωνίου γένος τε καὶ τροφὴν καὶ παιδείαν καὶ τὰς κατὰ χρόνους ἀποδημίας καὶ τὴν εἰς αὐτὸν πορείαν καὶ τὰ κατ' αὐτὴν πεπραγμένα τε αὐτῷ καὶ ὡμιλημένα. εἶτα δέ φησιν αὐτὸς οὗτος ὁ θαυμάσιος συγγραφεὺς τοὺς Βραχμᾶνας ἅμα τῷ Ἀπολλωνίῳ χρισαμένους ἠλεκτρίνῳ φαρμάκῳ λούσασθαι καὶ περιστάντας ὡς ἐν χορῷ τὴν γῆν τύψαι τοῖς ῥάβδοις. τὴν δὲ κυρτωθεῖσαν ἀναπέμψαι αὐτοὺς εἰς δίπηχυ τοῦ ἀέρος, ἑστάναι τε αὐτοὺς μετεώ-

ρους ἐν αὐτῷ ἀέρι ἐπί τι χρόνου διάστημα, ἕλκειν δὲ καὶ πῦρ ἀπὸ τοῦ ἡλίου, ὅτε βούλοιντο, αὐτομάτως. τούτοις δ' ἐπιφέρει παράδοξον ὁ θαυματολόγος, ὡς ἄρα τρίποδες Πυθικοὶ τέτταρες ἐξεκυκλήθησαν αὐτόματοι φοιτῶντες, καὶ εἰκάζει δὴ οὖν αὐτοὺς τοῖς Ὁμηρείοις οἰνοχόους τε ἐπὶ τούτοις ἐκ χαλκοῦ διακόνους τὴν ὕλην ἵστησι τέτταρας, ἐπιλέγει δέ, ὡς ἄρα καὶ ἡ γῆ αὐτομάτως ὑπεστόρνυτο αὐτοῖς πόας. τῶν δὲ τριπόδων οἱ μὲν δύο, φησίν, οἴνου ἀπέρρεον, οἱ δὲ ἕτεροι δύο ὁ μὲν ὕδατος θερμοῦ κρᾶσιν παρεῖχεν, ὁ δ' αὖ ψυχροῦ. τοὺς δὲ οἰνοχόους τοὺς χαλκοῦς ἀρύεσθαι εὐμέτρως τοῦ τε οἴνου καὶ τοῦ ὕδατος, περιελαύνειν τε κύκλῳ τὰς κύλικας, ὥσπερ ἐν τοῖς πότοις. ταῦτα Ἱεροκλεῖ τὰ ἀνωτάτω καὶ καθόλου δικαστήρια πεπιστευμένῳ μετὰ πολλῆς ἀνετάσεως ἀληθῆ καὶ πιστὰ εἶναι δοκεῖ καὶ ἡμῶν μὲν εὐχέρεια καὶ κουφότης πλείστη ὅση κατέγνωσται παρ' αὐτῷ, αὐτὸς δὲ τοιαῦτα Φιλοστράτῳ πιστεύων αὐτοῖς δὴ ῥήμασι σεμνύνεται λέγων «ἐπισκεψώμεθά γε μήν, ὅσῳ βέλτιον καὶ συνετώτερον ἡμεῖς ἐκδεχόμεθα τὰ τοιαῦτα, καὶ ἣν περὶ τῶν ἐναρέτων ἀνδρῶν ἔχομεν γνώμην.» ἐπὶ τοιούτῳ δὴ τῷ συμποσίῳ κατὰ τὸν αὐτὸν Φιλόστρατον βασιλεὺς ἐγχωριάζων Ἰνδοῖς εἰσάγεται συμπίνων τοῖς φιλοσόφοις, τοῦτον δὲ ἐνυβρίζειν καὶ ἐμπαροινεῖν φιλοσοφίᾳ μεθύσκεσθαί τε παρ' αὐτοῖς καὶ ἀντιπαρεξάγειν Ἡλίῳ καὶ ἀλαζονεύεσθαι ἱστορεῖ, καὶ πάλιν τὸν Ἀπολλώνιον δι' ἑρμηνέως τὰ παρὰ τούτου μανθάνειν καὶ αὖ πάλιν πρὸς αὐτὸν διαλέγεσθαι ὑφερμηνεύοντος τοῦ Ἰάρχα· καὶ πῶς οὐ θαυμάζειν ἄξιον, ὅπως τὸν οὕτως ὑβριστὴν καὶ ἀτοπώτατον παροινεῖν καὶ μεθύσκεσθαι παρὰ τηλικούτοις εἰκὸς ἦν, ὃν οὐδὲ παρεῖναι ἄξιον ἐν φιλοσόφων μή τί γε καὶ ἰσοθέων ἑστίᾳ; τί δέ μοι ἰσοθέους τούτους καλεῖν καὶ τῆς ἀξίας ἐνυβρίζειν τοὺς ἄνδρας; ὁπότε πυθομένου τοῦ Ἀπολλωνίου, τίνας ἑαυτοὺς ἡγοῦνται, θεοὺς ἔφη ὁ Ἰάρχας, ὃς καὶ τοῖς συμπόταις, οἷα δὴ θεὸς φιλοσόφου μὲν ἥκιστα τρόπῳ, πολλοῦ γε δεῖ, μή τί γε μᾶλλον, οὗ ἔφησε, θεοῦ ἀξίως, (ἐς) τὴν φιάλην ἐπικύπτων ἐξῆρχεν, ἡ δέ, φησιν ὁ συγγραφεύς, ὡς ἄρα ἐπότιζεν ἱκανῶς πάντας, (καὶ) ἐπεδίδου, καθάπερ αἱ ἀπόρρητοι πηγαὶ τοῖς ἀνιμωμένοις. μετὰ ταῦτα κοιναὶ λόγων ὁμιλίαι καὶ σπουδαιολογίαι τῶν φιλοσόφων τοῦ μὲν Ἰάρχα διδάσκοντος, ὡς ἄρα ποτὲ αὐτῷ ἡ ψυχὴ ἐν ἑτέρῳ ἀνθρώπου βασιλέως γένοιτο σώματι καὶ τοιαδί τινα αὐτῷ πεπραγμένα εἴη, τοῦ δὲ Ἀπολλωνίου, ὡς νηὸς Αἰγυπτίας ποτὲ γένοιτο κυβερνήτης, καὶ τὰ τοιαῦτα διαπράξαιτο, πεύσεις τε καὶ ἀποκρίσεις [ἑκάστου], ὧν καὶ τῆς σοφίας ἄξιον μηδαμῶς παρεκθέσθαι τὴν μνήμην. ἐρέσθαι δέ φησι τὸν Ἀπολλώνιον, εἰ ἔστι παρ' αὐτοῖς χρύσεον ὕδωρ — ὢ τοῦ σοφοῦ καὶ παραδόξου πύσματος — καὶ περὶ ἀνθρώπων δὲ ὑπὸ γῆν οἰκούντων καὶ Πυγμαίων ἄλλων καὶ σκιαπόδων ἀνερωτᾶν, καὶ εἰ γίγνοιτο παρ' αὐτοῖς ζῷον τετράπουν, ὃ λέγεται μαρτιχόρα, ὃ τὴν κεφαλὴν ἀνθρώπῳ εἰκάσθαι, λέοντι δὲ ὡμοιῶσθαι τὸ μέγεθος, τὴν δὲ οὐρὰν ἐκφέρειν

πηχυαίας καὶ ἀκανθώδεις τὰς τρίχας, ἃς βάλλειν ὥσπερ τοξεύματα ἐς τοὺς θηρῶντας, καὶ τοιαῦτα μὲν τὸν Ἀπολλώνιον ἀνερωτᾶν, τὸν δὲ Ἰάρχαν διδάσκειν αὐτὸν περὶ μὲν τῶν Πυγμαίων, ὡς ἄρα εἶεν οἰκοῦντες μὲν ὑπόγειοι, διατρίβοντες δὲ ὑπὲρ τὸν Γάγγην ποταμὸν ζῶντες περὶ δὲ τῶν ἄλλων, ὡς ἀνύπαρκτα εἴη ἔριον ἐπὶ τούτοις φυόμενον αὐτοῖς ἀπὸ γῆς ἐς ἐσθῆτος ὕλην ὁ Φιλόστρατος ἀναγράφει, πάντως δήπου τῶν φιλοσόφων ἱστὸν ἐποιχομένων καὶ ταλασιουργίαις ἐς ἐσθῆτος κατεργασίαν ἐκπονουμένων — οὐδὲ γὰρ εἰσῆκται παρ' αὐτοῖς γυναικεῖον φῦλον—εἰ μὴ καὶ τοῦτο φήσειεν αὐτόματον αὐτοῖς παραδόξως δὴ ἱερὰν ἐς ἐσθῆτα μεταφύεσθαι. φέρειν δ' ἕκαστον αὐτῶν ῥάβδον καὶ δακτύλιον ἀπόρρητον ἔχοντα ἰσχύν. εἶτα παραδοξοποιίαι τοῦ Βραχμᾶνος, ὡς δαιμονῶντα δι' ἐπιστολῆς ἀνακαλέσαιτο, ὡς χωλεύοντα καταψήσας τὸν γλουτὸν θεραπεύσειεν, ὡς τυφλῷ τὰ βλέπειν καὶ ἀδρανεῖ τινι τὴν χεῖρα σῴαν χαρίζοιτο. πολλὰ κἀγαθὰ γένοιτο πραγμάτων ἡμᾶς ἀπολύσαντι τῷ συγγραφεῖ· δῆλα γάρ, ὡς ἀληθῆ καὶ ταῦτα, ὅτε βροντὰς καὶ ἀνέμους ἐν πίθοις τρίποδάς τε ἐκ λίθου φοιτῶντας αὐτομάτως καὶ οἰνοχόους ἀπὸ χαλκοῦ περιελαύνειν ἐν κύκλῳ τὰς κύλικας προϊστορήσας διὰ τῆς περὶ τούτων ὡς ἀληθῶν ἀφηγήσεως καὶ τῶν λοιπῶν ἁπάντων ἐξέφηνέ τε καὶ διήλεγξε τὴν μυθολογίαν. εἰρηκέναι δέ φησιν ὁ Φιλόστρατος τὸν Δάμιν δίχα τῆς αὐτοῦ παρουσίας καὶ τῷ Ἰάρχᾳ συμφιλοσοφῆσαι τὸν Ἀπολλώνιον εἰληφέναι τε παρ' αὐτοῦ δακτυλίους ἑπτὰ ἐπωνύμους ἀστέρων, οὓς καὶ φορεῖν αὐτὸν καθ' ἕνα πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν. ταῦτα δὲ νῦν εἰπὼν ὁ τἀληθὲς τιμᾶν παρὰ τῷ Φιλαλήθει νενομισμένος μεθ' ἕτερα τῆς γραφῆς, ὡς ἂν δὴ γοητείαν τῶν Βραχμάνων καταγνοὺς καὶ ταύτης ἐλεύθερον καταστῆσαι τὸν Ἀπολλώνιον φροντίσας ἐπιφέρει φάσκων κατὰ λέξιν· «ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ', ὅπως σοφίζοιντο αὐτά, ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου.» καὶ πῶς, ὦ οὗτος, οὐκ ἠξίου; ὁ δίχα τοῦ Δάμιδος σπουδὴν ποιούμενος συμφιλοσοφεῖν αὐτοῖς καὶ τὸν μόνον ἑταῖρον, ὅ τι καὶ πράττοι, λανθάνειν δέον ἡγούμενος; πῶς δὲ οὐκ ἠξίου ζηλοῦν ὁ τοὺς τῶν ἀστέρων ἐπωνύμους καταδεχόμενος δακτυλίους καὶ τούτους ἀναγκαῖον τιθέμενος διὰ παντὸς τοῦ βίου φέρειν πρὸς τὰ ὀνόματα τῶν ἡμερῶν καίτοι γε ἀπόρρητον, ὡς φῄς αὐτός, ἔχοντας ἰσχύν; εἰ δὲ καὶ δοθείη τὸ μὴ ζηλοῦν ἠξιωκέναι αὐτὸν ὡς μὴ εὖ πράττοντα, οὐκ ἐζήλου δηλονότι. πῶς οὖν ἐπῄνει, ἐφ' οἷς μὴ ἠξίου ζηλοῦν; εἰ δ' ὡς θείως ἐνεργοῦντας ἐπῄνει πῶς οὐκ ἐζήλου τὰ ἐπαίνων ἄξια; ἀλλὰ γὰρ μετὰ τὴν παρὰ τούτοις διατριβὴν παλινοστοῦντα αὐτὸν ἅμα τοῖς ἑταίροις ἐληλυθέναι φησὶν ἐς τὴν τῶν Ὠρειτῶν χώραν, ἔνθα χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦ δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι.

Καὶ τοσαῦτα μὲν τὰ κατὰ τὸ τρίτον σύγγραμμα, ἐπίωμεν δ' ἤδη

καὶ τὰ ἑξῆς. ἐπανελθόντα φησὶν ἀπὸ τῆς Ἰνδῶν χώρας ἐπὶ τὴν Ἑλλάδα κοινωνὸν τῶν θεῶν πρὸς αὐτῶν τῶν θεῶν ἀνακεκηρῦχθαι, οἳ καὶ τοὺς κάμνοντας ὡς αὐτὸν ἐφ' ὑγείᾳ παρέπεμπον, καὶ δῆτα ὡς ἐξ Ἀράβων καὶ μάγων καὶ Ἰνδῶν παράδοξόν τινα καὶ θεῖον ἡμῖν αὐτὸν ἀγαγὼν παραδόξων ἐντεῦθεν ἀφηγημάτων κατάρχεται. καίτοι ἄν τις εἴποι εὐλόγως, ὅτι δὴ εἰ θειοτέρας ἢ κατ' ἄνθρωπον φύσεως ἦν, πάλαι, ἀλλ' οὐ νῦν ἔδει, πρὸ τῆς δὲ ἑτέρων μεταλήψεως τῶν θαυμασίων κατάρχεσθαι, περιττὴ δ' ἂν καὶ ἡ ἐξ Ἀράβων αὐτῷ μάγων τε καὶ Ἰνδῶν διὰ σπουδῆς ἐπεχειρεῖτο πολυμάθεια, εἰ δή τις κατὰ τὴν δοθεῖσαν ὑπῆρξεν ὑπόθεσιν· ἀλλ' οὗτός γε κατὰ τὸν φιλαλήθη συγγραφέα νῦν δὴ πάρεστι μετὰ τοσούτους διδασκάλους τὴν σοφίαν ἐνεπιδεικνύμενος, καὶ πρῶτα μὲν οἷα ἐξ Ἀράβων καὶ τῆς παρ' αὐτοῖς οἰωνιστικῆς ὁρμώμενος τὸν στρουθόν, ὅ τι καὶ βούλοιτο τοὺς ἑτέρους ἐπὶ τροφὴν παρακαλῶν ἑρμηνεύει τοῖς παροῦσιν, εἶτα δὲ λοιμοῦ (ἐν Ἐφέσῳ) προαισθόμενος προμαντεύεται τοῖς πολίταις. τὴν δ' αἰτίαν καὶ τούτου ἐν τῇ πρὸς Δομιτιανὸν ἀπολογίᾳ αὐτὸς παρατίθεται. ἐρομένου γάρ τοι αὐτόν, ὁπόθεν ὁρμώμενος τοῦτο προείποι, «λεπτοτέρᾳ» ἔφη «χρώμενος, ὦ βασιλεῦ, διαίτῃ πρῶτος τοῦ δεινοῦ ᾐσθόμην.» καὶ τρίτον δ' αὐτοῦ θαῦμα γεγονὸς ἱστορεῖ, ὡς δὴ ἀλεξήσαντος τὸν λοιμόν, ὅπερ εἰ καὶ τὰ μάλιστα ἐν ταῖς ἐπὶ τέλει κατ' αὐτοῦ κατηγορίαις οὐ τέθεικεν ὁ συγγραφεύς, ὅτι μὴ παρῆν, ὡς εἰκός, αὐτῷ δι' ἀπολογίας ἀπολύσασθαι τὸ ἔγκλημα, φέρε δ' οὖν ὅμως αὐτοὶ τὴν ἱστορίαν ἐς φανερὸν ὑποθώμεθα, οὕτω δὴ καὶ ταύτην εὐθύνοντες. εἴ τινι γὰρ οὐκ [ἂν] εἴη σαφές, ὅτι δὴ πολὺ τὸ πλάσμα καὶ ἀπατηλὸν γοητείας τε ὡς ἀληθῶς ἔμπλεων, αὐτὸς ὁ τρόπος ἀπελέγχει τῆς ἱστορίας. τὸν γάρ τοι λοιμὸν ὑποτίθεται ἐν εἴδει πτωχεύοντος καὶ ῥάκεσιν ἠμφιεσμένου πρεσβύτου ἀνδρὸς ἑωρᾶσθαι, ὃν καταλεύειν ἐπικελευσαμένου τοῦ Ἀπολλωνίου πρότερον μὲν πῦρ βάλλειν τῶν ὀφθαλμῶν, εἶθ' ὕστερον βληθέντα λίθοις κύνα συντετριμμένον καὶ παραπτύοντα ἀφρόν, ὡς οἱ λυττῶντες, φανῆναι, εἰρηκέναι δ' αὐτὸν περὶ τούτου καὶ ἐν τῇ πρὸς τὸν αὐτοκράτορα Δομετιανὸν ἀπολογίᾳ ταῦτα γράφει· «τὸ γὰρ τοῦ λοιμοῦ εἶδος, πτωχῷ δὲ γέροντι εἴκαστο, καὶ εἶδον καὶ ἰδὼν εἷλον οὐ παύσας νόσον, ἀλλ' ἐξελών.» τίς δὴ οὖν ἐπὶ τούτοις οὐ μέγα τὴν τοῦ θαυματοποιοῦ γελάσεται παραδοξοποιίαν ζῷον ὀφθαλμοῖς καὶ λίθων ὑποπῖπτον βολαῖς συντριβόμενόν τε πρὸς ἀνθρώπων καὶ ἀφρὸν παραπτῦον τὴν τοῦ λοιμοῦ φύσιν ἀκούων, ὃς οὐδ' ἄλλ' ὁτιοῦν τυγχάνει ἢ φθορὰ καὶ κάκωσις ἀέρος ἐπὶ τὸ νοσῶδες τρεπομένου τοῦ περιέχοντος ἐκ πονηρῶν τε καὶ φαύλων ἀναθυμιάσεων, ᾗ λόγος ἰατρικὸς παραδίδωσι, συνισταμένου; καὶ ἄλλως δ' ἂν τὸ φάσμα διευθυνθείη, ἐπείπερ μόνῃ τῇ τῶν Ἐφεσίων πόλει, ἀλλ' οὐχὶ καὶ τοῖς ὁμόροις τὸν λοιμὸν ἐπισκῆψαί φησιν ὁ λόγος, ὅπερ πῶς οὐκ ἂν γεγόνει κάκωσιν τοῦ περιέχοντος πεπονθότος; οὐ γὰρ δὴ κατακλεισθὲν μόνῳ ἂν ἐφήδρευσε τῷ περὶ τὴν Ἔφεσον ἀέρι

τὸ νόσημα. τέταρτον αὐτῷ παράδοξον Ἀχιλλέως ἦν ψυχὴ πρότερον μὲν ἐν χλαμύδι πεντάπηχυς, εἶτα δωδεκάπηχυς τὸ μέγεθος παρὰ τῷ ἰδίῳ αὐτοῦ μνήματι φαινομένη Θετταλούς τε καταιτιωμένη, ὅτι δὴ τὰ ἐναγίσματα αὐτῷ, ὡς ἔθος ἦν, οὐκ ἐπετέλουν, μηνιῶσά τε εἰσέτι Τρωσὶ τῶν ἐς αὐτὸν πεπλημμελημένων καὶ προστάττουσα τῷ Ἀπολλωνίῳ πέντε λόγους, οὓς ἂν αὐτός τε βούλοιτο καὶ αἱ Μοῖραι συγχωροῖεν, ἀνερέσθαι. εἶθ' ὁ πάντα εἰδὼς καὶ τῶν μελλόντων πρόγνωσιν αὐχῶν ἔτι ἀγνοεῖ, εἰ τάφου τύχοι Ἀχιλλεὺς καὶ εἰ Μουσῶν θρῆνοι καὶ Νηρηίδων ἐπ' αὐτῷ γεγόνασι, καὶ περὶ τούτων αὐτὸν ἀνερωτᾷ καὶ διαπυνθάνεται, εἰ Πολυξένη ἐπισφαγείη αὐτῷ καὶ εἰ Ἑλένη ἐς Τροίαν ἐληλύθοι, ὡς σεμνά γε καὶ κατεπείγοντα εἰς τὸν φιλόσοφον βίον τοῦ ἥρωος καὶ σπουδῆς ἄξια ἐρωτήματα. θαυμάζει δ' ἐπὶ τούτοις, εἰ τοσοῦτοι ἥρωες παρὰ τοῖς Ἕλλησιν ἐνὶ χρόνῳ γεγόνασι καὶ εἰ ἀφίκετο ἐς Τροίαν Παλαμήδης. τὸν δὴ θεῶν ὁρωμένων τε καὶ οὐχ ὁρωμένων ὁμιλητὴν τοιαῦτα ἀγνοεῖν, καὶ περὶ τοιούτων ἀνερωτᾶν, ποίας οὐχὶ γένοιτ' ἂν αἰσχύνης; εἰ μὴ ἄρα, ἐπειδὴ νεκροῖς ὁμιλῶν εἰσῆκται, ἐπὶ τὸ ψυχρότερον μεταποιεῖ τὰς πεύσεις ὁ συγγραφεύς, ὡς ἂν ὑπεκλύσειε τὴν ὑπόνοιαν τοῦ πέρα τῶν προσηκόντων αὐτὸν περιειργάσθαι δοκεῖν, καὶ γὰρ δὴ καὶ ἀπολογούμενον αὐτὸν ὑπογράφει, ὅτι μὴ κατὰ νεκρομαντείαν ὁ τρόπος αὐτῷ τῆς φανείσης ὄψεως γένοιτο, «οὔτε γὰρ βόθρον» εἶπεν «Ὀδυσσέως ὀρυξάμενος, οὐδ' ἀρνῶν αἵμασι ψυχαγωγήσας, ἐς διάλεξιν τοῦ Ἀχιλλέως ἦλθον, ἀλλ' εὐξάμενος ὁπόσα τοῖς ἥρωσιν Ἰνδοί φασι δεῖν εὔξασθαι.» καὶ ταῦτα νῦν πρὸς τὸν ἑταῖρον ἀποσεμνύνεται ὁ μηδὲν μαθεῖν παρ' Ἰνδῶν, μηδὲ ζηλῶσαι τὴν παρ' αὐτοῖς σοφίαν πρὸς τοὺς συγγραφέως μεμαρτυρημένος. τί δῆτα οὖν, ὦ οὗτος, εἰ μή τις ἦν κακοήθης περιεργία, μηδὲ τὸν ἕνα σοι καὶ γνήσιον καὶ μόνον ἑταῖρον Δάμιν κοινωνὸν ἐποιοῦ τῆς θαυμαστῆς ταύτης ὄψεώς τε καὶ ὁμιλίας; τί δ' οὐχὶ καὶ δι' ἡμέρας τοῦτο ποιεῖν ἐξῆν, ἀλλὰ τῶν νυκτῶν ἀωρὶ καὶ μόνον; τί δὲ καὶ ἤλαυνον τὴν τοῦ ἥρωος ψυχὴν ἀλεκτρυόνων βοαί; «ἀπῆλθε γάρ» φησι «ξὺν ἀστραπῇ μετρίᾳ, καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο.» δαίμοσι μὲν οὖν πονηροῖς γένοιτ' ἂν ἴσως ὁ τῆς ὥρας ἐπιτήδειος εἰς περιέργους ὁμιλίας καιρός, ἀλλ' οὐχὶ ἡρωίδι ψυχῇ, ἣν τῆς παχείας τοῦ σώματος ἐλευθερωθεῖσαν ὕλης ἀγαθὴν καὶ πανάρετον εἶναι χρεών. ὅ γε μὴν εἰσηγμένος ἐνταῦθα δαίμων βάσκανος καὶ φθονερὸς τὸν τρόπον ὀργίλος τε καὶ ταπεινὸς τὴν διάθεσιν ὑποτετύπωται. ἢ οὐχὶ τοιοῦτος ὁ τὸν Ἀντισθένην μειράκιόν τι σπουδαῖον ὡς ἂν δὴ φιλοσόφῳ συνέπεσθαι τῷ Ἀπολλωνίῳ πειρώμενον ἀπείργων; προστάττει γὰρ τὸ μὴ ποιεῖσθαι αὐτὸν συνέμπορον τῆς ἑαυτοῦ φιλοσοφίας ἐπιλέγων τὴν αἰτίαν· «Πριαμίδης τε γάρ» φησιν «ἱκανῶς ἐστι καὶ τὸν Ἕκτορα ὑμνῶν οὐ παύεται.» πῶς δὲ οὐκ ὀργίλος καὶ ταπεινὸς ὁ Θετταλοῖς, ὅτι μὴ θύοιεν αὐτῷ, θυμούμενος καὶ Τρωσίν, ὅτι δὴ πρὸ μυρίων ὅσων ἐτῶν εἰς αὐτὸν διημαρτήκασι, μὴ

καταλλασσόμενος καὶ ταῦτα θύουσι καὶ συνεχῶς σπενδομένοις, ἀλλὰ καὶ τὸν Παλαμήδους τάφον αὐτῷ ἀγάλματι φαύλως ἐρριμμένῳ ἀναλαβεῖν ἐγκελευόμενος; τὸ μέντοι πέμπτον καὶ ἕκτον θαῦμα οὐ πολλῆς (ἂν) δέοιτο τοῦ λόγου διατριβῆς εἰς ἔνδειξιν τῆς τοῦ γράφοντος εὐχερείας· δαίμονας γὰρ ἀπελαύνει ἄλλῳ ἄλλον, ᾗ φασι, δαίμονι, τὸν μὲν γὰρ ἐξ ἀκολάστου μειρακίου, τὸν δὲ ἐπιπλάστως εἰς γυναικείαν μορφὴν σχηματιζόμενον, τουτονὶ δὲ τὸν δαίμονα ἔμπουσαν καὶ λάμιαν αὐτοῖς ὀνόμασιν ὁ σοφώτατος ἀποκαλεῖ. τό γε μὴν ἐπὶ τῆς Ῥωμαίων πόλεως μετὰ ταῦτα κόριον, ὅ τι δὴ μετὰ θάνατον ἐπὶ δευτέραν ζωὴν ἤγαγεν, ἀπιστότατον καὶ αὐτῷ δόξαν τῷ Φιλοστράτῳ παραιτητέον. ἐν δισταγμῷ μέντοι ἀμφιβάλλει, μὴ ἄρα σπινθήρ τις ψυχῆς ἐνυπάρχων τῇ παιδὶ τοὺς θεραπεύοντας ἐλελήθει. λέγεσθαι γάρ φησιν, «ὡς ψακάζοι μὲν ὁ Ζεύς, ἡ δὲ ἀτμίζοι ἀπὸ τοῦ προσώπου.» καὶ γὰρ δὴ εἰ ἀληθῶς αὐτῷ τοιόνδε ἐπ' αὐτῆς Ῥώμης ἐπέπρακτο, οὐκ ἂν ἐλελήθει βασιλέα τε πρῶτον καὶ τοὺς μετ' αὐτὸν ὑπάρχους ἅπαντας, μάλιστα δὲ τὸν φιλόσοφον Εὐφράτην ἐγχωριάζοντα κατ' ἐκεῖνο καιροῦ καὶ ἐπὶ τῆς Ῥώμης διατρίβοντα, ὃς δὴ εἰς ὕστερον τὴν κατ' αὐτοῦ κατηγορίαν, ὡς δὴ κατὰ γόητος, ὑποβάλλειν ἱστόρηται. πάντως γὰρ ἂν καὶ τοῦτο, εἰ δὴ τοῦτο γεγονὸς ἦν, ταῖς ἄλλαις κατ' αὐτοῦ διαβολαῖς πρὸς τοῦ κατηγόρου συγκατείλεκτο. καὶ τὰ μὲν ἐν μέρει καὶ κατ' εἶδος αὐτῷ πεπραγμένα τοσαῦτα, μυρία δὲ καὶ ἄλλα κατὰ πρόγνωσιν αὐτὸν λέγων πραμαντεύσασθαί τε καὶ προειρηκέναι γράφει καὶ ὡς Ἀθήνησι βουληθέντα μυηθῆναι τὰ Ἐλευσίνια ὁ τῆδε εἶρξεν ἱερεὺς μὴ ἄν ποτε φήσας μυήσεσθαι γόητα, μηδὲ τὰ Ἐλευσίνια ἀνοῖξαι ἀνθρώπῳ μὴ καθαρῷ τὰ δαιμόνια. ἀλλὰ καὶ τῷ ἀσελγῶς ἀγείροντι κατὰ τὴν Ῥώμην καὶ τὰς Νέρωνος μετὰ κιθάρας ἐπὶ μισθῷ διεξιόντι ᾠδὰς μισθὸν ἐπιδοῦναι τοῖς ἑταίροις τῆς σοφῆς ταύτης ἐπιτηδεύσεως ὁ φιλοσοφώτατος διὰ τὸν Νέρωνος φόβον προστάττει.

Ἐν τούτοις καὶ τοῦ τετάρτου περιγραφέντος ἐν τῷ πέμπτῳ τῆς περὶ αὐτοῦ γραφῆς εἰπών τινα περὶ προγνώσεως αὐτοῦ καὶ ἀποθαυμάσας ὁ συγγραφεὺς ἐπιλέγει ταῦτα κατὰ λέξιν «ὅτι μὲν δὴ τὰ τοιαῦτα δαιμονίᾳ κινήσει προέλεγε καὶ ὅτι τοῖς γόητα ἡγουμένοις τὸν ἄνδρα οὐχ ὑγιαίνει ὁ λόγος, δηλοῖ μὲν καὶ τὰ εἰρημένα, σκεψώμεθα δὲ κἀκεῖνα· οἱ γόητες, ἡγοῦμαι δὲ αὐτοὺς ἐγὼ κακοδαιμονεστάτους ἀνθρώπων, οἱ μὲν ἐς βασάνους εἰδώλων χωροῦντες, οἱ δ' ἐς θυσίας βαρβάρους, οἱ δὲ ἐς τὸ ἐπᾷσαί τι ἢ ἀλεῖψαι μεταποιεῖν φασι τὰ εἱμαρμένα, ὁ δὲ εἵπετο μὲν τοῖς ἐκ Μοιρῶν καὶ προέλεγεν, ὡς ἀνάγκη ἔσεσθαι αὐτά, προέλεγε δὲ οὐ γοητεύων, ἀλλ' ἐξ ὧν οἱ θεοὶ ἔφαινον, ἰδὼν δὲ παρὰ τοῖς Ἰνδοῖς τοὺς τρίποδας καὶ τοὺς οἰνοχόους καὶ ὅσα αὐτόματα ἐσφοιτᾶν εἶπον, οὔθ' ὅπως σοφίζοιντο αὐτὰ ἤρετο, οὔτε ἐδεήθη μαθεῖν, ἀλλ' ἐπῄνει μέν, ζηλοῦν δὲ οὐκ ἠξίου.» ταῦτα δὲ λέγων δῆλός ἐστι τοὺς περιβοήτους Ἰνδῶν φιλοσόφους γόητας ἀποφαίνων. περὶ γάρ τοι γοήτων ποιούμενος τὸν λόγον μνημονεύει καὶ

τούτων σοφίζεσθαι δὴ τὰ παράδοξα λέγων αὐτοὺς καὶ τόν, περὶ οὗ ὁ λόγος, τῆς τοιασδὶ αὐτῶν σοφιστείας ὡς ἂν μὴ ἀστείας ἀλλότριον ὑποτιθέμενος. οὐκοῦν εἰ φαίνοιτο τούτους θεοὺς ἀποκαλῶν καὶ διδασκάλους ἐπιγραφόμενος αὐτοὺς ὁ Ἀπολλώνιος, ὥρα ταῖς κατὰ τῶν διδασκάλων καὶ αὐτὸν ὑπάγειν διαβολαῖς. εἰσῆκται δὴ οὖν παρ' οἷς φησι γυμνοῖς Αἰγυπτίων, ῥήμασιν αὐτοῖς ταῦτα φάσκων· «οὐκ ἀπεικός τε παθεῖν μοι δοκῶ φιλοσοφίας ἡττηθεὶς εὖ κεκοσμημένης, ἣν ἐς τὸ πρόσφορον Ἰνδοὶ στείλαντες ἐφ' ὑψηλῆς τε καὶ θείας μηχανῆς ἐκκυκλοῦσιν. ὡς δὴ ἐν δίκῃ μὲν ἠγάσθην, ἐν δίκῃ δὲ ἡγοῦμαι σοφούς τε καὶ μακαρίους, ὥρα μανθάνειν.» καὶ μετὰ βραχέα φησίν· «οὗτοι μὲν γὰρ θεοί τέ εἰσι καὶ κεκόσμηνται κατὰ τὴν Πυθίαν.» καὶ Δομετιανῷ δὲ εἰσῆκται λέγων «καὶ τίς πρὸς Ἰάρχαν σοι πόλεμος ἢ πρὸς Φραώτην τοὺς Ἰνδούς; οὓς ἐγὼ μόνους ἀνθρώπων θεούς τε ἡγοῦμαι καὶ ἀξίους τῆς ἐπωνυμίας ταύτης;» καὶ ἐν ἄλλοις δὲ ὁμοίως θεούς τε καὶ διδασκάλους τἀνδρὸς ἐπιγράψας ὁ λόγος τοὺς δεδηλωμένους δακτυλίους τε παρ' αὐτῶν εἰληφέναι ὁμολογήσας αὐτὸν ἐπιλέλησται νῦν καὶ συνδιαβάλλων τοῖς διδασκάλοις τὸν μαθητὴν οὐκ ἐπαΐει. ὑποβὰς δ' ἐν τῇ γραφῇ αὐλητὴν ὑποτίθεται καὶ τὸν Ἀπολλώνιον ὥσπερ τινὸς οὔσης μεγίστης καὶ σοφωτάτης ἐπιστήμης τρόπους αὐλήσεως μάλα σπουδαίως μακροῖς τοῖς διεξηγήμασιν εἴροντα διεξέρχεται, καὶ αὐτοκράτορα Οὐεσπασιασὸν οἷα δὴ θεῷ προσεύξασθαι αὐτῷ ἱστορεῖ, καὶ τὸν μὲν ὡς εὐχῇ εἰρηκέναι τὸν Οὐεσπασιανόν· «ποίησόν με βασιλέα», τὸν δὲ ἀποκρίνασθαι· «ἐποίησα.» καὶ τίς οὐκ ἂν μισήσειεν εὐλόγως τῆς ἀλαζονείας τὴν φωνὴν μανίας τὸ μηθὲν ἀποδέουσαν, ὅτε γε ἤδη αὐτὸς θεὸς καὶ βασιλέων ποιητὴς εἶναι φρυάττεται ὁ τῆς Αἰγυπτίας κυβερνήτης νεώς; τοῦτο γὰρ αὐτὸς ἑαυτὸν ὁ Ἀπολλώνιος γεγονέναι τὴν ψυχὴν ἐν ταῖς πρὸς τὸν Ἰνδὸν ὁμιλίαις μικρῷ πρόσθεν ἡμῖν δεδήλωκε. τῷ δ' αὐτῷ βασιλεῖ, οὓς ἂν αὐτὸς δοκιμάζοι τῶν φιλοσόφων συμβούλους τῶν πρακτέων, γνωρίσαι αὐτῷ ἀξιοῦντι κατὰ λέξιν φησίν· «ἀγαθοὶ δὲ τούτων σύμβουλοι καὶ οἵδε οἱ ἄνδρες, τὸν Δίωνα δείξας καὶ τὸν Εὐφράτην μήπω αὐτῷ ἐς διαφορὰν ἥκοντα.» καὶ αὖθις, «ὦ βασιλεῦ, εἶπεν, Εὐφράτης καὶ Δίων πάλαι σοι γνώριμοι ὄντες πρὸς θύραις εἰσὶν οὐκ ἀφρόντιδες τῶν σῶν. κάλει δὴ κἀκείνους ἐς κοινὸν λόγον, σοφὼ γὰρ τὼ ἄνδρε.» πρὸς ἃ Οὐεσπασιανὸς «ἀκλείτους» ἔφη «θύρας παρέχω σοφοῖς ἀνδράσιν.» εὖγε τῆς προγνώσεως τοῦ ἥρωος· Εὐφράτης νῦν ἀγαθός τε καὶ σοφός, ἐπεὶ μὴ ἐς διαφοράν πω αὐτῷ ἐληλύθει, εἰ δ' ἔλθοι—ὅσον οὔπω δὲ τοῦτ' ἔσται—ὅρα οἷα περὶ αὐτοῦ ὁ αὐτὸς πρὸς Δομετιανὸν γράφει· «καὶ μὴν ὁπόσα γίγνεται φιλοσόφῳ ἀνδρὶ κολακεύοντι τοὺς δυνατοὺς δηλοῖ τὰ Εὐφράτου· τούτῳ γὰρ ἐντεῦθεν, τί λέγω χρήματα; πηγαὶ μὲν οὖν εἰσι πλούτου, κἀπὶ τῶν τραπεζῶν ἤδη διαλέγεται κάπηλος ὑποκάπηλος τελώνης ὀβολοστάτης πάντα γιγνόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα, ἐντετύπωται δὲ ἀεὶ ταῖς τῶν δυνατῶν θύ-

ραις καὶ προσέστηκεν αὐταῖς πλείω καιρὸν ἢ οἱ θυρωροί, ἀπελήφθη δὲ καὶ ὑπὸ τῶν θυρωρῶν πολλάκις, ὥσπερ τῶν κυνῶν οἱ λίχνοι, δραχμὴν δὲ οὐδὲ φιλοσόφῳ ἀνδρί ποτε προέμενος ἐπιτειχίζει νῦν τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις τὸν Αἰγύπτιον τουτονὶ βόσκων χρήμασι καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι. Εὐφράτην μὲν δὴ καταλείπω σοί, σὺ γάρ, ἢν μὴ κόλακας ἐπαινῇς, εὑρήσεις τὸν ἄνθρωπον κακίω ἢ ἑρμηνεύω.» ὁ δὴ πρὸς τὸν πατέρα τὸν Οὐεσπασιανὸν σοφὸν καὶ ἀγαθὸν τὸν Εὐφράτην μαρτυρόμενος, πρὸς δὲ τὸν υἱὸν ταῦτα περὶ αὐτοῦ διεξιὼν δῆλος ἂν εἴη τὸν αὐτὸν ἐπαινῶν τε καὶ ψέγων. ἆρ' οὖν ὁ τὴν τῶν μελλόντων προειληφὼς γνῶσιν ἠγνόει, ὃς ἦν τε καὶ ἔσται τὸν τρόπον ὁ Εὐφράτης; καὶ γὰρ οὐ νῦν πρῶτον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ Οὐεσπασιανοῦ διαβάλλειν αὐτὸν ὡς δὴ τὸ ἦθος μοχθηρότατον βούλεται. πῶς δὴ οὖν τὸν τοιόνδε συνίστη βασιλεῖ, ὡς καὶ ἀκλείτους αὐτῷ διὰ τὰς παρ' αὐτοῦ συστάσεις τῶν βασιλέων ἀναπεπετάσθαι τὰς πύλας; ἀλλὰ γὰρ καὶ τυφλῷ, φασί, δῆλον, ὡς ἄρα πρόγνωσιν μὲν συκοφαντεῖται πρὸς τοῦ συγγραφέως ὁ ἄνθρωπος, εἴη δ' ἂν ἄλλως γενναῖος, πάλαι μὲν πρὸ πείρας ἀφθόνως ἑταίροις, ἀτὰρ καὶ τῷ Εὐφράτῃ τῆς εἰς τὰ βασίλεια παρόδου κοινωνῶν, ὕστερον δὲ τῆς διαφορᾶς ἕνεκα τοιαῦτα περὶ αὐτοῦ λέγων. οὔπω μοι διαβάλλειν ὁ λόγος βούλεται τὸν ἄνδρα, ὡς ἂν τὸν Εὐφράτην συκοφαντοῦντα φιλοσόφων γενόμενον τῶν καθ' ἑαυτὸν ἐπιδοξότατον, ὡς καὶ ἐς δεῦρο, οἷς μέτεστι φιλοσοφίας, ᾄδεσθαι, ὃ καὶ μέγιστον λάβοι ἄν τις, εἰ βούλοιτο, παράδειγμα [τῆς] κατὰ τοῦ Ἀπολλωνίου διαβολῆς. εἰ γὰρ οὖν ὁ Εὐφράτης παρ' αὐτοῖς πάσῃ φιλοσοφίᾳ διαπρέψαι ὁμολογηθείη, ὥρα μισοπονηρίαν μὲν ἐκείνου κατηγορεῖν ἐπεξιόντος τοῖς ἀτόπως ὑπὸ τοῦδε δρωμένοις, τουτονὶ δὲ πρὸς ἐκείνου κατηγορούμενον φαύλην περιβάλλεσθαι δόξαν, ὅτι δὴ μὴ τὸν ἀρέσκοντα τῷ φιλοσόφῳ μετῄει βίον.

Πάλιν ἐν τῷ ἕκτῳ παραδοξολογῶν ὁ μυθολόγος ἄγει μὲν αὐτὸν ἅμα τοῖς ἑταίροις καμήλῳ ὀχούμενον ἐφ' οὓς φησιν Αἰγυπτίων γυμνοὺς φιλοσόφους, ἔνθα δὴ προστάξαντος τοῦ γυμνοῦ πτελέα, φησί, τὸ δένδρον προσαγορεύει τὸν Ἀπολλώνιον ἐνάρθρῳ καὶ θήλει τῇ φωνῇ, καὶ τούτοις γε ἡμᾶς ὁ Φιλαλήθης πιστεύειν ἀξιοῖ. εἶτα Πυγμαίους ἄνδρας ὑπὲρ τὴν τούτων ἱστορεῖ χώραν καὶ Ἀνθρωποφάγους καὶ Σκιάποδας σάτυρόν τε πρὸς τοῦ Ἀπολλωνίου μεθυσκόμενον. ἐξ ἐκείνων δ' αὖθις ἐπάνεισιν ἐπὶ τὴν Ἑλλάδα, ὁμιλίαι τε πάλιν αὐτῷ καὶ προγνώσεις ἀνακοινοῦνται πρὸς Τίτον, καὶ δηχθέντα ἔφηβον ὑπὸ λυττῶντος κυνός, ὃν δὴ καὶ ἐμαντεύσατο, ὅς τις εἴη τὴν ψυχήν, ὅτι ὁ τῆς Αἰγύπτου ποτὲ βασιλεὺς Ἄμασις, τῆς συμφορᾶς ἀπαλλάττει, μέχρι καὶ τοῦ κυνὸς ἐπιτείνας τὸ φιλάνθρωπον. ταυτὶ μὲν οὖν τὰ πρὸ τῆς κατηγορίας αὐτῷ πεπραγμένα, ἐπιστῆσαι δ' ἄξιον δι' ὅλης τῆς πραγματείας, ὡς ὅτι κἂν ἀληθεύειν δοθῇ τῷ συγγραφεῖ τὰ παράδοξα, συνεργείᾳ δαίμονος ἕκαστον αὐτῷ διαπεπρᾶχθαι τούτων σαφῶς

δείκνυται. τό τε γὰρ τοῦ λοιμοῦ προαισθέσθαι ἴσως μὲν οὐδὲν περίεργον ἂν δόξειεν, εἰ [καθὼς αὐτὸς] ἀπὸ λεπτοτάτης καὶ καθαρᾶς διαίτης κατείληπτο, ὡς αὐτὸς ἔφησεν, ἴσως δὲ καὶ αὐτὸ ἐξ ὁμιλίας δαίμονος αὐτῷ προμεμήνυτο. καὶ γὰρ δὴ καὶ τὰ λοιπά, ὅσα κατὰ πρόγνωσιν διειληφώς τε καὶ προειρηκὼς εἰσῆκται, εἰ καὶ μυρίοις ἐλέγχοις ἐξ αὐτῆς πάρεστι τῆς τοῦ Φιλοστράτου γραφῆς εὐθύνειν, ὅμως ἵνα συγχωρηθείη καὶ τοῦτ' εἶναι ἀληθές, κατὰ περίεργον μηχανὴν εἴποιμ' ἂν πρὸς δαίμονος αὐτῷ παρέδρου τινὰ τῶν μελλόντων, οὐδὲ γὰρ πάντα, κατειλῆφθαι. τοῦτο δὲ παρίστησι σαφὲς τὸ μὴ δι' ὅλου καὶ περὶ πάντων τὴν πρόγνωσιν αὐτὸν ἀποσῴζειν, ἀπορεῖν δὲ ἐν πλείστοις καὶ πυνθάνεσθαι δι' ἄγνοιαν, ὅπερ οὐκ ἄν, εἰ θείας ἀρετῆς μετῆν αὐτῷ, πεπόνθει. καὶ αὐτὸ δὲ τὸ παῦσαι τὸν λοιμόν, ὁποῖον εἴληχε τὸ δρᾶμα, ὅτι φάσμα καὶ οὐδέν τι πλέον ἦν, προδεδήλωται. ἀλλὰ καὶ ἡ ψυχὴ Ἀχιλλέως παρὰ τῷ αὐτοῦ μνήματι τί ἂν διατρίβοι τὰς ἐν μακάρων νήσοις, ὡς ἂν φήσειέ τις, ἀπολείπουσα διαγωγάς, εἰ μὴ καὶ τοῦτο δαίμονος ἦν ἐπιφανείας παρουσία; καὶ τοῦ ἀσελγοῦς δὲ μειρακίου σαφῶς ἔνοικον δαίμονα, καὶ πάλιν, ἣν ἔφησεν ἔμπουσάν τε καὶ λάμιαν ἐμπεπαρῳνηκέναι τῷ Μενίππῳ, μείζονι τάχ' ἴσως ἐξελήλακε δαίμονι, ὁμοίως τε αὖ καὶ τὸν τὰς φρένας παρατραπέντα νεανίαν ὑπὸ τοῦ λυττῶντος κυνὸς αὐτόν τε τὸν δαιμονῶντα κύνα τῇ αὐτῇ μετήλλαξε μεθόδῳ. ὅρα δὴ οὖν, ὡς ἔφην, τὴν πᾶσαν αὐτῷ παπαραδοξοποιίαν, ὡς διὰ δαιμονικῆς ἀπετελεῖτο ὑπουργίας. τὸ γὰρ τῆς ἀναβιωσάσης κόρης, εἴγ' ἔμπνους ὑπῆρχε σπινθῆρα ψυχῆς κατὰ τὸν συγγραφέα καὶ ἰκμάδα ἐπὶ τοῦ προσώπου φέρουσα, περιαιρετέον τῆς θαυματοποιίας, οὐ γὰρ ἄν, ὡς καὶ πρόσθεν ἔφην, σιωπῇ τὸ τηλικοῦτο παρεδόθη ἐπ' αὐτῆς Ῥώμης βασιλέως ἐπιπαρόντος γεγενημένον. μυρία μὲν οὖν καὶ ἄλλα πάρεστιν ἐκ τῶν αὐτῶν ἀναλέξασθαι συγγραμμάτων τό τε ἐν αὐτοῖς εὐέλεγκτον καὶ ἀσύστατον μυθῶδές τε καὶ τερατῶδες ἀπευθύνειν. ὅμως, ἐπεί γε οὐδὲ πολλῆς τὰ κατὰ τὸν ἄνδρα δεῖται σπουδαιολογίας, οὐχ ὅτι γε ἐν θείοις καὶ παραδόξοις καὶ θαυμασίοις, ἀλλ' οὐδ' ἐν φιλοσόφοις παρά τισι τῶν νῦν μνήμης ὑπαρχούσης αὐτοῦ τοῖς εἰρημένοις ἀρκεσθέντες μετίωμεν καὶ ἐπὶ τὸ ἕβδομον περὶ αὐτοῦ σύγγραμμα.

Κατηγορεῖται δῆτα γοητείαν ὁ ἀνήρ. εἶτα Δημητρίῳ φιλοσόφῳ ἀποτρέποντι αὐτὸν τῆς ἐπὶ τὴν Ῥώμην παρόδου μὴ πειθόμενος ἐπαχθῆ τινα καὶ φορτικὰ περὶ ἑαυτοῦ ὧδέ πως λέγει· «ἐγὼ δὲ γιγνώσκω μὲν πλεῖστα ἀνθρώπων, ἅτε εἰδὼς πάντα, οἶδα δὲ ὧν οἶδα τὰ μὲν σπουδαίοις, τὰ δὲ σοφοῖς, τὰ δὲ ἐμαυτῷ, τὰ δὲ θεοῖς.» καὶ δὴ ὁ ἐν τούτοις πάντ' εἰδέναι μεγαλαυχούμενος προϊὼν ἄγνοιάν τινων πρὸς τοῦ λόγου κατηγορεῖται. εἶτα Δάμις αὐτῷ μεταπλάττεται διὰ θανάτου φόβον τὸν φιλόσοφον ἐπικρυπτόμενος. ἄκουε δ' οὖν τοῦ συγγραφέως, ἃ περὶ αὐτοῦ φησιν ἀπολογούμενος· «αἰτία μὲν ἥδε τοῦ μεταβαλεῖν τὸν Δάμιν τὸ τῶν Πυθαγορείων σχῆμα», οὐ γὰρ κακίᾳ γε αὐτὸ μεθεῖ-

ναί φησιν, «οὐδὲ μεταγνούς, τέχνην δὲ ἐπαινέσας, ἣν ὑπῆλθεν ἐς τὸ συμφέρον τοῦ καιροῦ.» ἐπὶ τούτοις ὁ Φιλόστρατος τέσσαρας αἰτίας τὰς δὴ εὐχερεῖς αὐτῷ πρὸς ἀπολογίαν νομισθείσας ἐκτίθησιν ἀπὸ πλείστων καὶ ἄλλων αὐτὰς ὁμολογῶν ἀνειλέχθαι, ὧν ἡ μέν τις ἦν, τί δῆτα μαθὼν οὐ τὴν αὐτὴν ἅπασιν ἔχοι στολήν, ἡ δέ, τοῦ χάριν οἱ ἄνθρωποι θεὸν αὐτὸν νενομίκασι, τρίτην, πόθεν προείποι Ἐφεσίοις τὸν λοιμόν, ἐπὶ ταύταις, τίνι βαδίσας εἰς ἀγρὸν ἀνατέμοι τὸν παῖδα τὸν Ἀρκάδα. πρὸς ταύτας δέ φησι καὶ τὴν ἀπολογίαν αὐτὸν γεγραφέναι. πρότερον δ' ἱστορεῖ δεσμοῖς αὐτὸν παραδοθῆναι καί τι θαυμαστὸν ἐνταῦθα κατεργάσασθαι· τῷ γάρ τοι Δάμιδι μάλα λυπηρῶς, ὡς ἂν ἐπὶ συμφορᾷ τοῦ διδασκάλου, διακειμένῳ αὐτόματον ἐπιδεῖξαι λελυμένον τοῦ δεσμοῦ τὸ σκέλος, εἶτα πάλιν ἀναλαβόντ' αὐτὸν τῆς λύπης ἐνθεῖναι εἰς τὸ πρότερον σχῆμα τὸν πόδα. μετὰ τοῦτο κρινόμενον αὐτὸν ἐπὶ βασιλέως Δομετιανοῦ γράφει [εἶτα] δὴ τῶν ἐγκλημάτων ἀπολυθῆναι καὶ μετὰ τὴν τῶν ἐγκλημάτων λύσιν οὐκ οἶδ' ὅπως ἀκαίρως, μοι δοκεῖν, ἐν τῷ δικαστηρίῳ αὐτὰ δὴ ταῦτα ἀναφωνῆσαι «δός, εἰ βούλει, κἀμοὶ τόπον, εἰ δὲ μή, πέμπε τὸν ληψόμενόν μου τὸ σῶμα, τὴν γὰρ ψυχὴν ἀδύνατον. μᾶλλον δὲ οὐδ' ἂν τὸ σῶμα τοὐμὸν λάβοις·

οὐ γάρ με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι»,

καὶ δὴ ἐπὶ τούτῳ τῷ περιβοήτῳ ῥήματι ἀφανισθῆναι τοῦ δικαστηρίου φησὶν αὐτόν, καὶ ἐν τούτοις τὸ περὶ αὐτοῦ καταστρέφει δρᾶμα.

Ὁ μὲν οὖν συγγραφεὺς ἐπὶ τοῦ κατὰ τὸ δεσμωτήριον θαύματος κατὰ φαντασίαν, ὡς ἔοικεν, ὑπὸ τοῦ παρέδρου δαίμονος τῷ Δάμιδι ἑωραμένου ἐπιφέρει λέγων «τότε πρῶτον ὁ Δάμις φησὶν ἀκριβῶς ξυνεῖναι τῆς Ἀπολλωνίου φύσεως, ὅτι θεία τε εἴη καὶ κρείττων ἀνθρώπου, μὴ γὰρ θύσαντά τι, πῶς γὰρ ἂν ἐν δεσμωτηρίῳ; μηδὲ εὐξάμενον, μηδὲ εἰπόντα τι καταγελάσαι τοῦ δεσμοῦ καὶ ἐναρμόσαντα αὐτῷ τὸ σκέλος τὰ τοῦ δεδεμένου πράττειν.» ἐγὼ δὲ οὔποτ' ἂν καταγνοίην βραδύτητα τοῦ φοιτητοῦ, εἰ τὸν πάντα βίον συνὼν αὐτῷ καὶ διά τινων περιέργων ὁρῶν αὐτὸν ἀποτελοῦντα τὰ παράδοξα οὐδέν τι διαφέρειν αὐτὸν ἡγεῖτο τῆς θνητῆς φύσεως, ἀλλ' ἔτι καὶ νῦν μετὰ τοσαύτην θαματουργίαν τὰ κατ' αὐτὸν ἀγνοεῖ, εἰκότως δ' ἀγωνιᾷ καὶ δέδιε ὡς ὑπὲρ ἀνθρώπου, μή τι πάθοι παρὰ προαίρεσιν. εἰ δὲ δὴ πρῶτον ἄρτι μετὰ τὴν τοσαύτην διατριβήν, ὅτι δὴ θεῖος εἴη καὶ κρείττονος ἀνθρώπου φύσεως, συνίησι, τὴν τούτου συνιδεῖν ἄξιον αἰτίαν, ἣν αὐτὸς ὁ συγγραφεὺς δηλοῖ λέγων «μὴ γὰρ θύσαντά τι, μηδὲ ἐπευξάμενον, μηδέ τι τῶν ἀπορρήτων εἰρηκότα» τὸ παράδοξον ἰδεῖν αὐτὸν πεποιηκότα. οὐκοῦν τὰ πρότερον διὰ περιέργου μηχανῆς ἐτελεῖτο τῷ ἀνδρί, διὸ μηδὲ καταπλήττεσθαι αὐτά, μηδὲ θαυμάζειν τὸν Δάμιν, εἰκότως δὲ νῦν τοῦτο πρῶτον πέπονθεν, ὡς ξένου τινὸς ὑπ' αὐτοῦ παρὰ τὰ συνήθη διαπεπραγμένου. πρὸς τὸ δειχθὲν δὲ τοῦ δεσμοῦ φάσμα καὶ τὴν ἀπὸ τοῦ δικαστηρίου ἀναχώρησιν τὰς πρὸς

Δομετιανὸν αὐτοῦ τοῦ Ἀπολλωνίου φωνὰς παραθείμην ἄν· δεσμοῖς γάρ τοι αὐτὸν παραδοθῆναι προστάξαντος βασιλέως πάνυ γε ἀκολούθως ὁ Ἀπλλώνιος συνελογίσατο ὡδί πως «εἰ μὲν γόητά με ἡγῇ, πῶς δήσεις; εἰ δὲ δήσεις, πῶς γόητα εἶναι φήσεις;» ἀντικρούσει γοῦν αὐτῷ τις ὡδί πως ἐκ τούτων ὁρμώμενος· εἰ μὲν οὐ γόης, πῶς λέλυταί σου τὸ σκέλος; εἰ δὲ λέλυται, πῶς οὐ γόης; καὶ εἰ τῷ ὑπομεῖναι τὸν δεσμὸν οὐ γόης, τῷ μὴ ὑπομεῖναι καὶ κατ' αὐτὸν ὡμολόγηται γόης. καὶ αὖ πάλιν, εἰ ὑπομείνας τὸ δικαστήριον οὐ γόης, τῷ δὲ διαδρᾶναι τοῦτο καὶ τοὺς ἀμφ' αὐτὸν βασιλέα, λέγω καὶ τοὺς ἐν κύκλῳ δορυφόρους, σαφῶς ἀναπέφανται γόης. ὃ δή μοι δοκῶ, συνησθημένος ὁ λόγος θεραπεύει τὸ γεγονὸς ὡς δὴ ἄνευ θυσιῶν καὶ ἐπῳδῶν ἀρρήτῳ τινὶ καὶ ὑπὲρ ἄνθρωπον δυνάμει τοῦ παραδόξου πεφηνότος. ἀλλὰ γὰρ οὐκ ἐς μακρὰν αὖθις ὁ τῆς φύσεως παραστήσεται ἔλεγχος· αὐτίκα γάρ τινος ἐπιστάντος αὐτῷ καὶ φήσαντος «ἀφίησί σε, ὦ Ἀπολλώνιε, τουτωνὶ τῶν δεσμῶν ὁ βασιλεὺς καὶ ἐλευθέριον δεσμωτήριον συγχωρεῖ οἰκεῖν» ὁ κρείττων ἢ ἄνθρωπος καὶ τῶν μελλόντων προγνώστης

κωφοῦ τε ξυνιεὶς καὶ οὐ λαλέοντος ἀκούων

ὑπὸ τῆς ἄγαν, ὡς εἰκός, περιχαρείας ἀποπεσὼν τῆς προγνώσεως πυνθάνεται λέγων «τίς οὖν ὁ μετασκευάσων με ἐντεῦθεν;» ὁ δὲ «ἐγώ», ἔφη «καὶ ἕπου.» εἶτα καὶ λόγον ἀπολογίας ὁ θειότατος μάλα γε πεφροντισμένως συντάττει, ἀγνοῶν, ὅτι δῆτα εἰς μάτην αὐτῷ σπουδασθήσεται ἡ γραφή. οἴεται μὲν γὰρ ἀκούσεσθαι αὐτοῦ ἀπολογουμένου βασιλέα, καὶ ὡς ἀκουσομένου γε σφόδρα πιθανῶς παρασκευάζεται τὴν ἀπολογίαν, ὁ δὲ ταύτην μὴ ἀναμείνας εἰς οὐ δέον αὐτοῦ τὴν σπουδὴν κατεστήσατο. ἄκουε δὴ οὖν καὶ περὶ τούτων, οἷά φησιν ὁ ἔλεγχος· «ἐπεὶ δὲ καὶ λόγος αὐτῷ συνεγράφη τις ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ἀφήσοντι, ξυνεῖλε δὲ αὐτὸν ὁ τύραννος ἐς ἃς εἴρηκα ἐρωτήσεις, ἀναγεγράφθω καὶ ὁ λόγος.» ὅρα δή, πῶς τοῦ μέλλοντος πορρωτάτω τυγχάνων ὁ πάντα θειότατος μετὰ πλείστης ὅσης φροντίδος ὡς πρὸς ὕδωρ τὴν ἀπολογίαν ποιησόμενος ἐσπούδαζεν.

Ἀλλὰ γὰρ διεξιτητέον καὶ τὴν εἰς μάτην αὐτῷ πεποιημένην ἀπολογίαν, ἅ, ὡς πολλὰ καὶ ἄλλα ἐν ταύτῃ, Δομετιανῷ προσφωνῶν ἀπαυθαδίζεται λέγων, ὡς ἄρα Οὐεσπασιανὸς «σὲ μὲν βασιλέα ἐποίησεν, ὑπ' ἐμοῦ δὲ ἐγένετο.» βαβαὶ τῆς ἀλαζονείας, ἣν οὔτι γε ὁ τυχών, ἀλλ' οὐδὲ εἰ φιλόσοφός τις ἀληθῶς καὶ τὴν ἀνθρωπείαν ὑπεραίρων ἐγεγόνει φύσιν, ἐτερατεύσατο ἂν μὴ οὐχὶ δίκην ἀνοίας παρὰ τοῖς ἔμφροσιν ὑποσχών. εἶτα δὲ τῆς κατ' αὐτὸν ὑποψίας ἑαυτὸν ἀπολυόμενος ταῦτα περὶ γοήτων φησίν· «ἀλλὰ τοὺς γόητας ψευδοσόφους φημί, τὰ γὰρ οὐκ ὄντα εἶναι παρ' αὐτοῖς, καὶ τὰ ὄντα ἄπιστα εἶναι.» καταμάθοι δ' οὖν τις ἔκ τε τῆς ὅλης πραγματείας καὶ τῶν ἐν μέρει δεδηλωμένων, πότερα ἐν θείοις καὶ φιλοσόφοις ἢ ἐν γόησιν αὐτὸν κατατακτέον, ἐπιστήσας οἷς τε αὐτὸς περὶ γοήτων καὶ ψευδοσόφων

εἴρηκε καὶ οἷς δεδήλωκεν ἡ κατ' αὐτὸν ἱστορία· δρύες τε γὰρ καὶ πτελέαι ἐνάρθρῳ καὶ θήλει φωνῇ λαλοῦσαι καὶ τρίποδες αὐτόματοι φοιτῶντες καὶ χάλκεοι θεράποντες διακονούμενοι πίθοι τε ὄμβρων καὶ ἀνέμων καὶ σανδαράκινον ὕδωρ καὶ ὅσα ἄλλα τοιαῦτα εἰσῆκται, παρ' οἷς ἡγεῖτο θεοῖς, οὓς καὶ οὐκ ὤκνει διδασκάλους ἐπιγράφεσθαι, τίνος ἂν εἶεν παραστατικὰ ἢ τῶν «τὰ οὐκ ὄντα εἶναι καὶ τὰ ὄντα ἄπιστα εἶναι» παραδεικνύντων; οὓς αὐτὸς γόητας ὀνομάζων ψευδοσόφους ὑπάρχειν ἀποφαίνεται. ἤτοι οὖν ἐπὶ τούτοις ὁ θεῖος καὶ ἐνάρετος καὶ θεοῖς κεχαρισμένος τὸ σοφίας ἀναδησάμενος βραβεῖον αὐτοῦ Πυθαγόρου καὶ τῶν, ὅσοι μετ' ἐκεῖνον, θειότερος ἀληθῶς καὶ μακρῷ εὐδαιμονέστερος ἂν κριθείη, ἢ ἔμπαλιν ψευδοσοφίας ἁλοὺς κακοδαιμόνων ἀποίσεται τὰ πρωτεῖα.

Πάλιν δ' ἐν τῇ γραφῇ περὶ Μοιρῶν ἰσχύος φιλοσοφῆσαι αὐτὸν ἐν Ἰωνίᾳ φησὶ διδάσκοντα οὕτως ἄτρεπτα εἶναι, ἃ κλώθουσιν, ὡς εἰ καὶ βασιλείαν τῳ ψηφίσαιντο ἑτέρῳ ἤδη ὑπάρχουσαν, οὐδ' ἂν ἀποκτείνειέ τις τοῦτον, ὡς μὴ ἀφαιρεθείη ποτὲ ὑπ' αὐτοῦ τὸ ἄρχειν, καὶ ἂν ἀναβιῴη ἀποθανὼν ὑπὲρ τῶν δοξάντων ταῖς Μοίραις. καὶ τούτοις ἐπιλέγει αὐταῖς συλλαβαῖς «ὅτῳ πέπρωται γενέσθαι τεκτονικῷ, οὗτος, κἂν ἀποκοπῇ τὼ χεῖρε, τεκτονικὸς ἔσται, καὶ ὅτῳ νίκην ἐν Ὀλυμπίᾳ δρόμου ἄρασθαι, οὗτος [δ'], οὐδ' εἰ πηρωθείη τὸ σκέλος, ἁμαρτήσεται τῆς νίκης, καὶ ὅτῳ ἔνευσαν Μοῖραι τὸ ἐν τοξικῇ κράτος, οὗτος, οὐδ' εἰ ἀποβάλοι τὰς ὄψεις, ἐκπεσεῖται τοῦ εὐσκόπου.» τούτοις τὸν ἄρχοντα κολακεύων ἐπιφέρει λέγων «τὰ δὲ τῶν βασιλέων ἔλεγον ἐς τοὺς Ἀκρισίους δήπου ὁρῶν καὶ τοὺς Λαΐους Ἀστυάγην τε τὸν Μῆδον καὶ πολλοὺς ἑτέρους εὖ τίθεσθαι τὰ τοιαῦτα δόξαντας, ὧν οἱ μὲν παῖδας, οἱ δὲ ἐγγόνους ἀποκτείνειν οἰηθέντες ἀφηρέθησαν ὑπ' αὐτῶν τὸ βασιλεύειν ἀναφύντων ἐπ' αὐτοὺς ἐξ ἀφανοῦς ξὺν τῷ πεπρωμένῳ, καὶ εἰ μὲν ἠγάπων κολακευτικήν, εἶπον ἂν καὶ τάδε ἐντεθυμῆσθαι, ὅτε ἀπείληψο μὲν ὑπὸ Βιτελλίου, κατεπίμπρατο δὲ ὁ ναὸς τοῦ Διὸς περὶ τὰς ὀφρῦς τοῦ ἄστεος, ὁ δ' εὖ κείσεσθαι τὰ ἑαυτοῦ ἔφασκεν, εἰ μὴ διαφύγοις αὐτὸν — καίτοι μειράκιον ἱκανῶς ἦσθα, καὶ οὔπω οὗτος — ἀλλ' ὅμως, ἐπεὶ Μοίραις ἐδόκει ἕτερα, ὁ μὲν ἀπώλετο αὐταῖς βουλαῖς, σὺ δὲ τὰ ἐκείνου νῦν ἔχεις. ἐπεὶ δὲ ἁρμονίᾳ κολακευτικῇ ἄχθομαι, δοκεῖ γάρ μοι τῶν ἐκρύθμων τε καὶ οὐκ εὐφθόγγων εἶναι, τετμήσθω μοι ἥδε ἡ νευρὰ καὶ μηδὲν ἡγοῦ τῶν σῶν ἐντεθυμῆσθαί με.» διὰ τούτων δὲ ὁμοῦ τὸν ἄνδρα κόλακα καὶ ψεύστην καὶ πάντα μᾶλλον ἢ φιλόσοφον ὁ ὑπὲρ τῆς ἀληθείας παρίστησι λόγος, τοσαῦτα γὰρ πρότερον εἰπὼν κατὰ τοῦ Δομετιανοῦ κολακεύει νῦν ὁ γεννάδας καὶ καθυποκρίνεται ὡς οὐδέν τι κατ' αὐτοῦ, μᾶλλον δὲ ὑπὲρ αὐτοῦ τῶν περὶ Μοιρῶν αὐτῷ καὶ ἀνάγκης ἐν Ἰωνίᾳ κεκινημένων. ἀνάλαβε δῆτα τὴν ἱστορίαν, ὦ συγγραφεῦ, καὶ τῆς μέθης διανήψας τὰ πρότερόν σοι γραφέντα λαμπρᾷ καὶ φιλαλήθει δίελθε τῇ φωνῇ, μηδὲν ὑποστειλάμενος, ὡς ἐν Ἐφέσῳ διατρίβων

«ἀφίστη Δομετιανοῦ τοὺς ἄνδρας καὶ ὑπὲρ τῆς ἁπάντων ἐρρώννυε σωτηρίας καὶ τὰς μὲν ἐπιστολιμαίους ὁμιλίας οὐκ ἀσφαλεῖς αὐτοῖς ᾤετο, τῶν δὲ ἑταίρων τοὺς σωφρονεστάτους ἄλλοτε ἄλλον ἀπολαμβάνων «διάκονον» ἔλεγε «ποιοῦμαί σε ἀπορρήτου λαμπροῦ, βαδίσαι δέ σε χρὴ ἐς Ῥώμην παρὰ τὸν δεῖνα καὶ τὸν δεῖνα καὶ διαλεχθῆναί οἱ», καὶ (ὡς) «διελέγετο μὲν ὑπὲρ Μοιρῶν καὶ ἀνάγκης καὶ τὸν λόγον διῄει, ὅτι μηδὲ οἱ τύραννοι τὰ Μοιρῶν οἷοι βιάζεσθαι», καὶ ὡς «χαλκῆς εἰκόνος ἱδρυμένης Δομετιανοῦ πρὸς τῷ Μέλητι ἐπιστρέψας ἐς αὐτὴν τοὺς παρόντας «ἀνόητε» εἶπεν «ὡς πολὺ διαμαρτάνεις Μοιρῶν καὶ ἀνάγκης· ᾧ γὰρ μετὰ σὲ τυραννεῦσαι πέπρωται, τοῦτον καὶ εἰ ἀποκτείνειας, ἀναβιώσεται.» ὁ δὴ μετὰ τοὺς τοιουσδὶ λόγους κολακεύων τὸν τύραννον καὶ μηδέν τι τούτων ὡς πρὸς αὐτὸν εἰρῆσθαι αὐτῷ κατειρωνευόμενος πῶς οὐ μοχθηρίας ἁπάσης (ἂν) καὶ ἀνελευθερίας κριθείη, εἰ μὴ ἄρα ψευδηγόρους τινὰς καὶ κατηγόρους τοῦ ἀνδρός, οὐχὶ δὲ ἀληθεῖς συγγραφέας θείη τις τοὺς ταῦτα μνήμῃ παραδεδωκότας; καὶ ποῦ τοῦ Φιλαλήθους «οἱ παιδεύσεως μὲν ἐπὶ πλεῖστον ἥκοντες, τὸ δ' ἀληθὲς τιμῶντες συγγραφεῖς Δάμις τε ὁ φιλόσοφος ὁ καὶ συνδιατρίψας τῷ δηλουμένῳ καὶ Φιλόστρατος ὁ Ἀθηναῖος», ἀφ' ὧν ταῦτα παρατίθεται, οὓς σαφῶς οὕτως ἐναντιολογοῦντας κομπάζοντάς τε ἀληθῶς καὶ τοῖς μαχομένοις παρισταμένους ψεύστας ἐναργῶς καὶ ἀπαιδεύτους καὶ γόητας τῆς ἀληθείας τὸ φέγγος διήλεγξεν; ἐπὶ πᾶσι τὸν Ἀπολλώνιον ἀπαλλαγέντα τοῦ δικαστηρίου ἐν Λεβαδείᾳ [ἐλθεῖν] ἱστορεῖ βουλόμενον εἰς Τροφωνίου κατελθεῖν μὴ ἐπιτρέπεσθαι πρὸς τῶν ἐπιχωρίων γόητα καὶ τούτων ἡγουμένων αὐτόν. καίτοι ἄξιον ἀπορῆσαι παραθέμενον τὰς ἐν ἀρχῇ τοῦ Φιλοστράτου λέξεις, ἐν αἷς ἀπορῶν, ὅτι δὴ γόητα αὐτὸν ὑπειλήφασιν αὐτὰ δὴ ταῦτα θαυμάζει λέγων Ἐμπεδοκλέα μὲν καὶ Πυθαγόραν καὶ Δημόκριτον τοῖς αὐτοῖς μάγοις ὡμιληκότας οὔπω ὑπῆχθαι τέχνῃ, Πλάτωνά τε παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων τε καὶ προφητῶν πολλὰ παρειληφότα καὶ ταῦτα τοῖς ἰδίοις ἀναμίξαντα λόγοις οὐδαμῶς δόξαι τισὶ μαγεύειν, τουτονὶ δὲ οὔπω γιγνώσκεσθαι παρ' ἀνθρώποις, ὅτι δὴ ἀπὸ τῆς ἀληθινῆς ὁρμῷτο σοφίας, μάγον δὲ αὐτὸν πάλαι τε καὶ εἰσέτι νῦν νενομίσθαι τῷ μάγοις Βαβυλωνίων Ἰνδῶν τε Βραχμᾶσι καὶ τοῖς Αἰγυπτίων Γυμνοῖς ὡμιληκέναι. τί δῆτα οὖν εἰρήσεται πρὸς αὐτόν; ὦ οὗτος, τῷδε τῷ ἀνδρὶ τί τοιοῦτο ἐπεχειρεῖτο, ὡς μόνον γόητα πάλαι τε καὶ εἰσέτι νῦν νενομίσθαι παρὰ τοὺς τηλικούτους ἄνδρας, οἳ τῶν αὐτῶν αὐτῷ, ὡς φῄς, διδασκάλων πεπειραμένοι διέπρεψαν μὲν καὶ καθ' οὓς ἐγνωρίζοντο χρόνους καὶ εἰς τοὺς μετέπειτα δὲ τῆς σφῶν φιλοσοφίας ἀοίδιμον καταλελοίπασι τὴν ἀρετήν, εἰ μὴ ἄρα πέρα τῶν προσηκόντων ἐγχειρῶν τοῖς εὖ φρονοῦσι φανερὸς καθειστήκει; αὐτίκα τῶν νῦν εἰσιν,οἳ περιέργους μηχανὰς τῇ τοῦ ἀνδρὸς ἀνακειμένας προσηγορίᾳ κατειληφέναι λέγουσιν. ἀλλ' οὐκ ἔμοιγε τούτοις φίλον προσέχειν τὸν νοῦν. ἀλλὰ γὰρ καὶ

περὶ τῆς τελευτῆς τἀνδρὸς ἀκόλουθα τοῖς προτέροις συντάττων οὐδὲν ἀληθὲς ἐξέφηνεν εἰδέναι, τοὺς μὲν γὰρ ἐν Ἐφέσῳ τελευτῆσαι αὐτὸν ἱστορεῖν, τοὺς δὲ ἐν Λίνδῳ (παρελθόντα) ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς, ἄλλους δὲ ἐν Κρήτῃ, καὶ τοσαύτην ἄγνοιαν τοῦ περὶ αὐτὸν τέλους κατασκεδάσας βούλεται αὐτὸν ἐς οὐρανὸν αὐτῷ σώματι χωρῆσαι. ἐσδραμόντος γὰρ ἐς ἱερόν φησι κλεισθῆναι τὰς πύλας καὶ τινὰ ᾠδὴν ἀδόκητον παρθένων ἐκπεσεῖν, τὸ δὲ ᾆσμα εἶναι· «στεῖχε, στεῖχε ἐς οὐρανόν, στεῖχε.» λέγει δέ, ὡς μήτε τάφῳ μήτε κενοταφίῳ τοῦ ἀνδρός πω περιτύχοι, καίτοι τῆς γῆς, ὁπόση ἐστίν, (φήσας) ἐπελθεῖν (πλείστην), καὶ βούλεται αὐτῷ ἡ διάνοια μηδὲ ὅλως θανάτου τὸν ἄνδρα θιγεῖν, πρότερον μὲν γὰρ ἀμφιβάλλων περὶ τοῦ τρόπου, καθ' ὃν ἐτελεύτα, φησὶν «εἴγε ἐτελεύτα», ὕστερον δὲ διαρρήδην καὶ ἐς οὐρανὸν αὐτὸν χωρῆσαι φάσκει. ὅθεν ὡς δὴ τοιοῦτον ὄντα καὶ κατὰ τὸ προοίμιον τῆς [ὅλης] γραφῆς καὶ καθ' ὅλην τὴν γραφὴν Πυθαγόρου καὶ Ἐμπεδοκλέους θειότερόν φησι προσεληλυθέναι φιλοσοφίᾳ.

Ἀλλὰ γὰρ ἐν τούτοις περιγραφομένου τοῦ λόγου βραχέ' ἄττα περὶ Μοιρῶν καὶ εἱμαρμένης φέρε διαλάβωμεν, ὅ τι καὶ βούλοιτο δι' ὅλης αὐτῷ τῆς ὑποθέσεως ὁ λόγος τὸ μὲν ἐφ' ἡμῖν ἀναιρῶν, ἀνάγκην δὲ εἰσάγων καὶ εἱμαρμένην καὶ Μοίρας, διαθροῦντες, ταύτῃ γὰρ ἡμῖν ἐντελῶς καὶ ἡ ἐν δόγμασι ψευδοδοξία τἀνδρὸς διευθυνθήσεται. εἰ δὴ οὖν κατὰ τὸν τῆς ἀληθοῦς φιλοσοφίας λόγον ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ' ἄλλο κινοῦν καὶ ὑφ' ἑτέρου κινούμενον παῦλαν ἔχον κινήσεως παῦλαν ἔχει ζωῆς, καὶ αἰτία ἑλομένου, θεὸς ἀναίτιος, τίς αἱρεῖ λόγος, ἄκουσαν, οὐχὶ δὲ κατὰ προαίρεσιν, ἀψύχου δίκην σώματος ἔξωθέν ποθεν κινουμένην καὶ ὡσπερεὶ νευροσπαστουμένην ὧδε κἀκεῖσε τὴν ἀεικίνητον ἄγεσθαι φύσιν μηδὲν μηδαμῶς ἐξ ἰδίας ὁρμῆς καὶ κινήσεως ἐνεργοῦσαν, μηδὲ εἰς ἑαυτὴν τὴν τῶν δρωμένων ἀναφέρουσαν αἰτίαν ταύτῃ τε μήτε φιλοσοφοῦσαν ἐπαινετέαν τυγχάνειν μήτ' αὖ ψεκτὴν κακίας ἔμπλεων καὶ πονηρίας; τί δῆτα οὖν Εὐφράτῃ λοιδορούμενος καταμέμφῃ, ὦ τᾶν, εἰ μὴ παρ' ἑαυτοῦ, ἀλλ' ἐξ εἱμαρμένης ἐπὶ τὸ κέρδος ἐκδούς, ὡς αὐτὸς ἀξιοῖς, ὠλιγώρει φιλοσοφίας; τί δὲ καὶ γόησιν ἐνυβρίζεις ψευδοσόφους ἀποκαλῶν ὑπὸ Μοιρῶν, ὡς ἡγῇ, καθελκομένους ἐπὶ τὸν κακοδαίμονα βίον; τί δὲ κακίαν ἁπλῶς ὀνομάζεις, καὶ πονηρός τις ἀνθρώπων οὐκ ἐν δίκῃ κρίνεται παρὰ σοὶ τὸν ἐξ ἀνάγκης εἱμαρμένον ἀποπληρῶν ὅρον; καὶ ἔμπαλιν τίνι λόγῳ Πυθαγόραν σεμνολογῶν θαυμαστὸν ἐπιγράφῃ διδάσκαλον, καὶ Μοιρῶν παίγνιον, ἀλλ' οὐκ ἐραστὴν ὄντα φιλοσοφίας οὐκ ἀπολείπεις ἐπαινῶν, Φραώτης δὲ καὶ Ἰάρχας (οἱ) Ἰνδῶν φιλόσοφοι τί μᾶλλον παρὰ σοὶ θεῶν ἀπηνέγκαντο δόξαν μηδέν τι παιδείας ἴδιον, μηδ' ἀρετῆς ἀπενεγκάμενοι κλέος; Νέρωνος δ' ὡσαύτως καὶ Δομετιανοῦ τί οὐχὶ Μοίραις καὶ ἀνάγκῃ τὴν ἀκόλαστον περιάπτεις ἀγερωχίαν πάσης αἰτίας καὶ παντὸς

ἐγκλήματος ἐλευθερῶν τοὺς ἄνδρας; ἀλλὰ καὶ εἴ τῳ πέπρωται, ὡς φής, δρομικῷ καὶ τοξικῷ καὶ τεκτονικῷ, οὕτω δὴ καὶ εἰ γόητι τὸν τρόπον ὄντι μάγῳ ἀναφανῆναι μιαιφόνῳ τε καὶ πονηρῷ καὶ ἀκολάστῳ, πάντως που ἐξ ἀνάγκης τοιόσδε τις ἀποβήσεται. τί δῆτα οὖν περινοστῶν τοῖς μὴ οἵοις τε τυχεῖν διορθώσεως ἀρετὴν προκηρύττεις; ἢ τί καταμέμφῃ τοῖς τὴν μοῖραν, ἀλλ' οὐ τὴν προαίρεσιν ἀτοπωτάτοις; τί δὲ καί, εἰ αὐτῷ σοι πέπρωτο θείῳ ὄντι τὴν φύσιν ὑπερᾶραι βασιλέων δόξης, εἰς διδασκάλων ἐφοίτας καὶ φιλοσόφων Ἀραβίους τε καὶ Βαβυλωνίων μάγους καὶ σοφοὺς Ἰνδῶν ἐπολυπραγμόνεις; πάντως γάρ που καὶ τῆς τούτων δίχα κοινωνίας τὰ ἐκ Μοιρῶν ἐτελεῖτό σοι. τί δὲ καὶ οἷς νομίζεις θεοῖς τὰ μελιττοῦτα καὶ τὸν λιβανωτὸν εἰς μάτην ῥιπτεῖς, εὐσέβειάν τε ἐπιμορφαζόμενος ἐπ' εὐχὰς τρέπεσθαι τοὺς ἑταίρους παρορμᾷς; αὐτός τε εὐχόμενος τί παρὰ θεῶν αἰτεῖς, ὁπότε καὶ τούτων ὁμολογεῖς τὴν εἱμαρμένην κρατεῖν; καὶ μὴν ἔδει τοὺς ἄλλους θεοὺς παραμειψάμενον Ἀνάγκῃ μόνον καὶ Μοίραις θύειν καὶ τοῦ Διὸς αὐτοῦ μᾶλλον τὴν εἱμαρμένην προτιμᾶν. οὕτω δ' ἄν σοι θεοὶ μὲν οὐκέτ' ἂν ἦσαν καὶ εἰκότως, ἅτε μηδὲ ἀνθρώπους οἷοί τε ὠφελεῖν. ἀλλὰ καὶ (εἰ) πέπρωτο τοὺς Ἐφεσίους ἁλῶναι λοιμῷ πολίτας, τί τἀναντία νομοθετῶν παρακρούῃ τὴν εἱμαρμένην; μᾶλλον δὲ πῶς ὑπερῆρας τὴν Μοῖραν, τρόπαιον ὥσπερ κατ' αὐτῆς ἀράμενος; εἰ δὲ καὶ τῆς Κλωθοῦς ἐπὶ τῇ κόρῃ τὸ νῆμα πέρας εἰλήχει, πόθεν ἐξ ὑπαρχῆς μετὰ θάνατον ἀναδησάμενος τῷ μίτῳ τὸν ἄτρακτον, ζωοποιὸς αὐτῇ παραπέφηνας; ἀλλ' ἴσως Μοῖραι καὶ σὲ αὐτὸν ἐπὶ ταῦτ' ἦγον. οὔτι πω φήσεις κατ' ἀξίαν, πολλοῦ γε καὶ δεῖ, ὃς πρὸ τῆς εἰς τοῦτο τὸ σῶμα παρόδου τῶν ἐν θαλάττῃ καὶ κύμασι διατριβόντων γεγονέναι σεαυτὸν λέγεις, ἀλλ' ἐξ ἀνάγκης, ὡς εἰκὸς καὶ τοῦτο. οὔκουν θαυμάσιος οὔτε τῆς πρώτης γενέσεως καὶ τροφῆς, οὔτε τῆς ἐγκυκλίου παιδείας, οὔτε τῆς ἐν ἀκμῇ σώφρονος ἀγωγῆς, οὔτ' ἀσκήσεως τῆς ἐν φιλοσοφίᾳ, ἣν δ' ἄρα τις Μοιρῶν ἀνάγκη καὶ εἰς Βαβυλωνίους ἐλαύνουσα, ὠθούμενος δ' ὥσπερ καὶ τοῖς Ἰνδῶν ὡμίλεις σοφοῖς. καὶ ἐπὶ τοὺς Αἰγυπτίων δὲ Γυμνοὺς οὐχ ἡ προαίρεσις, οὐδ' ὁ φιλοσοφίας πόθος, Μοῖρα δὲ ἦγεν ἄγχουσα καὶ ἐπὶ τὰ Γάδειρα καὶ τὰς Ἡρακλείους στήλας ἑῷόν τε καὶ ἑσπέριον Ὠκεανὸν ἀλᾶσθαι καὶ αὐταῖς ἀτράκτοις εἰς μάτην ἐξεβιάζετο περιστρέφεσθαι. εἰ δὲ δὴ μετειληφέναι τι σοφίας αὐτὸν ἐκ τούτων εἴποι τις, Μοῖρα καὶ τούτων αἰτία καὶ οὐκέτ' ἂν ἐν φιλομαθέσιν ὁ ἀνὴρ καταλεχθείη, οὐδ' ἂν εὐλόγως θαυμασθείη τῆς οὐ κατὰ γνώμην, ἀλλὰ κατὰ ἀνάγκην αὐτῷ πορισθείσης φιλοσοφίας. ἐν ἴσῳ δ' ἂν συγκρινόμενος εἴη κατ' αὐτὸν Πυθαγόρας αὐτὸς καὶ τι τερατῶδες καὶ ἀπερριμμένον ἀνδράποδον, Σωκράτης αὐτὸς φιλοσοφίας ὑπεραποθνήσκων καὶ οἱ τοῦτον θανάτου ἄξιον γραψάμενοι, Διογένης τε καὶ τὰ Ἀθηναίων μειράκια, καὶ ἁπλῶς εἰπεῖν ὁ σοφώτατος οὐκ ἂν διαφέροι τοῦ ἀφρονεστάτου καὶ ὁ ἀδικώτατος τοῦ δικαιοτάτου ὅ τε ἀκολαστότατος τοῦ

σωφρονεστάτου καὶ ὁ δειλότατος τοῦ ἀνδρειοτάτου εἱμαρμένης καὶ Μοιρῶν παιγνίων τούτων ἁπάντων ἀποδεδειγμένων. ἀλλὰ γὰρ πρὸς ταῦτα τῆς ἀληθείας ὁ κῆρυξ ἀναβοήσεται λέγων· ὦ ἄνθρωποι, θνητὸν καὶ ἐπίκηρον γένος, ποῖ δὴ φέρεσθε τὸν τῆς ἀγνωσίας ἄκρατον ἐμπιόντες; λήξατε ποτὲ καὶ διανήψατε τῆς μέθης καὶ διανοίας ὀρθοῖς ὄμμασι τὸ σεμνὸν τῆς ἀληθείας ἐνοπτρίσασθε πρόσωπον. οὐ θέμις ἀλήθειαν πολεμεῖν ἑαυτῇ καὶ μάχεσθαι, οὐδὲ δυοῖν ἐναντιωτάτοιν μίαν ὑφεστάναι καὶ τὴν αὐτὴν αἰτίαν. τῆς τοῦ θεοῦ προνοίας τὰ πάντα κρατούσης θείοις νόμοις διατέτακται τὸ πᾶν, ἀνθρώπων τε ψυχῆς ὅρος αὐτοκράτορά τε καὶ κριτὴν ἡγεμόνα τε καὶ κύριον αὐτὸν ἑαυτοῦ καθίστησι φυσικοῖς νόμοις καὶ φιλοσόφων δόγμασιν ἐκδιδάσκων, ὡς ἄρα τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν, καὶ ἐφ' ἡμῖν μέν, ὅσα γένοιτ' ἂν κατὰ προαίρεσίν τε καὶ πρᾶξιν, ἃ καὶ φύσει ἐλεύθερα ἀκώλυτα ἀπαρεμπόδιστα τυγχάνει, τὰ δὲ οὐκ ἐφ' ἡμῖν ἀσθενῆ δοῦλα κωλυτὰ ἀλλότρια, ἃ καὶ περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ἄψυχά τε ὄντα καὶ ἄλογα καὶ πάντῃ τῆς ἰδίας τοῦ λογικοῦ ζῴου φύσεως ἀλλοτρίαν τὴν ὑπόστασιν ἔχει. τῶν δ' ἐφ' ἡμῖν τὴν ἐπὶ θάτερα ὁρμὴν ἀρετῆς τε καὶ κακίας ἕκαστος ἐν αὑτῇ κέκτηται προαιρέσει, καὶ τὸ μὲν τῶν ὅλων δεσπόζον τε καὶ ἡγεμονοῦν εὐθέως περαίνει κατὰ φύσιν περιπορευόμενον, τῷ δ' αἰεὶ συνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, τῶν δ' ἐπὶ τὰς πράξεις ὁρμῶν οὐ Μοίρας, οὐδὲ εἱμαρμένης, οὐδ' ἀνάγκης αἰτία· αἰτία ἑλομένου, θεὸς ἀναίτιος. εἰ δὴ θρασύνοιτό τις τῷ ἐφ' ἡμῖν ἀντιπολεμῶν, μὴ παρακαλυπτέσθω οὗτος· ἀθεότητα ἀναφανδὸν διεξαγορευέτω μὴ πρόνοιαν, μὴ θεόν, μηδέ τι ἄλλο πλὴν Μοιρῶν καὶ ἀνάγκης ὁμολογῶν, καὶ τὰ ἀκόλουθα τούτοις γυμνῇ προσκαταλεγέτω κεφαλῇ. μὴ σοφόν, μὴ ἄφρονα, μὴ δίκαιον, μὴ ἄδικον, μὴ ἐνάρετον, μὴ φαῦλον, μὴ γόητα, μὴ θεῖον ἐν ἀνθρώπων γίνεσθαι φύσει, μὴ φιλοσοφίαν εἶναι, μὴ παιδείαν, μηδ' ὅλως τέχνην τινά, μηδὲ ἐπιστήμην, μή τινα ἄλλον τὴν φύσιν ἀγαθὸν ἢ πονηρὸν ἀποκαλείτω, πάντα δὲ συλλήβδην ἀνάγκῃ καὶ Μοιρῶν ἀτράκτοις περιδινεῖσθαι. ἄθεος δῆτα καὶ δυσσεβὴς οὗτος ἐν εὐσεβῶν καὶ ἐν φιλοσόφων ἀπογεγράφθω κριτηρίῳ, εἰ δ' ἐπικαλυπτόμενος ἕτερα δοξάζειν ἐπιχειροῖ πρόνοιαν καὶ θεούς, Μοῖραν δ' ἐπὶ τούτοις καὶ εἱμαρμένην τις ἀνακηρύττοι μαχομένους καὶ ἐναντίοις παριστάμενος δόγμασιν, ἐν ἄφροσι δίκην ἀνοίας παρασχὼν καταγεγράφθω. ταυτὶ μὲν οὖν ταύτῃ. εἰ δ' ἐπὶ τούτοις ἐν φιλοσόφων διατριβαῖς ἀξιοῖεν ἔτι καταλέγειν τινὲς τὸν ἄνδρα, λελέξεται, ὡς ἄρα εἰ ἀποκαθήρειαν τῆς ἔξωθεν λύμης, ἀτὰρ καὶ τῆς ἀπὸ τῆσδε τῆς γραφῆς ἐπεισκυκλουμένης αὐτῷ σκευῆς, φθόνος πᾶς αὐτοῖς ἐκποδὼν ἂν εἴη, ὅρους δ' εἰ ἀληθείας προϊὼν τις ὑπὲρ φιλοσόφους ἐκθειάζειν αὐτὸν πειρῷτο, λάθοι ἂν αὐτῷ γόητος ἀτεχνῶς διαβολὴν ἐπεντρίβων, ὡς ταυτὶ τὰ συγγράμματα σοφιστικῶς ἀναπεπλασμένα οὐδὲν πλὴν ἐλέγχου καὶ δεινῆς τἀνδρὸς διαβολῆς παρὰ τοῖς νοῦν ἔχουσιν ἔμοιγε δοκεῖ περιέχειν.

ΕΥΣΕΒΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΘΕΟΦΑΝΕΙΑΣ *

(Ἀποσπάσματα)

1. Ἀπόσπασμα.

ὥσπερ δὲ ἐπὶ τοῦ καθ' ἡμᾶς παραδείγματος ὁ μὲν ἀόρατος καὶ ἀφανὴς ἐν ἡμῖν νοῦς, ὃν ὅστις ποτὲ καὶ ὁποῖος ὢν τὴν οὐσίαν ὑπάρχει οὐδεὶς πώποτε ἀνθρώπων ἔγνω [1], βασιλεὺς [δ'] οἷα ἐν ἀπορρήτοις εἴσω τοῖς αὐτοῦ ταμείοις καθιδρυμένος τὰ πρακτέα βουλεύεται, λόγος δ' ἐξ αὐτοῦ πρόεισι μονογενής, οἷα πατρὸς ἐξ ἀδύτων μυχῶν γεγεννημένος, ὃς δὴ καὶ πρῶτος τῶν πατρικῶν τοῖς πασι καθίσταται νοημάτων ἄγγελος εἰς φανερόν τε κηρύττει τὰ ἐν ἀπορρήτοις τῷ πατρὶ βεβουλευμένα, ἔργοις τε ἐπιτελεῖ τὰ βουλεύματα προϊὼν εἰς τὰς πάντων ἀκοάς, εἶθ' οἱ μὲν τῆς ἐκ τοῦ λόγου μεταλαμβάνουσιν ὠφελείας, τὸν δ' ἀφανῆ καὶ ἀόρατον νοῦν, τὸν τοῦ λόγου πατέρα, οὐδεὶς πώποτε εἶδεν ὀφθαλμοῖς· κατὰ ταὐτὰ δὴ μᾶλλον δὲ ἐπέκεινα πάσης εἰκόνος καὶ παραδείγματος ὁ τοῦ παμβασιλέως θεοῦ τέλειος λόγος, οἷα μονογενὴς ⟨πατρὸς υἱός⟩, οὐ προφορικῇ δυνάμει συνεστώς, οὐδ' ἐκ συλλαβῶν ὀνομάτων τε καὶ ῥημάτων τὴν φύσιν κατεσκευασμένος, οὐδ' ἐν φωνῇ δι' ἀέρος πληττομένου σημαινόμενος, θεοῦ δὲ τοῦ ἐπὶ πάντων ζῶν καὶ ἐνεργὴς ὑπάρχων [υἱὸς] λόγος, κατ' οὐσίαν τε ὑφεστὼς οἷα «θεοῦ δύναμις καὶ θεοῦ σοφία [2]», πρόεισι μὲν τῆς πατρικῆς θεότητός ⟨τε καὶ βασιλείας⟩, ἀγαθοῦ δὲ πατρὸς ἀγαθὸν τυγχάνων γέννημα [ ] ⟨κοινός τε ἁπάντων σωτὴρ ἐποχετεύει τὰ σύμπαντα....⟩

2. Ἀπόσπασμα.

⟨τίς ἄλλος πώποτε τῶν ἐξ αἰῶνος βοηθέντων ὡς⟩ οὗτος ὁ παρ' ἡμῖν θεολογούμενος προφητικαῖς ἄνωθεν πρὸ μυρίων χρόνων ἐγνώσθη τε καὶ προεκηρύχθη φωναῖς ⟨παρὰ τοῖς πρόπαλαι θεοφιλέσιν Ἑβραίων παισίν;⟩ οἳ καὶ τὸν τόπον τῆς θεοφανείας αὐτοῦ καὶ χρόνους τῆς ἀφίξεως καὶ τρόπον τοῦ βίου καὶ δυνάμεις καὶ λόγους καὶ κατορθώματα αὐτοῦ προλαβόντες βίβλοις ἱεραῖς ἐγκατέθεντο.

---

* Κατὰ τὴν ἔκδοσιν Dr. Hugo Gressmann, Die Theophanie, die Griechischen Bruchstücke und Übersetzung der Syrischen Überlieferungen. (Ἔκδ. τῆς Preussischen Akademie der Wissenschaften), Leipzig, 1904.

1. Πρβλ. Α' Κορ. 2, 11, 16. Ἰω. 1, 18. 2. Α' Κορ. 1, 24.

3. Ἀπόσπασμα.

⟨ἀλλ' ἵνα μή μοι τὰ νῦν ὁ λόγος εἰς μακρὰν ἐκτείνοιτο *ἐπὶ πάντα τὰ μεγαλουργήματα αὐτοῦ, ὑπ' ὄψεσιν* ἐκκείσθω ὁ αὐτοῦ θάνατος⟩, ὃν δὴ ὑποστῆναι ⟨*ὁ ἑρμηνεὺς τὸ*⟩ τοῦ ⟨θείου⟩ λόγου ⟨*περίβλημα*⟩ τὸ ⟨*ἀποκαλυφθὲν*⟩ ἄγαλμα παρὰ τοῖς πᾶσιν ἀνωμολόγηται. καὶ αὐτὸς δὲ ὁ βοώμενος ⟨θάνατος⟩ πολλοῦ μετέχει τοῦ θαύματος, οὐ κοινὸς τοῖς λοιποῖς ⟨ἀνθρώποις⟩ γεγενημένος,. οὐ γὰρ νόσῳ διαφθαρεὶς οὐδὲ βρόχῳ οὐδὲ πυρὶ οὐδὲ μὴν κατ' αὐτὸ τὸ τοῦ σταυροῦ τρόπαιον ὁμοίως τοῖς λοιποῖς κακούργοις ὑποτμηθεὶς σιδήρῳ, οὐδ' ὅλως πρός τινος ἀνθρώπων παθών τι τῶν ἀναιρεῖν εἰωθότων βιαίαν ὑπέμεινε τελευτήν, ἀλλ' ὡς αὐτὸ μόνον ἑκὼν παρεδίδου τὸ αὐτοῦ ὄργανον τοῖς ἐπιβουλεύουσι, τὸ μὲν ἀπὸ γῆς ἀνωρθοῦτο αὐτίκα, ὁ δὲ φωνήσας μέγα καὶ τῷ πατρὶ τὸ πνεῦμα παρατίθεσθαι [1] εἰπὼν ἄφετος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σώματος ἀναχώρησιν ἐποιεῖτο. διὸ δὴ πρὸ τοῦ θανάτου τοῖς αὐτοῦ γνωρίμοις τοῦτο αὐτὸ παρεδίδου διδάσκων καὶ λέγων· «οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[2]» ⟨*καὶ πάλιν· ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκουσί με τὰ ἐμὰ*[3]*» καὶ «τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.*[4]*» τὴν δὲ τοῦ θανάτου αἰτίαν ἐν βραχέσι παρίστησι λέγων· «ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει, ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει.*[5]*» τεκμήρια γοῦν τοιαῦτα παρέχων ἐπὶ τοῦ θανάτου, ἄφετος αὐτὸς ἀφ' ἑαυτοῦ τὴν ἐκ τοῦ σώματος ἀναχώρησιν ἐποιεῖτο*⟩. εἶτα δὲ τοῦ σώματος αὐτοῦ ληφθέντος πρὸς τῶν γνωρίμων καὶ τῇ προσηκούσῃ παραδοθέντος ταφῇ, τριταῖος αὖθις ἀπελάμβανε τοῦτο αὐτὸς ⟨ὁ πρὶν ἀναχωρήσας ἑκών⟩. καὶ πάλιν αὐτὸς ἑαυτὸν ἔνσαρκον, ἔνσωμον αὐτὸν ἐκεῖνον οἷος καὶ τὸ πρῶτον ἦν τοῖς οἰκείοις μαθηταῖς δείκνυσιν, οἷς καὶ ἐπὶ βραχὺ ὁμιλήσας καί τινα συνδιατρίψας χρόνον, ἄνεισιν ὅθεν καὶ παρῆν, ὑπ' ὀφθαλμοῖς αὐτῶν τὴν εἰς οὐρανοὺς πορείαν ⟨*καὶ ἄνοδον*⟩ στειλάμενος, ⟨οἷς δὴ καὶ ὑποθήκας περὶ τῶν πρακτέων παραδοὺς διδασκάλους τῶν ἐθνῶν ἁπάντων τῆς ἀνωτάτω θεοσεβείας ἀπέφηνεν⟩.

τί δὴ οὖν ἐπὶ τούτοις λείπεται ἢ αὐτὸ δὴ τὸ τοῦ παντὸς κεφάλαιον ὁποίαν ἔσχεν αἰτίαν ἐξειπεῖν, λέγω δὴ τὸ πολυθρύλλητον τοῦ βίου τέλος καὶ τοῦ πάθους τὸν τρόπον καὶ τῆς μετὰ τὸν θάνατον ἀναβιώσεως αὐτοῦ τὸ μέγα θαῦμα. ⟨μετὰ δὲ τὴν τούτων θεωρίαν *πάλιν εἰς τὰς* ἀποδείξεις *παριόντες αὐτὰς* δι' ἐναργῶν πιστωσόμεθα μαρτυριῶν. ὀργάνῳ μὲν οὖν θνητῷ δι' ἃς προείπομεν αἰτίας οἷα δὴ ἀγάλματι θεοπρεπεῖ κεχρημένος τούτῳ τε αὐτῷ οἷα μέγας βασιλεὺς δι' ἑρμηνέως τὸν ἀνθρώπειον διεξελθὼν βίον, πάντ' ἐπαξίως θεϊκῆς

---

1. Πρβλ. Λουκ. 23, 46. 2. Ἰω. 10, 18. 3. Ἰω. 10, 14. 4. Ἰω. 10, 15. 5. Ἰω. 12, 24.

δυνάμεως διεπράξατο.⟩ εἰ μὲν οὖν ἄλλως πως μετὰ τὰς ἐν ἀνθρώποις διατριβὰς ἀφανὴς γεγονὼς ἐξαίφνης ἀπέπτη, ὑποκλέψας λάθρα τὸν ἑρμηνέα καὶ τὸ οἰκεῖον ἄγαλμα φυγῇ τὸν θάνατον διαδρᾶναι σπουδάσας, κἄπειτά που τὸ θνητὸν αὐτὸς δι' ἑαυτοῦ φθορᾷ καὶ ἀπωλείᾳ συνάψας, φάσματι ἂν ἐῴκει τοῖς πᾶσι καὶ οὔτ' ἂν αὐτὸς αὐτῷ τὰ πρέποντα διεπράξατο, ζωὴ μὲν τυγχάνων καὶ θεοῦ λόγος καὶ ⟨θεοῦ⟩ δύναμις, φθορᾷ δὲ καὶ ἀπωλείᾳ τὸν αὐτὸς αὐτοῦ παραδιδοὺς ἑρμηνέα, οὔτ' ἂν τὰ κατὰ δαιμόνων αὐτῷ πεπραγμένα διὰ τῆς τοῦ θανάτου συμπλοκῆς τέλους ἠξιοῦτο, οὔτ' ἂν ἐγνώσθη ὅπη ποτὲ ὑπῆρχε χωρήσας, οὔτ' ἂν ἐπιστεύθη τοῖς μὴ παρειληφόσιν, οὔτ' ἂν θανάτου τὴν φύσιν ἐφάνη κρείττων, οὔτ' ἂν τὸ θνητὸν τῆς οἰκείας ἠλευθέρου φύσεως, οὔτ' ἂν καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἠκούσθη, οὔτ' ἂν θανάτου καταφρονεῖν τοὺς αὐτοῦ μαθητὰς ἔπεισεν, οὔτ' ἂν τῆς μετὰ ⟨τὸν⟩ θάνατον παρὰ θεῷ ζωῆς ⟨τὴν ἐλπίδα⟩ τοῖς τὴν αὐτοῦ διδασκαλίαν μετιοῦσι παρεστήσατο, οὔτ' ἂν τῶν αὐτοῦ λόγων τὰς ἐπαγγελίας ἐπλήρου, οὔτ' ἂν ταῖς προφητικαῖς περὶ αὐτοῦ προρρήσεσι σύμφωνα παρεῖχε τὰ ἀποτελέσματα, οὔτ' ἂν τὸν ὕστατον ἁπάντων ἀγῶνα διήθλησεν. οὗτος δ' ἦν ὁ κατὰ τοῦ θανάτου.

διὸ δὴ τούτων ἕνεκα πάντων, ἐπειδὴ ἐχρῆν ἐξ ἅπαντος τὸ θνητὸν ὄργανον μετὰ τὴν αὐτάρκη διακονίαν, ἣν τῷ θείῳ λόγῳ διηκονήσατο, τέλους θεοπρεποῦς τυχεῖν, ταύτῃ πῃ καὶ αὐτῷ ὁ θάνατος ᾠκονομεῖτο. δυοῖν γὰρ λειπομένων τῷ τέλει, ἢ φθορᾷ καὶ ἀπωλείᾳ παραδοῦναι τὸ πᾶν καὶ ⟨τοῦ παντὸς δράματος⟩ αἰσχίστην ποιήσασθαι τὴν [τοῦ βίου] καταστροφήν, ἢ θανάτου κρείττονα ἑαυτὸν φῆναι θεϊκῇ δυνάμει τὸ θνητὸν ἀθάνατον παραστησάμενον, τὸ μὲν πρῶτον ἀνοίκειον ⟨ἦν⟩ τῆς ἐπαγγελίας. οὐ γὰρ δὴ πυρὸς οἰκεῖον τὸ ψύχειν οὐδὲ φωτὸς τὸ σκοτίζειν· οὕτως οὐδὲ ζωῆς τὸ θανατοῦν οὐδὲ τοῦ θεοῦ λόγου τὸ παραλόγως ἐνεργεῖν. ποῖον οὖν εἶχε λόγον τὸν ἑτέροις ζωὴν ἐπαγγελλόμενον τὸ οἰκεῖον ὄργανον φθειρόμενον παριδεῖν ⟨ἀπωλείᾳ τε παραδοῦναι τὸ αὐτοῦ ἄγαλμα, καὶ τὸν τῆς θεότητος αὐτοῦ ἑρμηνέα θανάτῳ λυμήνασθαι τὸν τοῖς πρόσφυξιν ἀθανασίαν προμνώμενον⟩; οὐκοῦν τὸ δεύτερον ἀναγκαῖον ἦν, λέγω δὲ τὸ θανάτου κρείττονα ἑαυτὸν φῆναι. πῶς οὖν ἐχρῆν τοῦτο ποιήσασθαι; λαθραίως ἄρα καὶ κλοπιμαίως ἢ τοῖς πᾶσιν ἀριπρεπῶς καὶ διαδήλως; ἀλλὰ σκότιον μὲν καὶ κρύφιον αὐτῷ πραχθὲν τὸ κατόρθωμα μηδενί τε γνωσθὲν οὐδένα ἂν ὤνησεν· βοηθὲν δὲ καὶ ἀκουσθὲν εἰς πάντας τοῖς πᾶσι τὴν ἐκ τοῦ θαύματος παρεῖχεν ὠφέλειαν. εἰκότως ἄρα, ἐπειδὴ ἐχρῆν τὸ αὐτοῦ ὄργανον κρεῖττον θανάτου φῆναι καὶ τοῦτο πρᾶξαι μὴ εἰς τὸ λεληθὸς ἀλλ' ἐπ' ὄψεσιν ἀνθρώπων, οὐ φεύγει μὲν τὸν θάνατον· ἦν γὰρ ἂν δειλὸς καὶ θανάτου χείρων ἐνομίσθη· διὰ δὲ τῆς πρὸς τὸν θάνατον συμπλοκῆς οἷα πρὸς ἀνταγωνιστὴν τὸ θνητὸν ἀθάνατον παρίστη, ὕστατον ἀγῶνα τοῦτον ὑπὲρ τῆς ἁπάντων σωτηρίας καὶ ἀθανασίας ἀναδεδειγμένος. ὁ μὲν γὰρ πρῶτος αὐτῷ

κατὰ δαιμόνων[1] ἐνηργεῖτο ἐπὶ καθαιρέσει τῆς πολυθέου πλάνης

. . . .

. . . .

ἐπεὶ δὲ ὁ πρὸς τούσδε τέλος εἶχε ἀγών, ⟨*ἀνελθὼν λοιπὸν ὁ πάντων ἐπινίκιος σωτὴρ τῷ ἐν ἀνθρώποις βίῳ ἐπεδήμησεν*⟩. . . . .

. . . .

. . . .

⟨ὁ δὲ⟩ δεύτερος ἐπὶ λύσει τῆς τοῦ θανάτου καταδυναστείας ἐγίνετο. ⟨*ἔδει γὰρ τὸ τῆς ἀθέου καὶ δαιμονικῆς πλάνης κρεῖττον καὶ τῷ θεῷ λόγῳ ἀκόλουθον καὶ τοῦ ἑαυτοῦ ἔργου ἀξίαν τιμὴν τὴν δὴ κατὰ τοῦ θανάτου νίκην ἀπολαβεῖν.*⟩ οἱ μὲν γὰρ κατ' αὐτοῦ συνηγμένοι δαίμονες ὅ τε τούτων ἐξάρχων ⟨*ὁμοῦ τοῖς ἀμφ' ἀέρα ὑπὲρ γῆς συμπεριπολοῦσι πνεύμασι τοῖς ὄψεσι θνητῶν ἀοράτοις*⟩ τὰ νῶτα κατὰ τὴν πρώτην αὐτῷ συμβολὴν παραχωρήσαντες, τὸν δεύτερον ἆθλον ἐσκόπουν, τοῦ βίου λοιπὸν τὴν ὑστάτην καταστροφὴν ἐκδεχόμενοι καὶ τὴν τοῦ θνητοῦ τελευτὴν ὁμοίαν ἔσεσθαι πᾶσιν ἀνθρώποις καραδοκοῦντες. οὐ γὰρ ἄν πώποτε θνητῶν φύσιν θανάτου κρείττονα γενέσθαι προσεδόκησαν, ⟨*τὸν δὲ θάνατον εἶναι κοινὸν βασιλέα ἁπάντων τῶν ἅπαξ θνητῆς γενέσεως πεπειραμένων. ἀλλ' οἱ μὲν ἐνόμιζον πάντων αὐτὸν εἶναι δεινότατον, ὃν φύγοι καὶ ἀναχωρήσειεν ἂν οὐδείς*⟩, ὁ δὲ μετὰ τὰ πρῶτα κατὰ δαιμόνων τρόπαια ἤδη καὶ κατὰ τοῦ θανάτου παρετάττετο. ὥσπερ δὲ εἴ τις ἄκαυστον ἡμῖν καὶ πυρὸς τῇ φύσει κρεῖττον δεῖξαί τι σκεῦος ἤθελεν, οὐκ ἄλλως ἂν τὸ θαῦμα παρεστήσατο ἢ πυρὶ παραδοὺς τὸ μετὰ χεῖρας κἄπειτα σῶον αὐτὸ καὶ ἀδιάφθορον τοῦ πυρὸς ἐξελών, κατὰ ταὐτὰ δὴ καὶ ὁ τῶν ὅλων ζωοποιὸς ⟨τοῦ θεοῦ⟩ λόγος τὸ θνητὸν ὄργανον, ᾧ πρὸς ἀνθρώπων ἐκέχρητο σωτηρίαν, κρεῖττον θανάτου φῆναι βουληθεὶς (κοινωνόν τε ἀποφῆναι τῆς οἰκείας ζωῆς τε καὶ ἀθανασίας), εὖ μάλα χρησίμην ὑπῄει τὴν οἰκονομίαν, τὸ σῶμα πρὸς βραχὺ καταλιπὼν καὶ τὸ θνητὸν τῷ θανάτῳ παραδοὺς εἰς ἔλεγχον τῆς οἰκείας φύσεως, εἶτ' οὐκ εἰς μακρὰν αὐτὸ τοῦ θανάτου πάλιν ἀφαιρούμενος, εἰς παράστασιν τῆς ἐνθέου δυνάμεως, ⟨δι' ἧς παντὸς θανάτου κρείττονα τὴν πρὸς αὐτοῦ καταγγελθεῖσαν ζωὴν ἀΐδιον ἔφαινεν⟩.

ἡ μὲν οὖν πρώτη αἰτία ἦν αὕτη, δευτέρα δὲ ἡ τῆς ἐν τῷ σώματι κατοικησάσης ἐνθέου δυνάμεως ἔνδειξις. ἐπειδὴ γὰρ τὸ πρότερον τοὺς ὑπὸ τοῦ θανάτου νενικημένους ἄνδρας θνητοὺς ἀληθῶς καὶ κοινὸν τέλος ὑποδεδεγμένους ἐθείαζον ἄνθρωποι, ἥρωάς τε καὶ θεοὺς ὠνόμαζον ⟨τοὺς ὑπὸ τοῦ θανάτου κεκρατημένους, κἀκεῖ⟩ εἰκότως ⟨ἑαυτὸν ταύτης ἕνεκα τῆς αἰτίας ἔφηνεν ὁ φιλάνθρωπος τοῦ θεοῦ λόγος, κρείττονα θανάτου φύσιν ἀνθρώποις δεικνύς, καὶ τὸ μὲν θνητὸν μετὰ τὴν λύσιν ἐπὶ τὴν δευτέραν ζωὴν ἄγων, τρόπαιον δὲ ἀθα-

---

1. Πρβλ. Ματθ. 4, 1 ἑξ.

νασίας κατὰ τοῦ θανάτου τοῖς πᾶσι παρέχων ὁρᾶν, καὶ⟩ διδάσκων μόνον τοῦτον ἐν θανάτῳ θεὸν ἀληθῆ εἶναι ὁμολογεῖν τὸν τὰ βραβεῖα τῆς κατὰ τοῦ θανάτου νίκης ἀναδησάμενον.

τρίτη δ' ἂν εἴη αἰτία τοῦ σωτηρίου θανάτου ἣν ἀπόρρητοι λόγοι περιέχουσι. τίνες οὗτοι; ἱερεῖον ἦν ἀντίψυχον τοῦ κοινοῦ γένους παραδιδόμενον τῷ θανάτῳ, ἱερεῖον ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων ἀγέλης σφαγιαζόμενον, ἱερεῖον δαιμονικῆς πλάνης ἀποτρόπαιον. ⟨ἱερείου δῆτα ἑνὸς καὶ μεγάλου θύματος, τοῦ πανιέρου σώματος τοῦ σωτῆρος ἡμῶν, *ὁμοίως προβάτῳ* [1] ὑπὲρ τοῦ τῶν ἀνθρώπων γένους σφαγιασθέντος καὶ πάντων ἐθνῶν τῶν πρὶν ἀσεβείᾳ δαιμονικῆς πλάνης ἐνεσχημένων ἀντίψυχον⟩ ἀνενεχθέντος, πᾶσα λοιπὸν ἡ τῶν ἀνάγνων ⟨καὶ ἀνιέρων⟩ δαιμόνων δύναμις καθῄρητο, ⟨ἐλέλυτό τε⟩ καὶ παρειτο ⟨αὐτίκα δυνάμει κρείττονι⟩ πᾶσα ⟨γεώδης καὶ ἀπατηλὸς⟩ πλάνη. τὸ μὲν οὖν σωτήριον ἐξ ἀνθρώπων θῦμα, αὐτὸ δὴ τὸ τοῦ ⟨θείου⟩ λόγου σωματικὸν ὄργανον ὑπὲρ ⟨τῆς κοινῆς⟩ ἀνθρώπων ⟨ἀγέλης⟩ καθιεροῦτο ⟨καὶ τοῦτο δ' ἦν τὸ *δι' ἀνθρώπων διαβολῆς* τῷ θανάτῳ παραβεβλημένον σφάγιον⟩, οὗ πέρι λόγων ἱερῶν βοῶσι φωναί, τοτὲ μὲν ⟨ὧδέ πῃ λέγουσαι⟩· «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου [2]», τοτὲ δὲ ⟨ὧδε προαναφωνοῦσαι⟩· «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ⟨καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος⟩ [3], καὶ τό γε αἴτιον διδάσκουσιν ἐπιλέγουσαι· «οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει, αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν. τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἕκαστος τὴν ὁδὸν αὐτοῦ ἐπλανήθη. καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. [4]» τὸ μὲν οὖν σωματικὸν τοῦ θείου λόγου ὄργανον διὰ ταύτας καθιεροῦτο τὰς αἰτίας, ὁ δὲ μέγας ἀρχιερεὺς ⟨ὁ τῷ πανηγεμόνι καὶ παμβασιλεῖ θεῷ ἱερώμενος⟩, ἕτερος ὢν παρὰ τὸ ἱερεῖον, θεοῦ λόγος καὶ «⟨θεοῦ⟩ δύναμις καὶ ⟨θεοῦ⟩ σοφία [5]», οὐκ εἰς μακρὰν τὸ θνητὸν ἀνεκαλεῖτο τοῦ θανάτου καὶ τοῦτο τῆς κοινῆς ἡμῶν σωτηρίας τὴν ἀπαρχὴν ζωῆς ἐνθέου καὶ ἀθανασίας μέτοχον παρίστη, τρόπαιον ἐπινίκιον κατὰ τοῦ θανάτου καὶ κατὰ τῆς δαιμονικῆς παρατάξεως τῶν τε πάλαι ⟨συντελουμένων ἀνθρωπο⟩θυσιῶν ἀπο||τρόπαιον τοῦτο ὑπὲρ ἁπάντων ἀνθρώπων ἀνεγείρας, ⟨*ὅθεν ἐπετέθη αὐτῷ καὶ ἡ τῷ παρὰ τοῖς Ἑβραίοις ἀρχιερεῖ συσχηματιζομένη τοῦ Χριστοῦ προσηγορία. δύο γοῦν ἔλαβεν ὀνόματα, ὧν τὸ μὲν τοῦ σωτηρίου θύματος σημαίνει τὸ τοῦ Ἰησοῦ ὄνομα, τὸ δὲ τοῦ ἀρχιερέως τοῦ ὑπὲρ πάντων ἡμῶν ἱερωμένου θεοῦ λόγου κατὰ τὸ τῶν Ἑβραίων ἔθος δηλοῖ τὸ τοῦ Χριστοῦ*⟩.

---

1. Πρβλ. Ἡσ. 53, 7. 2. Ἰω. 1, 29. 3. Ἡσ. 53, 7. 4. Ἡσ. 53, 4-6. 5. Πρβλ. Α' Κορ. 1, 24.

πρὸς τοῖς εἰρημένοις καὶ ἄλλη τις γένοιτ' ἂν τοῦ σωτηρίου θανάτου μεγίστη αἰτία ἡ λεχθησομένη. ἐπειδὴ γὰρ τοῖς αὐτοῦ φοιτηταῖς ὀφθαλμοῖς ἰδεῖν ἀναγκαῖον ἦν ζωῆς τῆς μετὰ θάνατον ἐναργῶς παλιγγενεσίαν, ἐφ' ἣν τῆς αὐτῶν ἐλπίδας ἀναρτᾶν αὐτοὺς ἐδίδασκεν, δι' ἣν καὶ προὔτρεπεν αὐτοὺς ἔχεσθαι τοῦ τῆς θεοσεβείας ζυγοῦ, εἰκότως τοῦτο ὁρᾶν αὐτοῖς ὀφθαλμοῖς [ἀκριβῶς] παρεῖχεν· ἐχρῆν γὰρ τοὺς μέλλοντας εὐσεβῆ μετιέναι βίον τοῦτο πρῶτον ⟨πάντων⟩ ἀναγκαιότατον μάθημα δι' ἐναργοῦς ὄψεως παραλαβεῖν καὶ πολὺ μᾶλλον ἐκείνους τοὺς εἰς ἅπασαν τὴν οἰκουμένην μέλλοντας ⟨αὐτὸν⟩ ὅσον οὔπω κηρύττειν καὶ τὴν ὑπ' αὐτοῦ πᾶσι τοῖς ἔθνεσι προβληθεῖσαν [διδασκαλίαν τε καὶ] θεογνωσίαν εἰς πάντας καταγγέλλειν ἀνθρώπους. οὓς δὴ πεῖσμα μέγιστον λαβεῖν ἐχρῆν τῆς μετὰ τὸν θάνατον ζωῆς, ὡς ἂν ἀδεεῖς καὶ ἄφοβοι θανάτου τὸν κατὰ τῆς πολυθέου πλάνης ἀγῶνα προθύμως ἀναδέξοιντο· μὴ γὰρ θανάτου καταφρονεῖν μελετήσαντες, οὐκ ἂν πώποτε πρὸς τὰ δεινὰ παρεσκευάζοντο. διὸ δὴ ἀναγκαίως ὁπλίζων αὐτοὺς κατὰ τῆς τοῦ θανάτου δυναστείας, οὐ ῥηματίοις καὶ φωναῖς παρεδίδου τὸ μάθημα οὐδὲ λόγοις ὁμοίως ἀνθρώποις τὸν περὶ ψυχῆς ἀθανασίας πιθανῶς καὶ ἐξ εἰκότων συντάττων, αὐτῷ δὲ ἔργῳ τὰ κατὰ τοῦ θανάτου ἐπεδείκνυ αὐτοῖς τρόπαια.

ἦν μὲν γὰρ πάλαι πρότερον φοβερὸς τοῖς πᾶσιν ὁ τοῦ θνητοῦ γένους ὀλετὴρ θάνατος, καὶ λύσις, ἐνομίζετο τῆς ὅλης ἀνθρώπου φύσεως ψυχῆς ὁμοῦ καὶ σώματος ἡ τούτου δυναστεία, οὐδέ τις ἦν τῶν ἐξ αἰῶνος οἷός τε τουτὶ τὸ φόβητρον ἐξ ἀνθρώπων ἀνελεῖν, πάντες δι' ἐπτήχεσαν φόβῳ μικροὶ καὶ μεγάλοι ⟨*ἄρχοντές τε καὶ δοῦλοι βασιλεῖς ὁμοῦ καὶ δῆμοι πλήθη τε πάντων ἐθνῶν καὶ φῦλα*⟩ τὸν θάνατον, οὐκ ἦν τε τοῦ κακοῦ παραμύθιον ἀνθρώποις οὐ λόγος οὐ τρόπος οὐ βίος οὐ σοφῶν λογισμὸς οὐ παλαιῶν συγγράμματα οὐ προφητῶν θεσπίσματα οὐκ ἀγγέλων ἐπιφάνειαι· πάντων δὲ κρείττων ⟨ὢν⟩ καὶ ἀνώτερος τὴν κατὰ πάντων νικην ἐπεῖχεν ὁ θάνατος ὑψηλός, μεγάλαυχος, ὑπερήφανος, ᾧ δὴ καταδεδουλωμένον τὸ θνητὸν γένος παντοίαις ἐκαλινδεῖτο παρανομίαις, μιαιφονίαις, ἀθεμιτουργίαις, δυσσεβείαις, πολυπλόκῳ πλάνῃ· τούτων γὰρ ἦν ἁπάντων θάνατος αἴτιος. ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον, τὰ μυρίων θανάτων ἄξια δρῶντες διῆγον καὶ ὡς εὐθύναις οὐδαμῶς ὑποκείμενοι διὰ τὴν ἐκ τοῦ θανάτου λύσιν βίον ἔζων ἀβίωτον, ⟨οὐ θεὸν ἐν νῷ λαμβάνοντες, οὐ θείας κρίσεως δικαιωτήρια προσδοκῶντες, οὐ τῆς σφῶν κατὰ ψυχὴν *νοερᾶς* οὐσίας τὴν μνήμην ἀναζωπυροῦντες, ἑνὶ δὲ δεινῷ προστάτῃ τῷ Θανάτῳ χρώμενοι, καὶ τὴν ἐκ τούτου τῶν σωμάτων φθορὰν λύσιν τοῦ παντὸς ἑαυτοὺς εἶναι πείσαντες, θεὸν πλούσιον, παρὸ καὶ Πλούτωνα, τὸν Θάνατον ἀνηγόρευον. καὶ Θάνατος ἦν αυτοῖς θεὸς οὐ μόνος, ἀλλὰ καὶ τὰ πρὸ τούτου τίμια, τὰ δὴ πρὸς ἡδυπαθῆ ζωὴν αὐτοῖς συμβαλλόμενα. θεὸς γοῦν αὐτοῖς ἦν ἡ τῶν σαρκῶν ἡδονή, θεὸς ἡ τροφή, *θεὸς τὸ εἰς γῆν σπέρμα*, θεὸς ἡ τούτου βλάστη, θεὸς ἡ τῶν ἀκρο-

δρύων φυή, θεὸς ἡ διὰ μέθης τρυφή, θεὸς ὁ τῶν σωμάτων πόθος, θεὸς ἡ τούτων ἡδονή. ἔνθεν τὰ Δήμητρος καὶ Φερεφάττης μυστήρια καὶ Κόρης ἁρπαγὴ ὑπὸ Ἀϊδωνέως καὶ πάλιν ἡ ταύτης ἀνάδοσις. ἔνθεν Διονύσου τελεταὶ καὶ νικώμενος Ἡρακλῆς ὡς ὑπὸ κρείττονος θεοῦ τῆς μέθης, ἔνθεν Ἔρωτος καὶ Ἀφροδίτης ὄργια μοιχικά. ἔνθεν Ζεὺς αὐτὸς γυναικομανῶν καὶ Γανυμήδους ἐρῶν, φιληδόνων τε θεῶν καὶ φιλοπαθῶν ἀσελγῆ μύθων ἀναπλάσματα. *τούτων δ' ἦν ἁπάντων θάνατος αἴτιος. τέλος γὰρ καὶ συντέλειαν τοῦ παντὸς λύσιν τε καὶ διαφθορὰν τῶν ψυχῶν ὁμοῦ καὶ τῶν σωμάτων θάνατον καὶ μὴ ἑτέραν ἢ τὴν τοῦ σώματος καὶ τῆς σαρκὸς ζωὴν εἶναι νομίσαντες, βίον πάσης τῶν ἀλόγων ζῴων φύσεως χείρονα διῆγον*⟩.

οὓς δὴ κατελεήσας ὁ παμβασιλεὺς τοῦ θεοῦ λόγος, ⟨*τῷ τοῦ φιλανθρώπου πατρὸς νεύματι*⟩ ἐπὶ τὴν ἄμυναν ἔσπευσεν, εἶθ' οἷα βασιλεὺς φιλανθρωπότατος τὸν κατὰ τοῦ θανάτου ἔλεγχον δι' ἀνθρώπους φύσεως ἐμηχανᾶτο, ζωὴ μὲν αὐτὸς τυγχάνων καὶ θεοῦ λόγος καὶ θεοῦ δύναμις, ἀλλ' οὐ δίχα τοῦ βοηθουμένου τὸ τῶν ἀνθρώπων φόβητρον διελέγξαι κρίνας. διὸ δὴ ὅπλῳ χρησάμενος ἀνθρωπείῳ καὶ θνητῷ σώματι ὁ ἀσώματος, τὸν θάνατον διὰ τοῦ θνητοῦ κατηγωνίσατο. ⟨*ἔνθεν αὐτὸ τὸ πρῶτον τοῦ σώματος μυστήριον κατεσκευάζετο, ἔνθεν τὸ τοῦ σταυροῦ τρόπαιον, ἔνθεν ἡ τῆς ἀθανάτου καὶ αἰωνίου ζωῆς μνήμη «ἀνάμνησις αὐτοῦ*[1]» *ἐχρημάτιζεν.*⟩ θνητῷ γὰρ ὅπλῳ κεχρημένος καὶ μέγα θαῦμα τοῖς πᾶσιν ἀποδείξας, τρόπαιον ἀθανασίας κατὰ τοῦ θανάτου [διὰ τοῦ θνητοῦ ὅπλου] ἔστησεν. ἠφίει μὲν γὰρ τὸ θνητὸν εἰς βορὰν τῷ θηρίῳ, τὸ δ' αὐτίκα τῷ ἰκρίῳ προσηλοῦτο ἀνασταυρούμενον, ὡς ἂν τοῖς πᾶσιν ἡ τοῦ θνητοῦ γνωρισθείη φύσις μηδέ τινα λάθοι τὸ πραττόμενον μὴ ἀνθρώπων μὴ δαιμόνων ⟨*μὴ δυνάμεων κρειττόνων*⟩. ἐχρῆν γὰρ πάντας ἀκριβῶς τὸ θνητὸν ἰδεῖν ὡς ἐν μεγίστῳ θεάτρῳ τὴν οἰκείαν ὁμολογοῦν φύσιν, ἵν' ἑξῆς ἐπελθὼν ὁ θάνατος οἷα θὴρ δεινός, οἷός τις ποτ' ἦν, ἑαυτὸν ἐλέγξῃ κἄπειτα τῆς ζωῆς ἡ δύναμις μετὰ θάνατον ἐπελθοῦσα τοῖς πᾶσιν αὖθις τὴν κατὰ τοῦ θανάτου παραστήσηται νίκην, τὸ θνητὸν ἀθάνατον ἀποδείξασα. || ἠφίει τοίνυν πρὸς βραχὺ τὸ σῶμα ἡ τοῦτο διακρατοῦσα τοῦ θεοῦ λόγου δύναμις, τὸ δ' ἀνηρτημένον ἐπὶ τοῦ ξύλου παραχρῆμα νεκρὸν ἦν, ἀλλ' ὁ λόγος ὁ ⟨*τῶν ἁπάντων*⟩ ζωοποιὸς τὸ νεκρούμενον ἦν, τὸ δὲ θνητὸν τὴν οἰκείαν ὡμολόγει φύσιν. ⟨*κἄπειτα τὸ νεκρὸν τὸ νῦν δὴ τῷ θανάτῳ κρατουμένον ὑπὸ τῶν ἀνθρώπων καθαιρεθὲν τῆς συνήθους ἠξιοῦτο φροντίδος.*⟩ || μνήματι δὲ κατὰ νόμους ἀνθρώπων παρεδίδοτο. τὸ δὲ μνῆμα σπήλαιον ἦν νεοπαγές, σπήλαιον ἄρτι κατὰ πέτρας λελαξευμένον, οὔπω σώματος ἑτέρου πεπειραμένον·[2] ἔδει γὰρ ⟨αὐτῷ⟩ μόνῳ σχολάζειν τῷ μόνῳ παραδόξῳ νεκρῷ. θαυμαστὴ δὲ ἰδεῖν καὶ ἡ πέτρα ἐν ἡπλωμένῳ χώρῳ μόνη ὄρθιος ἀνεσταμένη καὶ

---

1. Πρβλ. Λουκ. 22, 19. Α' Κορ. 11, 24. 2. Πρβλ. Ματθ. 27, 60.

μόνον ἓν ἄντρον εἴσω ἐν αὐτῇ περιέχουσα, ὡς ἂν μὴ πολλῶν γενομένη τοῦ τὸν θάνατον καταγωνισαμένου ἐπισκιάσῃ τὸ θαῦμα. || ἔκειτο μὲν δὴ νεκρὸς αὐτόθι, τὸ τοῦ ζῶντος λόγου ὄργανον, λίθος δ' ἀπέκλειε παμμεγέθης τὸ σπήλαιον, καὶ πολὺς ἦν ἐν τούτῳ γαυριῶν ὁ θάνατος, ὡς ἂν καὶ τοῦτον μετὰ τῶν ἐξ αἰῶνος ἑλὼν ὑποχείριον, ἀλλ' οὔπω τριήμερος παρῄει χρόνος καὶ ἡ ζωὴ πάλιν ἑαυτὴν ἔφαινε μετὰ τὸν αὐτάρκη τοῦ θανάτου ἔλεγχον. εἰ γὰρ δὴ θᾶττον ἀνέστη φθάσας, οὐκ ἂν οὐδὲ τεθνεὼς ἐνομίσθη, ἀλλ' ὅτε γε ἀληθῶς ὕψωτο καὶ ἀληθῶς ἐτεθνήκει, ἐν χρόνῳ δὲ τὸν θάνατον ἀληθῶς ὑποδέδεκτο, τότε δὴ τότε ὁ τῶν ἁπάντων ζωοποιὸς τοῦ θεοῦ λόγος τὴν πᾶσιν ἀνθρώποις ἀποκειμένην ἐλπίδα διὰ τῆς τοῦ [τότε] θνητοῦ παλιγγενεσίας ἐπεδείκνυτο.

τί οὖν ἐπὶ τούτοις γίνεται; οὐκέτι ἐγώ σοι γενοίμην ⟨ἂν⟩ τῶν πεπραγμένων διδάσκαλος. οἱ δὲ τούτων αὐτόπται εἶεν ⟨ἂν⟩ πάντων ἀξιόχρεοι μάρτυρες οἱ δι' αἵματος καὶ ψυχῆς τῇ θέᾳ, τῶν πεπραγμένων τὴν ἀλήθειαν πιστωσάμενοι καὶ τὴν σύμπασαν οἰκουμένην ⟨*τῇ τοῦ μαρτυρουμένου δυνάμει*⟩ τῆς πρὸς αὐτῶν κατηγγελμένης θεοσεβείας καταπλήσαντες. οἵδε γοῦν ⟨*ἐπόπται γενόμενοι τῶν τότε πεπραγμένων*⟩ τὴν αὐτοῖς ὀφθαλμοῖς καταληφθεῖσαν παλιγγενεσίαν ταῖς ἑαυτῶν παρέδωκαν μαρτυρίαις. οὐκ ἦν γὰρ αὐτοῖς ἄχρι λόγου καὶ φωνῆς ἀκουόμενα τὰ πραττόμενα, ἀλλ' ἤδη καὶ ἔργοις ἐθεωρεῖτο καὶ ἐψηλαφᾶτό γε ἀκριβῶς πρὸς τῶν ταῦτα μεμαρτυρηκότων. διὸ δὴ καὶ αὐτοψίᾳ καὶ ἀληθείᾳ τὸ ἐναργὲς κατειληφότες καὶ τῆς κατὰ τοῦ θανάτου νίκης τὰ τρόπαια τεθεαμένοι, εἰκότως ἔμαθον καταφρονεῖν τοῦ θανάτου, ταὐτὸ δὲ καὶ τοὺς αὐτῶν φοιτητὰς ἐδίδασκον, τῆς ἀθανάτου ζωῆς παρὰ τοῦ σωτῆρος εἰληφότες τὰ ἐχέγγυα.

4. Ἀπόσπασμα.

ἐπίδοξος ἦν τις ἀνὴρ τῶν ἐν στρατείαις, ἀξιώματος καὶ ἀρχῆς Ῥωμαϊκῆς ἐπειλημμένος. ἐπειδὴ δὲ ὁ δοῦλος αὐτοῦ γνήσιος πάρετος τὰ μέλη οἴκοι βέβλητο [1], συνιδὼν οἵας ὁ σωτὴρ εἰς ἑτέρους ἐπεδείκνυτο δυνάμεις, ἰώμενος τοὺς κάμνοντας, «πᾶσάν τε νόσων καὶ πᾶσαν μαλακίαν [2]» ἀκούμενος, λογισμῷ κρίνας μὴ κατ' ἄνθρωπον εἶναι τὸ θαῦμα πρόσεισιν ὡς θεῷ, οὐκ εἰς τὸ φαινόμενον ἀπιδὼν τοῦ σώματος ὄργανον, δι' οὗ τὰς ὁμιλίας ἀνθρώποις ἐποιεῖτο, εἰς δὲ τὸν ἀφανῆ θεὸν τὸν διὰ τοῦ θνητοῦ τὰς οἰκείας ἀρετὰς ὑποφαίνοντα. διὸ ⟨*προσέπεσε καὶ προσεκύνησε καὶ λιπαρῶν*⟩ ἐδεῖτο καὶ αὐτὸς ἐπὶ τῷ παιδὶ τῆς θεϊκῆς εὐεργεσίας τυχεῖν.

5. Ἀπόσπασμα.

μεθ' ὅσης μὲν ⟨*οὖν*⟩ ἐξουσίας [3] ἡ τοῦ σωτῆρος προενήνεκται φωνὴ ⟨*ὅσην τε ἀρετὴν παρέστησεν*⟩ ὁπόσης τε πεπλήρωτο δυνάμεως ὅσον τε

1. Πρβλ. Ματθ. 8, 5 ἑξ. 2. Πρβλ. Ματθ. 4, 23. 3. Πρβλ. Ματθ. 8,5 ἑξ.

⟨*καὶ*⟩ τὸ φιλάνθρωπον καὶ πρόχειρον εἰς εὐεργεσίαν, ὡς ἐξ ἑτοίμου ἐπαγγείλασθαι τὴν αὐτοῦ παρουσίαν, οἷον δὲ καὶ τὸ θαῦμα τῆς εὐεργεσίας, οὐδ' ἔστιν ἐπαξίως νοῆσαι. τὸ γὰρ *μὴ πλέον* φθέγξασθαι ⟨*τῷ χιλιάρχῳ ἢ «ὡς ἐπίστευσας γενηθήτω σοι*[1]*»*⟩ καὶ ἅμα λόγῳ ⟨*καὶ*⟩ τὴν ἴασιν τῷ αὐτοῦ παιδὶ παρασχεῖν καὶ ἀπαλλάξαι παραχρῆμα τοῦ νοσεῖν τὸν παρὰ βραχὺ τῷ θανάτῳ κατεσχημένον, πῶς οὐ θεὸν ἀληθῶς διὰ θνητῆς φωνῆς φθεγξάμενον παρίστη; [ ] ἀλλ' εἰ πρὸς τοῦτό τις δυσπίστως ἔχει διὰ τὴν τοῦ θαύματος ὑπερβολήν, ἀλλ' οὐκ ἐπὶ τῆς προρρήσεως σκήπτοιτο ἂν εὐλόγως, ἐφ' ᾗ μείζων ὁ τῆς πράξεως ἔλεγχος ἀποδειχθήσεται, εἴ τις ἐν νῷ λάβοι, ὡς τότε μὲν εἷς Ῥωμαῖος ἦν ὁ τῷ σωτῆρι προσεληλυθὼς χιλίαρχος ὁ δὴ μείζονα καὶ εὐγνωμονεστέραν τοῦ Ἰουδαίων ἔθνους ἐνδειξάμενος τὴν εἰς αὐτὸν ὁμολογίαν, ὁ δ' ἡμέτερος σωτὴρ πολλοὺς ἀνθ' ἑνὸς ἔσεσθαι τοὺς κατ' ἐκεῖνον μέλλοντας αὐτῷ προσιέναι ἐκ τῶν τε πρὸς ἕω καὶ ἀνατολὴν κλιμάτων τῶν τε κατὰ δυόμενον ἥλιον οἰκούντων θεσπίζει, τοὺς διὰ τῆς εἰς αὐτὸν ἐπιγνώσεώς τε καὶ ὁμολογίας τῆς ἴσης παρὰ θεῷ τιμῆς τοῖς Ἑβραίων προπάτορσι καταξιωθησομένους. ὅτι δὴ κἀκείνων ὁ προπάτωρ αὐτὸς δὴ ὁ βοώμενος Ἀβραὰμ ἐκ πατέρων ὁρμώμενος δεισιδαιμόνων μετεβάλετο τὸν βίον, τῆς μὲν πολυθέου πλάνης ἀναχωρήσας, ἕνα δὲ τὸν ἐπὶ πάντων θεὸν ἐπιγνούς, ὁδὶ ⟨*αὐτῷ*⟩ καὶ τοῖς αὐτοῦ παισὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ὁμοίους ἔσεσθαι μυρίους καθ' ὅλης τῆς οἰκουμένης ⟨*τῶν ἀνθρώπων*⟩ καὶ τούτων μάλιστα τὰ πρὸς ἕω ἔθνη καὶ τοὺς κατὰ δυόμενον ἥλιον οἰκοῦντας προαγορεύει προστίθησί τε τούτοις ⟨*καὶ*⟩ τὸ μέγιστον τῆς προρρήσεως· αὐτοὶ Ἰουδαῖοι ⟨*οἱ*⟩ τῶν θεοφιλῶν ἐκείνων ἀπόγονοι, τὸν Ἀβραὰμ[2] αὐχοῦντες καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ, διὰ τὴν εἰς αὐτὸν ἀντιλογίαν τε καὶ ἀπιστίαν, ὡς ἂν τοῦ τῆς γνώσεως φωτὸς ἀπεστερημένοι, ἀπόβλητοι γενήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, τὴν ἄγνοιαν αὐτῶν καὶ τὴν ἐσχάτην ἀμαθίαν τοῦ τε σωτηρίου φωτὸς τὴν στέρησιν ὧδέ πῃ προαναφωνήσας. ἔνθα δὴ ἐπιστῆσαι τοῖς ἀποτελέσμασι προσήκει τὸν νοῦν ὀφθαλμοῖς τε αὐτοῖς παραλαβεῖν, ὡς Ἰουδαῖοι μὲν οἱ τῶν εἰρημένων θεοφιλῶν ἀνδρῶν γένος εἶναι σεμνυνόμενοι ἔκβλητοι γεγόνασιν οὐ τῆς τοῦ θεοῦ βασιλείας μόνον, ἀλλὰ καὶ τῆς αὐτῶν ἱερᾶς καὶ βασιλικῆς μητροπόλεως.

. . . .

ἀντὶ δὲ ἑνὸς τοῦ πάλαι τῷ σωτῆρι προσεληλυθότος χιλιάρχου ἄφατος ἀνδρῶν ἀριθμὸς ἐξ ἁπάντων τῶν ἐθνῶν ⟨*οὐ χιλίαρχοι μόνον ἀλλὰ καὶ τὸ τοῦ Ῥωμαϊκοῦ στρατοπέδου πλῆθος ὡς καὶ μυρίοι ἄρχοντές τε καὶ ἡγεμόνες οἱ τῶν ἐθνῶν καὶ τῶν χωρῶν κρατοῦντες καὶ ἄλλοι τινὲς τιμῇ καὶ ἀξιώματι τούτων ὑπέρτεροι οἱ ἐν τοῖς βασιλείοις σεμνυνόμενοι*⟩ ὁμοίως ἐκείνῳ τῷ ⟨*χιλιάρχῳ τῷ θεοῦ*⟩ Χριστῷ προσιόντες καὶ διὰ τῆς αὐτοῦ διδασκαλίας τὸν τῶν παρ' Ἑβραίοις

---

1. Ματθ. 8, 13. 2. Πρβλ. Γεν. 12, 1 ἑξ. Ῥωμ. 4, 1 ἑξ.

λαμψάντων ⟨*θεοφιλῶν*⟩ ἀνδρῶν ἐπιγνόντες θεόν, τῆς ἴσης αὐτοῖς ἐκείνοις ἠξίωνται παρὰ τῷ παμβασιλεῖ θεῷ ἀμοιβῆς.

6. Ἀπόσπασμα.

⟨*πολλοῦ γὰρ ὄχλου ἐπικειμένου τῷ Ἰησοῦ ἀνέβη, φησίν, εἰ ἐν τῶν πλοίων, ὃ ἦν Σίμωνος. καθίσας δὲ ἐν αὐτῷ, ἡρμήνευσε τοῖς ὄχλοις.*[1] *μετὰ δὲ αὐτάρκη διδασκαλίαν ἐπειδὴ ἔδει καὶ θεϊκὸν ἔργον προστιθέναι τοῖς λόγοις ὠφέλιμον τοῖς ὁρῶσι*⟩, παρακελεύεται μὲν τῷ Πέτρῳ [ὁ κύριος] χαλάσαι εἰς ἄγραν τὰ δίκτυα, ὁ δὲ ⟨*εἶπεν αὐτῷ· «δι' ὅλης νυκτὸς κοπιάσαντες οὐδὲν εὕρομεν. ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὰ δίκτυα», καὶ*⟩ τὰ προστεταγμένα ἐποίει. ὡς δὲ «συνέκλεισαν πλῆθος ἰχθύων πολύ[2]» καὶ διερρήγνυτο τὰ δίκτυα τῷ πλήθει βαρούμενα, προσκαλοῦνται μὲν εἰς βοήθειαν τοὺς ἐν τῷ γειτνιῶντι πλοίῳ, εἶτ' ἀνελκύσαντες τοὺς ἰχθύας πληροῦσιν ἄμφω τὰ σκάφη, ὡς κινδυνεύειν αὐτὰ βυθισθῆναι, ἐφ' οἷς ὁ Πέτρος ἀποθαυμάσας ἐξεπλάγη ἀνάξιόν τε ἑαυτὸν τῆς σωτηρίου ἐπιβάσεως ὡμολόγει. [ ] ὁ δ' ὥσπερ ἐπιδείξας αὐτῷ τὴν τοῦ μέλλοντος εἰκόνα διασαφεῖ ⟨*καὶ*⟩ τὴν ἑρμηνείαν, καί φησι πρὸς αὐτὸν ⟨*ὁ Ἰησοῦς*⟩· «μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν·[3]» [πρὸς δὲ πάντας· δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεις ἀνθρώπων.] Γαλιλαίους ἄνδρας [εὐτελεῖς, ἀγροίκους] οὐδὲν πλέον τῆς Σύρων φωνῆς ἐπισταμένους, ἀλλὰ καὶ τὸ ἐπιτήδευμα ταπεινὸν ⟨*καὶ εὐτελὲς*⟩ τῆς ἁλιείας μετερχομένους εἰκότως ὁ σωτὴρ ἡμῶν θηρευτὰς ἀνθρώπων καὶ κήρυκας τῆς αὐτοῦ διδασκαλίας ποιήσειν ἐπηγγέλλετο καὶ πεποίηκεν οὐ ψευσάμενος τὴν ὑπόσχεσιν, παριστὰς θεοῦ δύναμιν ἐνεργητικὴν πράγματος πᾶσαν ἀνθρώπων ἀρετὴν καλύπτοντος. εἰ μὲν γὰρ λογίους τινὰς καὶ σοφοὺς ἢ καὶ τῶν παρὰ Ἰουδαίοις ἀνθρώπων ἐνδόξων καὶ πλουσίων προσαγόμενος τούτοις ἐκέχρητο διδασκάλοις τῶν αὐτοῦ λόγων, κἂν εἰκὸς ἦν ἀνθρωπινώτερον ἐπινενοῆσθαι τὸ πρᾶγμα. οὕτω γοῦν οἱ πλείους τῶν ἀνθρώπων εἰώθασιν ὑποτάττεσθαι ἢ χρήμασιν ὑπὸ πλουσίων δελεαζόμενοι ἢ λόγων περιβολῇ καὶ φαντασίᾳ σοφίας ἀπατώμενοι ἢ ὑπεροχὰς ἐνδόξων προσώπων καταπληττόμενοι. ὁ δὲ μὴ τοιούτοις χρησάμενος μαθηταῖς, τοὐναντίον δὲ πένησι καὶ ἀδόξοις καὶ τὸν λόγον ἰδιώταις Σύροις τε τὴν φωνὴν καὶ τὸ σχῆμα ταπεινοῖς καὶ εὐτελέσιν, ἔργῳ δῆλος ἦν μόνῃ τῇ θεϊκῇ δυνάμει χρώμενος, ἣν ἐνεδείξατο πρῶτα μὲν φωνῇ μιᾷ προσκαλεσάμενος αὐτοὺς καὶ ἀκολούθους αὐτοῦ καταστήσας κἄπειτα ἐπαγγειλάμενος σαγηνευτὰς καὶ *κήρυκας* ἀνθρώπων ποιήσειν αὐτούς, ἵν' ἀνθ' ὧν εἶχον δικτύων λαβόντες παρ' αὐτοῦ τὴν ἀπὸ παντοίων λόγων νομικῶν τε καὶ προφητ⟨ικ⟩ῶν τῶν τε τῆς ἐνθέου διδασκαλίας αὐτοῦ πλακεῖσαν σαγήνην ἐμβάλωσιν εἰς τὴν τοῦ ἀνθρωπείου βίου θάλατταν καὶ περι-

1. Πρβλ. Λουκ. 5, 1 ἑξ. 2. Λουκ. 5, 5. 3. Λουκ. 5, 10.

βάλωσιν ὅσους ἂν εὕρωσιν, πληροῦντες τὰ ἑαυτῶν λογικὰ δίκτυα παντὸς γένους λογικῶν ἰχθύων.

ἀλλὰ ταῦτα μέν, διὰ φωνῆς ⟨*τότε*⟩ ἀκουόμενα, ῥήματα καὶ ψόφοι καὶ πλέον ὑπῆρχεν οὐδέν. τῆς δ' ἐνθέου δυνάμεως τὸ ἔργον οὐκ εἰς μακρὰν παρεστήσατο, αὐτὰ δὴ ταῦτα τὰ διὰ τῶν λόγων προηγορευμένα τοῖς ἔργοις ἐπιτελέσας, ὡς ἐν βραχεῖ χρόνῳ τὴν σύμπασαν ⟨*ὁμοῦ*⟩ ἀνθρώπων οἰκουμένην μυρία πλήθη τῶν σαγηνευθέντων ὑπὸ τῶν ⟨*πενήτων καὶ*⟩ ἰδιωτῶν τούτων ἀνδρῶν κτήσασθαι πληρωθῆναί τε ἐκκλησιῶν πάντα τόπον Ἑλλήνων τε καὶ βαρβάρων διὰ μίαν ἐκείνην ἐπαγγελίαν τῆς θεϊκῆς φωνῆς, δι' ἧς οὐ διδάξειν τοὺς ἑαυτοῦ μαθητάς, ἀλλ' αὐτὸς ποιήσειν αὐτοὺς ἁλιέας ἀνθρώπων ἐπηγγείλατο, ὥστ' οὐ προέγνω μόνον οὐδὲ προέφησε τὸ μέλλον, ἀλλὰ καὶ ποιητὴς *τῆς τηλικαύτης γνώσεως* ἀποπέφανται, εἶπέ τε τῷ λόγῳ καὶ πεποίηκε τῷ ἔργῳ, παρέστησέ τε τὸ μέλλον διὰ συμβόλου καὶ εἰκόνος καὶ δι' αὐτῆς ἐνεργείας ἀπεπλήρωσεν. τοῖς γὰρ πάλαι πρότερον ἐν σκοτίᾳ φωτὸς ἀληθείας καὶ θεοῦ γνώσεως ἐν νυκτὶ καταπονηθεῖσι καὶ μηδένα πρὸς σωτηρίαν θηρεῦσαι δεδυνημένοις ἐπιλάμψας τὸ ἑαυτοῦ φέγγος ἐν ἡμέρᾳ καὶ φωτὶ γενομένοις προστάττει, οὐ τῇ οἰκείᾳ ἐπιστήμῃ, τῷ δὲ αὐτοῦ ῥήματι θαρσοῦντας ἐπιβάλλειν τῷ βυθῷ τὰ δίκτυα. οἱ δὲ τοσαῦτα συνήγαγον ἰχθύων πλήθη, ὡς διαρρήγνυσθαι μὲν τὰ θηρευτικὰ ὄργανα, κινδυνεύειν δὲ εἰς βυθὸν χωρεῖν ἀπὸ τοῦ φόρτου τὰ πλοῖα.

ἐπεὶ δὲ ταῦθ' οὕτως *πραττόμενα* τὸν Πέτρον εἰς ἔκπληξιν καὶ φόβον οὐ τὸν τυχόντα ἦγεν, ἀλλὰ ταῦτά σε, φησὶ πρὸς αὐτὸν ὁ σωτήρ, μήπω ἐκπληττέτω. παιδιαὶ γὰρ ἔτι ταῦτα καὶ μελλόντων εἰκόνες. οἵδε μὲν γὰρ ἰχθύες ἄναυδοι καὶ ἄλογοι καὶ ταῦτα σκάφη καὶ δίκτυα ἐξ ἀψύχου ὕλης κατεσκευασμένα, ἀλλ' οὐ τοιαῦτα τούτων τὰ παραδείγματα. μικρὸν γοῦν ὕστερον, μᾶλλον δὲ ἐντεῦθεν ἤδη καὶ «ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν [1]», τῆς μὲν μοχθηρᾶς || ταύτης καὶ ἀνωφελοῦς ἀπαλλαγεὶς ἁλιείας, λογικῶν δὲ ζῴων ἀντὶ τῶν ἀλόγων θηρευτὴς γινόμενος, καὶ οὐκέτι ἐκ βυθῶν θαλάττης, ἐκ δὲ τῆς ἁλμυρᾶς τοῦ βίου πικρίας ἐκ σκοτίων τε μυχῶν ἀθεότητος καὶ κακίας εἰς φῶς νοερὸν καὶ καθαρὰν πνοὴν ἀνελκύσεις τοὺς ὑπὸ σοῦ θηρευθησομένους, μᾶλλον δὲ ζωγρήσεις αὐτοὺς διὰ τοῦ ζωὴν αὐτοῖς ἀλλ' οὐ θάνατον προξενεῖν. οἱ μὲν γὰρ ἐκ πελάγους ἰχθύες ἐν σκότῳ καὶ βυθῷ πρότερον ζῶντες αὐτίκα φωτὸς καὶ πνοῆς μετασχόντες ἀπόλλυνται, οἱ δὲ ἐξ ἀνθρώπων ὑπὸ σοῦ θηρευθησόμενοι ἐκ σκότους ἀγνοίας μεταβαλόντες ἐπὶ ζωὴν ἔνθεον ἀγρευθήσονται. διὸ καὶ «ζωγρῶν ἔσῃ ἀπὸ τοῦ νῦν ἀνθρώπους [2]» ⟨*φησίν*⟩. [ ]

ταῦτα θεϊκῇ δυνάμει προηγόρευσεν ὁ σωτήρ, ταῦτα τοῖς ἔργοις πιστὰ καὶ ἀληθῆ ἐπέδειξεν ὁ αὐτός. ὁ γοῦν ἀμφιβολεὺς ἐκεῖνος, ὁ

---

1. Λουκ. 5, 10. 2. Λουκ. 5, 10.

ἁλιεύς, ὁ Σύρος ἀντὶ τῆς τῶν ἰχθύων θήρας ὅσας ἀνθρώπων ἐσαγήνευσε μυριάδας λόγων ἀπορρήτων δικτύοις θεϊκῇ δυνάμει πλακεῖσιν, οὐκ ἔστιν ἀριθμῷ περιλαβεῖν δυνατόν. ὄψις δ' ἀδήλων τὰ φαινόμενα. ἃ γὰρ ὁ μακρὸς αἰὼν τοῦ βίου πρὸ τῆς τοῦ σωτῆρος θεοφανείας οὐκ ἤνεγκεν, ἃ μήτε Μωσῆς ὁ τῶν Ἑβραίων νομοθέτης μήτε οἱ μετὰ Μωσέα τοῦ θεοῦ προφῆται ⟨*μήτε μυρίοι ἄλλοι πάλαι τὴν ἔνθεον διδασκαλίαν τοῖς ἀνθρώποις ἀναφωνήσαντες θηρευταὶ*⟩ πολλὰ καμόντες διὰ πάσης νυκτὸς [1] τῆς πρὸ τῆς ἐπιφανείας αὐτοῦ καταπράξασθαι μὴ δεδύνηνται, ταῦτα ὁ Γαλιλαῖος, ὁ πένης, ὁ βάρβαρος τὴν φωνήν, αὐτὸς ἐκεῖνος ὁ Πέτρος κατεπράξατο. δεῖγμα δὲ τῶν τότε ἐπιτελεσθέντων πρὸς Πέτρου αἱ εἰς δεῦρο διαλάμπουσαι ἐκκλησίαι, πολὺ μᾶλλον τῶν τότε σκαφῶν λογικῶν ἰχθύων πληθύουσαι, οἵα ἡ κατὰ Καισάρειαν τῆς Παλαιστίνης τυγχάνει, οἵα ἡ ἐπὶ Ἀντιοχείας τῆς κατὰ τὴν Συρίαν, οἵα ἡ ἐπ' αὐτῆς τῆς Ῥωμαίων πόλεως. τάσδε γὰρ αὐτὸς ὁ Πέτρος τὰς ἐκκλησίας καὶ τὰς ἀμφ' αὐτὰς ἁπάσας συστησάμενος μνημονεύεται, καὶ τὰς ἐπ' Αἰγύπτου κατ' αὐτὴν τὴν Ἀλεξάνδρειαν πάλιν αὐτός, οὐ μὴν δι' αὐτοῦ, διὰ δὲ Μάρκου τοῦ μαθητευθέντος αὐτῷ κατεστήσατο. αὐτὸς μὲν γὰρ ἀμφὶ τὴν Ἰταλίαν καὶ πάντα τὰ ἀμφὶ ταύτην ἔθνη ἐσχόλαζεν, τὸν δ' αὐτοῦ φοιτητὴν Μάρκον τῶν κατ' Αἴγυπτον διδάσκαλον καὶ σαγηνευτὴν ἀποδέδειχεν.

τὸν δὲ νοῦν ἐπίστησον καὶ τοῖς λοιποῖς τοῦ σωτῆρος ἡμῶν μαθηταῖς, οὓς ἐπαγγειλάμενος ποιήσειν ἁλιεῖς ἀνθρώπων, ἔργῳ τὸν λόγον ἔδειξεν. εἰσέτι γοῦν καὶ νῦν ὁ αὐτὸς ἐνεργεῖ καὶ ποιεῖ, πανταχοῦ γῆς παρὼν καὶ πᾶσαν τὴν ἀνθρώπων οἰκουμένην τῶν αὐτοῦ λογικῶν δικτύων πληρῶν, ἐκ παντὸς γένους λογικῶν ἰχθύων βαρβάρων τε καὶ Ἑλλήνων, ἀνασπῶν ⟨ἐκ⟩ τοῦ τῆς κακίας βυθοῦ καὶ τοῦ τῆς ἀθεότητος σκότους τὰς τῶν ἀνθρώπων ψυχάς, ἀνέλκων τε αὐτὰς ⟨*ἐφ' ἑκάστης ἡμέρας καὶ ἐφ' ἑκάστης ὥρας*⟩ ἐπὶ τὸ φῶς τῆς ὑπ' αὐτοῦ παραδοθείσης ἐνθέου γνώσεως. . . . .

7. Ἀπόσπασμα.

οὕτω δὲ ⟨*πάλιν*⟩ καὶ Ἰωάννου τοῦ υἱοῦ Ζεβεδαίου, ὃν ἐπὶ τῆς ἁλιείας ἅμα τῷ πατρὶ καὶ τῷ ἀδελφῷ καταρτίζοντα τὰ δίκτυα θεασάμενος τῆς αὐτῆς ἠξίωσε κλήσεώς τε καὶ ἐπαγγελίας [2], καθ' ὅλης τῆς οἰκουμένης ἐκλάμπει τοὔνομα καὶ οἱ λόγοι τὰς τῶν ἀνθρώπων ψυχὰς καταυγάζουσι διὰ τῆς ⟨ὑπ'⟩ αὐτοῦ παραδοθείσης τοῦ εὐαγγελίου γραφῆς παντοίᾳ γλώττῃ Ἑλληνικῇ τε καὶ βαρβάρῳ μεταβληθείσης εἰς ἐξάκουστόν τε πᾶσι τοῖς ἔθνεσιν ἐφ' ἑκάστης ἡμέρας κηρυττομένης.

---

1. Πρβλ. Λουκ. 5, 5. 2. Πρβλ. Ματθ. 4, 21.

8. Ἀπόσπασμα.

καὶ ἐπειδήπερ ἐν προφητείαις ἀναγράπτοις εἰς αὐτοῦ πρόσωπον εἴρηται προφητικῶς· «αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς[1]», διὰ τοῦτο ὡς ἂν τῆς προφητικῆς μαρτυρίας ἔργῳ νῦν πληρωθείσης, φησὶ τοῖς αὐτοῦ μαθηταῖς· [ ] «ἐδόθη μοι πᾶσα ἐξουσία ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς[2]» [ ]. τῶν μὲν γὰρ κατ' οὐρανὸν ἐξ αἰῶνος ἐπεῖχε τὴν βασιλείαν, τῶν δ' «ἐπὶ γῆς» νῦν αὐτῷ δεδόσθαι φησὶ τὴν ἀρχὴν ⟨«ὑπὸ τοῦ πατρὸς[3]» *ἀκολούθως τῷ* «*αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.*[4]»⟩ πάλαι μὲν γάρ, ὡς Μωσῆς μαρτυρεῖ, ⟨«ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων»⟩[5], ἄγγελοι θεοῦ ἦσαν ⟨*πάντας*⟩ τοὺς ⟨*πρότερον*⟩ ἐπὶ γῆς ἐγκεχειρισμένοι. διατραπείσης δὲ τῆς ἀνθρωπότητος ἐπὶ τὴν πολύθεον πλάνην καὶ τῶν ἐπιστατούντων ἀγγέλων μηδὲν πρὸς τοῦτο ἐπικουρεῖν δυναμένων, αὐτὸς δὴ λοιπὸν ὁ ⟨*κοινὸς*⟩ τῶν ὅλων σωτὴρ διὰ τῆς αὐτοῦ θεοφανείας μετὰ τὴν κατὰ τοῦ θανάτου νίκην διδάσκει, ὅτι μηκέτ' ἀγγέλοις ἀλλ' αὐτῷ πρὸς τοῦ πατρὸς ἡ τῶν ἐπὶ γῆς ἐθνῶν ἐξουσία δέδοται. διὸ τοῖς αὐτοῦ μαθηταῖς οὐ πρότερον, ἀλλὰ νῦν παρεκελεύσατο περιελθεῖν καὶ μαθητεῦσαι πάντα τὰ ἔθνη.[6] ἀναγκαίως δὲ προστίθησι ⟨*καὶ*⟩ τὸ μυστήριον τῆς ἀποκαθάρσεως. ἐχρῆν γὰρ τοὺς ἐξ ἐθνῶν ἐπιστραφέντας «παντὸς μολυσμοῦ[7]» καὶ μιάσματος διὰ || τῆς αὐτοῦ δυνάμεως ἀποκαθαίρεσθαι, ἐκ τῆς δαιμονικῆς καὶ εἰδωλολάτρου πλάνης ⟨*ἐρρυπωμένους*⟩ μιάσμασί τε παντοίοις ἐνεσχημένους ἄρτι τε πρῶτον ἐξ ἀκολάστου καὶ παρανόμου βίου μεταβεβλημένους. τούτους δὲ καὶ διδάσκειν παραινεῖ μετὰ τὴν ἀποκάθαρσιν τὴν διὰ τῆς αὐτοῦ μυστικῆς διδασκαλίας, οὐ τὰ Ἰουδαϊκὰ παραγγέλματα οὐδὲ τὰ παρὰ Μωσεῖ νόμιμα ἀλλ' ὅσα ⟨αὐτὸς⟩ αὐτοῖς ἐνετείλατο φυλάττειν. ταῦτα δ' ἦν, ἃ δὴ συμφώνως οἱ πάντες ἐκπεριελθόντες πάντα τὰ ἔθνη παραδεδώκασι ⟨*πᾶσι τοῖς γνωρίμοις καὶ πάσαις*⟩ ταῖς καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίαις. ἀναγκαίως δὲ αὐτοὺς προτρέπει καὶ προθυμοτέρους ἀπεργάζεται ἐπὶ τὸ θηρεῦσαι περιελθεῖν τε πάντα τὰ ἔθνη καὶ μαθητεῦσαι πᾶν γένος ἀνθρώπων, δι' ἧς πεποίηται πρὸς αὐτοὺς ὑποσχέσεως εἰπών· «καὶ ἰδοὺ ἐγώ εἰμι μεθ' ὑμῶν.[8]» [ ] τούτῳ δὲ τῷ τῆς ἐπαγγελίας λόγῳ ἔργον ἐπιθεὶς θεϊκῇ τε δυνάμει ἑκάστῳ συνὼν ⟨*καὶ πᾶσιν ὁμοῦ παρὼν*⟩ συμπνέων τε αὐτοῖς καὶ συνεργῶν ἐπιστώσατο τὸ κατόρθωμα, διδασκάλους [τε] αὐτοὺς τῶν ἐθνῶν ἁπάντων τῆς ὑπ' αὐτοῦ παραδοθείσης θεοσεβείας ἀποδεικνύμενος. ταύτῃ γοῦν ἐπιθαρσήσαντες τῇ ἐπαγγελίᾳ, ἔργῳ τοὺς αὐτοῦ λόγους ἐπλήρουν· αὐτίκα μηδὲν ὑπερθέμενοι σὺν πάσῃ προθυμίᾳ προῆλθον ἐπὶ τὴν τῶν

---

1. Ψαλμ. 2, 8. 2. Ματθ. 28, 18. 3. Ματθ. 11, 27. 4. Ψαλμ. 2, 8. 5. Δευτ. 32, 8. 6. Πρβλ. Ματθ. 28, 19. 7. Πρβλ. Β' Κορ. 7, 1. 8. Ματθ. 28, 20.

ἐθνῶν διδασκαλίαν, ἔργῳ μὲν αὐτῷ παραλαβόντες καὶ ὀφθαλμοῖς ὁρῶντες ζῶντα τὸν πρὸ μικροῦ θανόντα, καὶ ὃν ἐξωμόσαντο ἀρνησάμενοι διὰ τὰ συμβεβηκότα, τοῦτον αὐτὸν ἐναργῶς καὶ αὐτοπροσώπως παρόντα καὶ συνήθως προσδιαλεγόμενον ἐπαγγελλόμενόν τε αὐτοῖς τὰ προλελεγμένα, οὐκ ἔχοντες δὲ ὅπως ἀπιστήσωσι ταῖς ἐπαγγελίαις διὰ τὴν θεωρουμένην ὄψιν. ἦ γὰρ ἂν καὶ ἀπώκνησαν πρὸς τὸ ἐπίταγμα ἀγροικίαν ἑαυτοῖς καὶ λόγων ἰδιωτείαν συγγινώσκοντες, δι' ἣν τάχα ἂν καὶ παρῃτήσαντο, εἰκότως λογισάμενοι, ὡς οὐχ οἷόν τε ἦν Σύρους τὴν γλῶτταν καὶ πλέον ἁλιείας μηδὲν ἐπισταμένους, διδασκάλους Ἑλλήνων ὁμοῦ καὶ Ῥωμαίων Αἰγυπτίων τε καὶ Περσῶν καὶ τῶν λοιπῶν βαρβάρων ἐθνῶν καταστῆναι ἀντινομοθετῆσαί τε τοῖς ἁπανταχοῦ γῆς νομοθέταις τε καὶ βασιλεῦσι τἀναντία τοῖς περὶ τῶν πατρῴων θεῶν ἐκ τοῦ παντὸς αἰῶνος δεδομένοις. ἀλλ' οὐκ ἐξῆν αὐτοῖς ταῦτα διανοεῖσθαι, ἀκούσασι μὲν θεοῦ φωνῆς λεγούσης αὐτοῖς «ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι ⟨πάσας τὰς ἡμέρας⟩»[1], ὁρῶσι δὲ ἐναργῶς τὴν τοῦ λαλοῦντος θεότητα κρείττονα θανάτου φανεῖσαν. διὸ καὶ δέος αὐτοῖς τῆς παρακοῆς εἰσῄει, ἔνθεν ὁμόσε τοῖς κινδύνοις ἐχώρουν, τῆς μετὰ θάνατον ζωῆς παρὰ τοῦ διδασκάλου λαβόντες τὰ ἐχέγγυα, προῆλθόν τε εὐθαρσῶς ἐπὶ τὴν τῶν ἁπάντων ἐθνῶν περίοδον, τοῦ σφῶν διδασκάλου τὰς ὑποσχέσεις ἔργοις πιστούμενοι. . . . . . .

9. Ἀπόσπασμα.

ἅπαξ οὖν ἀποφηναμένου δεῖν κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν ἐπὶ πάντα τὰ ἔθνη, εἰ μὴ τοὔργον ἐπηκολούθηκε τῷ λόγῳ, μηδὲ τὰ τῆς ἐκ νεκρῶν ἀναβιώσεως αὐτοῦ πιστευέσθω, εἰ δὲ εἰσέτι καὶ νῦν τὰ τῆς προρρήσεως εἰς ἔργον χωρεῖ ὅ τε λόγος αὐτοῦ ζῶν καὶ ἐνεργῶν καθ' ὅλης τῆς οἰκουμένης ὀφθαλμοῖς ὁρᾶται, ὥρα μηδὲ τῷ τὸν λόγον προεμένῳ ἀπιστεῖν. οὗ γὰρ ἡ δύναμις ζῶσα καὶ ἐνεργὴς ὁρᾶται, τοῦτον ἀνάγκη πᾶσα πολὺ πρότερον ⟨ὁμολογεῖν⟩ ζῆν καὶ θεοῦ ζωὴν τοῦτον ἐκτελεῖν, οὗ ζῶντα τὰ ἔργα σύμφωνα ταῖς φωναῖς ἀποδείκνυται. πᾶσαν γοῦν ἀκοὴν παντοίων ἐθνῶν οἱ αὐτοῦ λόγοι διῆλθον, μεταβαλλόμενοι καὶ μεθερμηνευόμενοι εἰς παντοίαν γλῶτταν Ἑλληνικήν τε καὶ βάρβαρον, ὡς ἐξάκουστον αὐτοῦ τὴν διδασκαλίαν πᾶσι τοῖς ἔθνεσι γενομένην εἰς ἐπιστροφὴν καὶ μετάνοιαν ἀγαγεῖν μυρία πλήθη τῶν πρότερον ἐν πολυθέῳ πλάνῃ καὶ εἰδωλολατρείᾳ πλημμελῶς καὶ ἀσέμνως βιούντων. οὐ πρότερον δὲ ἄφεσιν εἶτα μετάνοιαν, ἀλλὰ μετάνοιαν πρῶτον εἶτα τὴν ἄφεσιν κηρύττειν παρακελεύεται. τοῖς γὰρ γνησίαν πρότερον κακῶν μετάνοιαν ἐνδειξαμένοις ἡ σωτήριος χάρις τὴν συγχώρησιν τῶν πεπραγμένων ἐδωρήσατο, δι' οὓς καὶ τὸν θάνατον ἀνεδέξατο, λύτρον ἑαυτὸν ἐπιδοὺς καὶ ἀντίψυχον τῶν μελλόντων δι' αὐτοῦ σωθήσεσθαι. οὕτω δῆτα

1. Ματθ. 28, 20.

οἱ αὐτοῦ μαθηταί, ἄνδρες ἄπειροι λόγων ὄντες καὶ πάμπαν ἰδιῶται πένητές τε καὶ εὐτελεῖς τὸ σχῆμα, τῇ δυνάμει τοῦ μετὰ θάνατον θεωρουμένου καὶ ἐμφανῶς αὐτοῖς συναυλιζομένου ἐπιθαρσήσαντες ἀπὸ τῆς Ἱερουσαλὴμ πόλεως ἀρξάμενοι[1] κατὰ τὰς αὐτοῦ παρακελεύσεις [ἵνα ἀναπολόγητα εἴη τοῖς Ἰουδαίοις ἀπιστήσασιν] ἐπὶ πάντα προῆλθον τὰ ἔθνη καὶ τὰ προστεταγμένα ἐποίουν, κηρύττοντες μετάνοιαν τοῖς πᾶσι καὶ λύσιν τῶν πρότερον τῆς ψυχῆς ἀμπλακημάτων. . . . .

10. Ἀπόσπασμα.

. . . . . τὴν πρὸς θεὸν γνῶσίν τε καὶ φιλίαν, ἣν τοῖς αὐτοῦ προὐξένει μαθηταῖς, τήν τε τῆς ψυχῆς ἀταραξίαν καὶ λογισμοῦ τὸ γαληνὸν καὶ εὐσταθὲς τοῦτον ἀποκαλῶν τὸν τρόπον.

11. Ἀπόσπασμα.

συνηγμένων μὲν οὖν ἐπὶ τὸ αὐτὸ ἐν τοῖς Ἱεροσολύμοις τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους ἀρχιερέων τε καὶ νομοδιδασκάλων, ⟨αὐτὸς δὲ⟩ ἐν αὐτῷ τῷ ἱερῷ ποιούμενος τὰς διατριβὰς τὰ μέλλοντα αὐτοῖς κατ' αὐτοῦ τολμᾶσθαι καὶ τὸν ἐπὶ τῇ τόλμῃ καταληψόμενον αὐτοὺς ὄλεθρον ἐπεσκιασμένως τοῦτον τὸν τρόπον διὰ τῆς παραβολῆς προηγόρευσεν.[2]. . . . .

. . . .

ἔστι δὲ ἡ παραβολὴ συγγενὴς τῇ παρὰ τῷ ⟨*προφήτῃ*⟩ Ἡσαΐᾳ, παρ' ᾧ τοῦτον ἔχει τὸν τρόπον· «ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα καὶ ἐφύτευσα καὶ πύργον ⟨*ἐν μέσῳ αὐτοῦ*⟩ ᾠκοδόμησα καὶ προλήνιον ὤρυξα καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας.[3]» ἀλλ' ἡ μὲν παρὰ τῷ προφήτῃ τὸν ἀμπελῶνα διεβέβληκεν, ὃν καὶ ἡρμήνευε τίς ποτε ἦν, εἰπών· «ὁ γὰρ ἀμπελὼν κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ⟨*καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησεν δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν.*[4]*»*⟩ ἡ δὲ τοῦ σωτῆρος παραβολὴ εἴρηται μὲν ὁμοίως ἐκείνῃ ⟨*τῇ τοῦ προφήτου*⟩, ὡς ἂν γνωρισθείη ⟨*καὶ θεωρηθείη*⟩ τοῖς παροῦσι καὶ ἀκροωμένοις· οὐ μὴν περὶ τοῦ ἀμπελῶνος λέλεκται, ἐπειδὴ ὁ προφήτης τὴν περὶ τούτου πρόρρησιν προλαβὼν εἰρήκει. ἅπερ δὲ τῷ προφήτῃ σεσιώπητο, ταῦτα αὐτὸς ἐν τῇ παραβολῇ τίθησιν, λέγω δὲ τὰ περὶ τῶν γεωργῶν τοῦ ἀμπελῶνος. οὗτοι δὲ ἦσαν οἱ πρεσβύτεροι τοῦ λαοῦ καὶ οἱ ἀρχιερεῖς ἄρχοντές τε καὶ διδάσκαλοι. οἳ δὴ καὶ τῷ ⟨*ὅλῳ*⟩ πλήθει παραίτιοι γεγόνασι τῆς τῶν πονηρῶν καρπῶν ἐκφυῆς, δι' οὓς καὶ ὁ ἀμπελὼν καταλέλειπται ἔρημος, τουτέστι τὸ πᾶν αὐτῶν ἔθνος, καὶ ὁ τούτου καθῃρέθη φραγμός, οἱ πάλαι δηλαδὴ τοῦ ἔθνους προμαχοῦντες

---

1. Πρβλ. Λουκ. 24, 47. **2.** Πρβλ. Ματθ. 21, 33 ἑξ. **3.** Ἡσ. 5, 2. **4.** Ἡσ. 5, 7.

καὶ τὸν λαὸν φυλάττοντες σὺν αὐτῷ τῷ τόπῳ, ὅ τε ἐν αὐτῷ πύργος αὐτὸς ὁ νεώς, καὶ ἡ ληνὸς [καὶ] τὸ θυσιαστήριον. ταῦτα ⟨*γοῦν*⟩ πάντα ἄρδην ἐκ βάθρων ἤρθη διὰ τὴν τῶν γεωργῶν μιαιφονίαν, οἳ δὴ πρώτους δούλους καὶ δευτέρους ἀποσταλέντας πρὸς αὐτούς, δηλαδὴ τοὺς κατὰ χρόνους προφήτας, ἀνεῖλον. μαρτυρεῖ τῷ λόγῳ καὶ ἡ παλαιὰ γραφὴ καὶ προφητῶν δὲ Ἠλίας ἐν εὐχῇ πρὸς τὸν θεὸν λέγων· «κύριε τοὺς προφήτας σου ἀπέκτειναν καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν κἀγὼ ὑπελείφθην μόνος καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.[1]» ταῦτα γοῦν ὁ προφήτης τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους διὰ τῆς εὐχῆς κατηγορεῖ, οἱ δὲ μὴ ἀρκεσθέντες τῇ κατὰ τῶν προφητῶν μιαιφονίᾳ ὕστερον καὶ αὐτὸν τὸν υἱόν, ⟨*τουτέστι τὸν τοῦ θεοῦ υἱόν*⟩, οὐκ ἀγνοοῦντες ἀλλ' εὖ μάλα καὶ ἀκριβῶς εἰδότες αὐτὸν εἶναι τὸν κληρονόμον ἀνεῖλον. ταῦτα δὲ ὁ σωτὴρ πρὸ τοῦ πάθους περὶ ἑαυτοῦ ᾐνίττετο, προλαμβάνων τὸ μέλλον κατὰ τὴν πρόγνωσιν. καὶ λέγει ταῦτα ἐν αὐτῷ διατρίβων τῷ ἱερῷ τοῖς κατ' αὐτὸν γεωργοῖς τοῦ ἀμπελῶνος τοῖς ⟨*ἀρχιερεῦσι καὶ τοῖς διδασκάλοις καὶ τοῖς λοιποῖς τοῖς*⟩ τοῦ λαοῦ προεστῶσιν, σφόδρα σαφῶς διὰ τῆς παραβολῆς αὐτοὺς καθ' ἑαυτῶν τὴν ἀπόφασιν ἐξενέγκασθαι παρασκευάζων. ⟨*ἐρωτᾷ μὲν δὴ αὐτοὺς ἐν τῷ τῆς παραβολῆς τέλει λέγων· «ὅταν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις;[2]» οἱ δὲ*⟩ οὔπω συνέντες ὅτι περὶ αὐτῶν εἴρητο, ⟨*καθ' ἑαυτῶν τὴν ψῆφον ἐξήνεγκον*⟩.

. . . .

12. Ἀπόσπασμα.

. . . . . ἐπεὶ δὲ καὶ περὶ τοῦ τόπου ἔχρησεν ὁ τοῦ θεοῦ λόγος, φέρε ἴδωμεν τὰς αὐτοῦ περὶ τούτου φωνάς. οὐ φέροντες αὐτοῦ τὴν σεμνὴν διδασκαλίαν οὐδὲ τὴν παρρησίαν καὶ τοὺς ἐλέγχους οἱ τῶν Ἰουδαίων ἄρχοντες τῆς πόλεως ἀπαλλαγῆναι ἐποίουν. ὁ δὲ ἀναχωρῶν τῶν Ἱεροσολύμων τοιάσδε προήκατο κατὰ τῆς πόλεως φωνάς· «Ἱερουσαλὴμ Ἱερουσαλὴμ ⟨ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν,⟩ ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ⟨ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας⟩ καὶ οὐκ ἠθελήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ⟨ἔρημος. λέγω γὰρ ὑμῖν, οὐ μὴ ἴδητε ἀπ' ἄρτι ἕως ἂν εἴπητε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.[3]»⟩ [ ] μιάσματος γὰρ ἐναγοῦς ἐν τῷ μετὰ ταῦτα χρόνῳ δρασθέντος ὑπ' αὐτῶν, — τοῦτο δ' ἦν τὸ τολμηθὲν αὐτοῖς ἄγος κατὰ τοῦ σωτῆρος —, ἐχρῆν δήπου μὴ μόνον τοὺς τῆς πόλεως οἰκήτορας, ἀλλὰ καὶ αὐτὸ τὸ ἔδαφος, ἐφ' ᾧ μέγα ἐφρόνουν, τἀπίχειρα ὧν ἔδρασαν οἱ οἰκήτορες παθεῖν, ἃ δὴ καὶ πεπόνθασιν οὐκ εἰς μακράν, Ῥωμαίων ἐπελθόντων τῇ πόλει καὶ τῶν οἰκητόρων τοὺς μὲν πολέμου νόμῳ κατασφαξάντων, τοὺς δ' αἰχμαλώ-

1. Γ' Βασ. 19, 10. 2. Ματθ. 21, 40. 3. Ματθ. 23, 37-39.

τους ἀπαγαγόντων, τοὺς δὲ λιμῷ διαφθειράντων, τοὺς δ' ἀπελασάντων καὶ εἰς πάντα τόπον διασκεδασάντων, τὸν δ' οἶκον αὐτῶν καὶ τὸν νεὼν ἐμπρησάντων εἰς ἔσχατά τε ἐρημίας περιβαλόντων. ἀλλὰ γὰρ τούτων ἐν τοῖς μετὰ ταῦτα χρόνοις γενομένων προλαβὼν ὁ σωτὴρ τὸ μέλλον τῇ προγνώσει οἷα θεὸς λόγος τὰ συμβησόμενα προαγορεύει διὰ τῶν προκειμένων. τέκνα δὲ τῆς πόλεως ὀνομάζει τὸ Ἰουδαίων πᾶν ἔθνος, οἶκον δὲ αὐτῶν ἀποκαλεῖ τὸν νεών. εἶτα μαρτύρεται ὅτι παρὰ τὴν αὐτῶν αἰτίαν τὰ σκυθρωπὰ αὐτοὺς μετελεύσεται, ἐπειδήπερ αὐτὸς μὲν πολλάκις ἐπισυναγαγεῖν αὐτῶν τὰ τέκνα ὑπὸ τὸν τῆς θεοσεβείας ζυγὸν βεβούληται, οἷα τοῦ παντὸς ⟨*πρῴην καὶ ἐξ αἰῶνος*⟩ πρόνοιαν αὐτῶν πεποιημένος δι' ἑκάστου τε προφήτου καὶ καθ' ἑκάστην γενεὰν ἐπιστρέφων αὐτοὺς καὶ ἀνακαλούμενος, οἱ δὲ οὐκ ἤθελον ὑπακοῦσαι τῇ κλήσει, οὗ δὴ χάριν τὴν κατ' αὐτῶν ἀπόφασιν προενήνεκται εἰπών· «ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[1]» σφόδρα δὲ ἀκριβῶς οὐ τὴν πόλιν ἔρημον ἔσεσθαί φησιν, ἀλλὰ τὸν ἐν αὐτῇ οἶκον, δηλαδὴ τὸν νεών, ὃν οὐκέτι ἑαυτοῦ [ἀλλ'] οὐδὲ τοῦ θεοῦ οἶκον βούλεται χρηματίζειν, ἀλλ' αὐτῶν εἶναί φησιν. ἔρημον δὲ αὐτὸν ἔσεσθαι θεσπίζει οὐκ ἄλλως ἢ ὑπὸ τῆς πρότερον ἐπισκοπούσης αὐτὸν προνοίας καταλειφθησόμενον, ⟨*δι' ὃ εἶπεν*· «ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος[2]»⟩. καὶ δὴ θαυμάσαι ἔστι τοῦ λόγου τὸ ἀποτέλεσμα, ὅτι δὴ μηδ' ἄλλοτε πώποτε τοσαύτην ὑπέμεινεν ἐρημίαν ὁ τόπος οὐδ' ὅτε διὰ τὰς ὑπερβαλλούσας αὐτῶν δυσσεβείας καὶ εἰδωλολατρείας τάς τε κατὰ τῶν προφητῶν μιαιφονίας ὑπὸ Βαβυλωνίων ἥλω· ἑβδομηκονταετὴς γὰρ ὁ πᾶς τῆς ἐρημώσεως τοῦ τόπου χρόνος κατ' ἐκείνους ἐγενήθη. διὸ οὐκ ἂν κυρίως ἐλέχθη αὐτοῖς τότε ὁ «⟨ἰδοὺ⟩ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[3]» οὐ γὰρ ἀφείθη, ἔτυχε δὲ ἐπισκοπῆς μετ' οὐ πολὺν χρόνον, καθ' ὃν ἀνανεώσεως μείζονος ἢ κατὰ τὴν προτέραν ἠξιώθη, ὡς προειπεῖν τινα τῶν προφητῶν ὅτι δὴ «ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν προτέραν.[4]» μετὰ δὲ τὴν τοῦ σωτῆρος ἡμῶν φωνήν, ὅπως ἀφείθησαν ὅ τε οἶκος αὐτῶν ⟨*διὰ τῆς τοῦ θεοῦ ἀποφάσεως*⟩ εἰς ἔσχατον ἐρημίας ἤλασεν, τοῖς εἰς τοὺς τόπους ἀφικνουμένοις ἡ ὄψις αὐτὴ τοῦ λόγου μᾶλλον δείκνυσι τὸ ἀποτέλεσμα. καὶ ὁ χρόνος δὲ πολυετὴς γεγονὼς καὶ μακρός, ὡς μὴ μόνον διπλασίονα εἶναι τῆς ἑβδομηκονταετοῦς ἐρημίας τῆς ἐπὶ Βαβυλῶνι γεγενημένης, ἀλλὰ καὶ τετραπλασίονα ὑπερβαίνειν τὴν τοῦ σωτῆρος ἡμῶν ἀπόφασιν πιστοῦται. || ὅτε ⟨*δὲ πάλιν καὶ κατ' ἄλλον τινὰ χρόνον*⟩ ὁ μὲν ⟨*σωτὴρ*⟩ ἀμφὶ τὸ ⟨*εἰρημένον*⟩ ἱερὸν ἐβάδιζεν, οἱ δ' αὐτοῦ μαθηταὶ τοῦ περιβόλου τὰς οἰκοδομὰς αὐτοῦ [τοῦ] τε τοῦ ἱεροῦ τὸ μέγεθος καὶ τὸ κάλλος ὑπερθαυμάζοντες ἐδείκνυον αὐτῷ[5], «ὁ δὲ ⟨ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; λέγω ὑμῖν οὐ μὴ ἀφεθῇ ὧδε

---

1. Ματθ. 23, 38. **2.** Ματθ. 23, 38. **3.** Ματθ. 23, 38. **4.** Ἀγγ. 2, 9. **5.** Πρβλ. Ματθ. 24, 1.

λίθος ἐπὶ λίθον ὃς οὐ καταλυθήσεται[1]〉.» καὶ ὅτι μὴν ἀξιοθέατα ἦν πάντα τὰ τῆς οἰκοδομῆς τά τε τῆς ἄλλης κατασκευῆς τοῦ αὐτόθι νεώ, δηλοῦσιν αἱ ἱστορίαι. δείγματος δὲ χάριν εἰσέτι δεῦρο λείψανά τινα πεφύλακται, δι' ὧν τὰ ἴχνη καταλαμβάνεται τῶν πάλαι κατασκευασμάτων. πάντων δὲ θαυμασιωτέρα τυγχάνει ἡ θεϊκὴ φωνὴ τῆς τοῦ σωτῆρος ἡμῶν προγνώσεως, 〈ἣ〉 καταλλήλως τοῖς τὰς οἰκοδομὰς ἐκπεπληγμένοις ἀπεφήνατο, ἐν οἷς ἐθαυμάζοντο πῶς οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἀκαθαίρετος.[2] δεῖν γὰρ διὰ τὰ τολμηθησόμενα τοῖς οἰκήτορσι παντελῆ φθορὰν καὶ ἐρημίαν τὸν τόπον ὑπομεῖναι, ἅτε δὴ ἀσεβῶν ἀνδρῶν γενόμενον οἰκητήριον. ὅπως δὲ τὰ τῆς προρρήσεως εἰς ἔργα προκεχώρηκεν ὅ τε πᾶς νεὼς καὶ ὁ περίβολος τά τε ἐν αὐτῷ σεμνὰ καὶ περικαλλῆ ἱδρύματα πάντα λόγον καλύπτοντα ἐρημίαν ἐξ ἐκείνου καὶ εἰς δεῦρο ὑπέμεινεν αὔξει τε κατὰ χρόνους καὶ ἐπινέμεται ἡ τοῦ λόγου δύναμις, ὡς μηδὲ ἴχνος θεμελίων ἔν τισι φαίνεσθαι τόποις, ἔξεστι τῷ βουλομένῳ παραλαμβάνειν ὀφθαλμοῖς. εἰ δὲ φαίη τις μέρη τινὰ ἔτι συνεστάναι, ἀλλὰ καὶ τούτων χρὴ προσδοκᾶν τὸν ἀφανισμὸν ὁσημέραι τῆς ἐρημίας αὐξούσης καὶ τῆς εἰρημένης προρρήσεως ἀπορρήτῳ δυνάμει εἰς ἀεὶ ἐνεργούσης. οἶδα δέ τινων ἀκούσας ἑρμηνευσάντων τὴν προκειμένην φωνὴν ἑτέρως. μὴ γὰρ περὶ πάντων τῶν οἰκοδομημάτων εἰρῆσθαι ἀλλὰ περί τινος μέρους, ὃ δὴ οἱ μαθηταὶ αὐτοῦ θαυμάζοντες ἐπεδείκνυον αὐτῷ· κατ' ἐκείνου γὰρ ἐξενηνοχέναι αὐτὸν τὴν πρόρρησιν.

〈*πάλιν δὲ ἡ τῶν μαθητῶν περὶ αὐτοῦ γραφὴ ταῦτα διδάσκει ὑπὲρ τῶν τοῦ τόπου πολιορκητῶν.*[3] . . . .

. . . .

τὰ μὲν πρόσθεν περὶ τοῦ νεώ, τὰ δὲ προκείμενα〉 περὶ τῆς πόλεως αὐτῆς ἐθεσπίζετο, ἣν «θεοῦ πόλιν[4]» ὠνόμαζον οἱ Ἰουδαῖοι διὰ τὸν ἐν αὐτῇ τοῦ θεοῦ ἱδρυμένον νεών. ἀποκλαίεται δῆτα τὴν σύμπασαν πόλιν ὁ φιλάνθρωπος, οὐχ οὕτω τὰ οἰκοδομήματα οὐδὲ τοὔδαφος αὐτὸ ὡς τὰς ψυχὰς τῶν πάλαι οἰκητόρων καὶ τὴν ἀπώλειαν αὐτῶν ἐλεῶν, ἀλλὰ καὶ τὰ τῆς ἐρημίας αὐτῶν 〈αἴτια〉 παρίστησι λέγων, «εἰ ἔγνως καί γε σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σοι.[5]» σημαίνει δὲ τὴν αὐτοῦ παρουσίαν ἐπ' εἰρήνῃ τοῦ σύμπαντος κόσμου γεγενημένην. αὐτὸς γὰρ ἦν περὶ οὗ εἴρηται «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης.[6]» ἐληλύθει δ' εἰς αὐτὸ τοῦτο κηρύξαι «εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν[7]», τοῖς τε παραδεχομένοις αὐτόν φησιν, «εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν[8]», ἥντινα εἰρήνην τὰ καθ' ὅλης τῆς οἰκουμένης εἰς αὐτὸν πιστεύσαντα ἔθνη παρεδέξατο. ὁ δὲ ἐκ περιτομῆς λαὸς μὴ πιστεύσας

1. Ματθ. 24, 2. 2. Πρβλ. Ματθ. 24, 2. 3. Πρβλ. Λουκ. 19, 41-44. 4. Πρβλ. Ψαλμ. 45, 5. 5. Λουκ. 19, 42. 6. Ψαλμ. 71, 7. 7. Ψαλμ. 57, 19. 8. Ἰω. 14, 27.

εἰς αὐτὸν οὐκ ἔγνω τὰ πρὸς εἰρήνην ἑαυτοῦ. διὸ ἐπιλέγει, «νῦν δὲ ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν σου, ὅτι ἥξουσιν ἡμέραι ἐπί σε καὶ περιβαλοῦσί σε οἱ ἐχθροί σου.[1]» [ ] τὰ γοῦν μέλλοντα αὐτοὺς καταλήψεσθαι μικρὸν ὕστερον ἐν τῇ κατ' αὐτῶν πολιορκίᾳ, διὰ τὸ μὴ προσδέξασθαι αὐτοὺς τὴν προκαταγγελθεῖσαν αὐτοῖς εἰρήνην, ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. ἐκεῖνοι μὲν οὖν ⟨*τὰ μετὰ ταῦτα αὐτοῖς συμβησόμενα*⟩ οὐ προεῖδον, αὐτὸς δὲ αὐτὰ διὰ τῆς προρρήσεως θεσπίζει σαφέστατα τὴν ὑπὸ Ῥωμαίων πολιορκίαν καταλαβοῦσαν αὐτοὺς προσημάνας· ⟨«ἥξουσι γὰρ ἡμέραι ἐπὶ σέ[2]», ὅτι οὐκ ἔγνως τὰ πρὸς εἰρήνην σοι. *διὰ ταύτην γὰρ τὴν αἰτίαν* «ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου καὶ περικυκλώσουσί σε καὶ συνέξουσί σε παντόθεν καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἐν σοί[3]»,⟩ ὑπογράψας ⟨*δὲ διὰ τούτων*⟩ τὸν τρόπον τοῦ κατ' αὐτῶν γενησομένου πολέμου. ὅπως δὲ ἐπὶ πέρας ἤχθη ταῦτα, πάρεστιν ἀπὸ τῆς Ἰωσήπου γραφῆς ἀναλέξασθαι, ὃς δὴ Ἰουδαῖος ὢν καὶ τῆς παρ' αὐτοῖς Ἰουδαϊκῆς φυλῆς γεγονὼς τῶν τε ἐπισήμων καὶ ἐπιφανῶν ἐν τῷ ἔθνει, κατὰ τοὺς χρόνους τῆς πολιορκίας ἕκαστα τῶν πεπραγμένων ἱστόρησε σύμφωνα ταῖς προκειμέναις προρρήσεσι τὰ ἀποτελέσματα παραστήσας.[ ][4]

. . . .

. . . . .διὰ τῶν προκειμένων σημεῖα δίδωσι τοῦ καιροῦ τῆς παντελοῦς ἐρημίας τοῦ τόπου, ⟨*ἃ δὴ παρίστησι λέγων*, «ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων Ἱερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς.[5]»⟩ μηδεὶς γάρ, φησί, προσδοκάτω μετὰ τὴν ἐσομένην πολιορκίαν καὶ τὴν ἐπὶ ταύτῃ γενησομένην ἐρημίαν τοῦ τόπου ἑτέραν αὐτῆς ἔσεσθαι ἀνανέωσιν, ὡς ἐπὶ τῶν χρόνων Κύρου τοῦ Περσῶν βασιλέως γέγονε καὶ μετὰ ταῦτα ἐπ' Ἀντιόχου [τοῦ] Ἐπιφανοῦς καὶ πάλιν ἐπὶ Πομπηΐου. πολλάκις γὰρ ἤδη πολιορκίαν ὑπομείνας ὁ τόπος, μείζονος ἠξιώθη μετὰ ταῦτα τιμῆς. ἀλλὰ νῦν τὴν ἐσχάτην τῆς πόλεως ἐρημίαν καὶ τὸν παντελῆ ἀφανισμὸν ἐπελεύσεσθαι αὐτῇ γινώσκετε, ἐπειδὰν «ἴδητε αὐτὴν ὑπὸ στρατοπέδων πολιορκουμένην.[6]» ἐρήμωσιν δὲ τῆς Ἱερουσαλὴμ ὀνομάζει τοῦ ἱεροῦ τὸν ἀφανισμὸν καὶ τῶν ἐν αὐτῷ πάλαι πρότερον κατὰ τὸν Μωσέως νόμον ἐπιτελουμένων τὴν καθαίρεσιν. μὴ γὰρ δὴ τῆς πόλεως αὐτῆς ἐρημίαν νόμιζε δηλοῦσθαι διὰ τούτων ὡς μηδενὸς ἐν αὐτῇ μηκέτι κατοικήσοντος. ἐπιλέγει δ' οὖν ἑξῆς ὅτι κατοικηθήσεται ἡ πόλις, οὐ μὴν ὑπὸ Ἰουδαίων, ἀλλ' ὑπὸ ἐθνῶν ⟨*ὧδέ πῃ λέγων, «καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν.[7]» τοιγαροῦν οἶδεν ὅτι κατοικηθήσεται ὑπὸ ἐθνῶν*⟩. ἐρήμωσιν δὲ αὐτῆς ἀποκαλεῖ τὸ μηκέτι ὑπὸ τῶν οἰκείων μηδὲ κατὰ τὴν νόμιμον λατρείαν συστήσεσθαι αὐτήν. ὅπως δὲ καὶ ταῦτα ἐπληροῦτο, οὐδὲν δεῖ πολλῶν λόγων. πάρεστι γὰρ ὑπ' ὄψεσιν

---

1. Λουκ. 19, 42 ἑξ. 2. Λουκ. 19, 42. 3. Λουκ. 19, 43 ἑξ. 4. Πρβλ. Λουκ. 21, 20-24. 5. Λουκ. 21, 20. 6. Λουκ. 21, 20. 7. Λουκ. 21, 24.

ὁρᾶν Ἰουδαίους μὲν εἰς πάντα τὰ ἔθνη διεσκεδασμένους, ἀλλοφύλους δὲ καὶ ἀλλογενεῖς οἰκήτορας τῆς πάλαι μὲν Ἱερουσαλήμ, νῦν δ' ἀπὸ τοῦ πολιορκητοῦ Αἰλίου Ἀδριανοῦ Αἰλίας μετωνομασμένης. τὸ γοῦν παράδοξον τοῦ θεσπίσματος τοῦτ' ἂν εἴη, ὅτι περὶ Ἰουδαίων μέν φησιν, «αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη[1]», περὶ δὲ τῶν ἐθνῶν «καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν.[2]» ἐκπληκτικὸν δὲ τὸ ἀποτέλεσμα, εἴγε Ἰουδαῖοι πληροῦντες τὴν σύμπασαν ἀνθρώπων οἰκουμένην, ὥς τε καὶ μέχρις Αἰθιόπων χωρῆσαι καὶ Σκυθῶν καὶ αὐτῶν τῶν περάτων τῆς γῆς, ἐν μόνῃ τῇ αὐτῶν πόλει καὶ τῷ πάλαι θρησκευομένῳ παρ' αὐτοῖς τόπῳ οὐχ οἷοί τέ εἰσιν ἐπιβαίνειν. καὶ εἰ μὲν ἦν παντελῶς ἔρημος ἡ πόλις καὶ ἀοίκητος, κἂν ὑπενόησέ τις τοῦτο εἶναι τὸ αἴτιον. νῦν δὲ ὑπὸ ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν τοῦ τόπου κατοικουμένου μόνοις αὐτοῖς ἄβατος τυγχάνει, ὡς μηδ' ἐξ ἀπόπτου δύνασθαι τὸ πατρῷον αὐτῶν ἔδαφος θεωρεῖν· ἃ δὴ τοῦτον ἀποτετέλεσται τὸν τρόπον ἀκολούθως τῷ φήσαντι χρησμῷ, ⟨«ὅτι αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη⟩ καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν.[3]» [ ] σημαίνει δὲ καὶ τὸν πρὸ τῆς αἰχμαλωσίας πόλεμον εἰπών, «ἔσται γὰρ ἀνάγκη ἐπὶ τῆς γῆς καὶ ὀργὴ μεγάλη ἐν τῷ λαῷ τούτῳ, καὶ πεσοῦνται ἐν στόματι μαχαίρας.[4]» ταῦτα δὲ ὅπως κατὰ μέρος ἐπράχθη καὶ ὡς τὰ προηγορευμένα ὑπὸ τοῦ σωτῆρος ἡμῶν τέλους ἔτυχεν ⟨*ἔργῳ*⟩, ἔξεστιν ἀπὸ τῆς ἱστορίας ⟨*Φλαυίου*⟩ Ἰωσήπου μαθεῖν, ὃς καὶ τῆς φησάσης τοῦ σωτῆρος ἡμῶν προρρήσεως, «οὐαὶ δὲ ταῖς ⟨ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς⟩ θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις[5]», τὸ ἀποτέλεσμα σαφῶς παρίστησι μνημονεύσας, ὡς γυναῖκες τὰ ἑαυτῶν βρέφη ὀπτήσασαι πυρὶ διὰ τὴν ὑπερβολὴν τοῦ κατασχόντος λιμοῦ τὴν πόλιν ἔφαγον.|| τοῦτον γὰρ αὐτὸν τὸν γενησόμενον ἐν τῇ πόλει λιμὸν προθεωρήσας ὁ σωτήρ, παρῄνει τοῖς αὐτοῦ μαθηταῖς ἐν τῇ μελλούσῃ κατὰ Ἰουδαίων γενήσεσθαι πολιορκίᾳ μὴ ὡς ἐπ' ἀσφαλῆ τόπον καὶ φυλαττόμενον ὑπὸ τοῦ θεοῦ καταφεύγειν ἐπὶ τὴν πόλιν, ὅπερ πεπόνθασιν οἱ πολλοί, ἀλλ' ἐκεῖθεν μὲν ἀναχωρεῖν, φεύγειν δὲ εἰς τὰ ὄρη καὶ τοὺς ἐν μέσῳ τῆς Ἰουδαίας ἐκχωρεῖν εἰς τὰ ἔθνη καὶ τοὺς ἐν τῇ χώρᾳ μὴ καταφεύγειν ⟨ἐπ' αὐτὴν⟩ ὡς ἐπὶ ὀχυρὸν τόπον. [ ] διό φησιν· «καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσελθέτωσαν εἰς αὐτήν, ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα.[6]». . . . . .

13. Ἀπόσπασμα.

⟨*ταύτας τὰς συμφορὰς*⟩ ἀπὸ μυρίων τέθεικα διὰ τὴν θείαν τοῦ σωτῆρος ἡμῶν πρόρρησιν τὴν φήσασαν, «οὐαὶ δὲ ⟨ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ⟩ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.[7]» ἐπεὶ δὲ καὶ

---

1. Λουκ. 21, 24. 2. Λουκ. 21, 24. 3. Λουκ. 21, 24. 4. Λουκ. 21, 33 ἑξ. 5. Λουκ. 21, 23. 6. Λουκ. 21, 21 ἑξ. 7. Λουκ. 21, 23.

τοῦτο ταῖς προρρήσεσι τοῦ σωτῆρος πρόσκειται, τὸ «ἔσται ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ ⟨μεγάλη⟩ τῷ λαῷ τούτῳ[1]» ἢ κατὰ τὸν Ματθαῖον «⟨ἔσται γὰρ τότε⟩ θλῖψις ⟨μεγάλη⟩, οἵα οὐδέποτε γέγονεν ⟨ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται[2]»⟩, ἐπακοῦσαι καλὸν τοῦ ἱστορικοῦ τούτων αὐτῶν τὰ ἀποτελέσματα ὧδέ πῃ ἱστοροῦντος· «καθ' ἕκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν ἀδύνατον. συνελόντι δ' εἰπεῖν μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν. τὴν μὲν πόλιν ἀνέτρεψαν αὐτοί, Ῥωμαίους δὲ ἄκοντας ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι καὶ μόνον οὐχ εἵλκυσαν βραδῦνον ἐπὶ τὸν ναὸν τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες οὔτε ἤλγησαν οὔτε ἐδάκρυσαν». ταῦτα διὰ τὸ «ἔσται γὰρ ⟨τότε⟩ θλῖψις μεγάλη, ⟨οἵα οὐδέποτε γέγονεν ἀπ' ἀρχῆς κόσμου⟩»[3], ὃ δὴ καὶ προρρηθὲν ὑπὸ τοῦ σωτῆρος μεμαρτύρηται ὑπὸ τοῦ συγγραφέως μεθ' ὅλα ἔτη τεσσαράκοντα κατὰ τὴν Οὐεσπασιανοῦ Ῥωμαίων αὐτοκρατορίαν πληρωθέν. [ ] προστίθησι ⟨δὲ⟩ ταῖς αὐτοῦ προρρήσεσι ⟨ὁ σωτὴρ⟩ χρόνον ὁρίζων, μέχρι τίνος ἔσται Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν. λέγει δ' οὖν, «ἄχρι ⟨οὗ⟩ πληρωθῶσι καιροὶ ἐθνῶν[4]», οὕτω σημάνας τὴν τοῦ βίου συντέλειαν.[ ]

14. Ἀπόσπασμα.

⟨*διὸ δὴ*⟩ τὰς ἐν ψυχαῖς διαφορὰς τῶν τὴν διδασκαλίαν αὐτοῦ μελλόντων ὑποδέχεσθαι ἐν τοῖς μετὰ ταῦτα χρόνοις εὖ μάλα ἐκγυμνοῖ ⌈ὁ κύριος⌉. καὶ τρία μὲν τάγματα τῶν οὐ γνησίως τὸν σπόρον τῆς αὐτοῦ διδασκαλίας παραδεχομένων ἔσεσθαι προαγορεύει, τρεῖς ⟨δὲ⟩ ὡσαύτως ἀγαθῶν χοροὺς τῶν δίκην εὐγείου χώρας πολυφορούντων καὶ πολυπλασιαζόντων τὸν λόγον. τῶν μὲν οὖν ἀπολλύντων τὰ καταβαλλόμενα τῇ αὐτῶν ψυχῇ σπέρματα αἰτίας εἶναί φησι τρεῖς. ἢ γὰρ ὑπὸ φροντίδων τοῦ βίου καὶ τῆς περὶ τὰ μὴ ἀναγκαῖα σπουδῆς ὑπό τε πλούτου καὶ τρυφῆς καταχωννύντες τὸν ἐν αὐτοῖς σπόρον ἐοίκασι τοῖς ὑπὸ ἀκανθῶν ἀποπνίγουσι, ἢ οὐκ ἀπὸ βάθους διανοίας αὐτὸν παραδεξάμενοι θᾶττον ἀποσβέννυνται περιστάσεως καταλαβούσης, ἢ κατὰ τρίτην αἰτίαν αἴτιοι ἀπωλείας καθίστανται τοῦ ἐν αὐτοῖς σπόρου, τὰς αὐτῶν ἀκοὰς ἐκδιδόντες ἀνέτως τοῖς ἐξαπατᾶν ἐθέλουσι καὶ ὑφαρπάζειν τὰ ἐν τῇ αὐτῶν ψυχῇ καταβληθέντα σπέρματα.[ ][5] ἐκεῖνοι μὲν οὖν οὐκ ἄλλως τῆς κατὰ θεὸν στέρονται καρποφορίας ἢ καθ' ἕνα τῶν λελεγμένων τρόπων. οἱ δὲ ἐναντίως ἐκείνοις διακείμενοι καθαρᾷ ψυχῇ καὶ προαιρέσει γνησίᾳ τὸν σωτήριον ὑποδεξάμενοι σπόρον, πάλιν κατὰ δύναμιν τῆς αὐτῶν ψυχῆς πολυπλασιάζουσι τοὺς ἑαυτῶν καρπούς.

---

1. Λουκ. 21, 23. 2. Ματθ. 24, 21. 3. Ματθ. 24, 21. 4. Λουκ. 21, 24. 5. Πρβλ. Ματθ. 13, 3-9, 18-23.

15. Ἀπόσπασμα.

αὐτίκα ⟨γὰρ⟩ Σαμαρεῖται Δοσίθεον μετὰ τοὺς χρόνους τοῦ σωτῆρος γενόμενον αὐτὸν εἶναι τὸν ὑπὸ Μωσέως προφητευόμενον προφήτην[1] ἐπείσθησαν, ἀπατηθέντες ὑπ' αὐτοῦ ὡς τὸν Χριστὸν αὐτὸν εἶναι ἀποφήνασθαι. ἄλλοι δὲ ⟨πάλιν⟩ κατὰ τοὺς χρόνους τῶν ἀποστόλων Σίμωνα τὸν μάγον τὴν μεγάλην τοῦ θεοῦ δύναμιν ἐκάλουν, αὐτὸν εἶναι νομίσαντες τὸν Χριστόν.[2] καὶ κατὰ τὴν Φρυγίαν δὲ Μοντανὸν ἕτεροι, ἀλλαχοῦ δὲ πάλιν ἑτέρους ἄλλοι νενομίκασιν, καὶ οὐ παύσονταί γε οἱ ἀπατεῶνες.[3] προσδοκᾶν γὰρ χρὴ καὶ πλείους τοιούτους ἔσεσθαι, ἐξ ὧν δὴ καὶ αὐτῶν ἡ ἀλήθεια τῶν σωτηρίων προγνώσεων τὴν μαρτυρίαν εἴληφεν.

16. Ἀπόσπασμα.

[] ⟨Ματθαῖος ἀπόστολος⟩ τὸν πρότερον βίον οὐκ ἀπὸ σεμνῆς διατριβῆς ὡρμᾶτο, ἐκ δὲ τῶν ἀμφὶ τὰς τελωνίας καὶ πλεονεξίας σχολαζόντων, καὶ τοῦτο τῶν λοιπῶν εὐαγγελιστῶν οὐδεὶς δῆλον ἡμῖν ἐποίησεν, οὐχ ὁ συναπόστολος αὐτοῦ Ἰωάννης οὐδέ γε Λουκᾶς οὐδὲ Μάρκος, οἱ τῶν λοιπῶν εὐαγγελίων συγγραφεῖς, [] αὐτὸς δὲ ὁ Ματθαῖος τὸν ἑαυτοῦ στηλιτεύων βίον καὶ κατήγορος ⟨αὐτὸς⟩ ἑαυτοῦ γινόμενος. ⟨ἐπάκουσον γοῦν ὅπως διαρρήδην⟩ ὀνομαστὶ αὐτὸς ἑαυτοῦ μεμνημένος ἐν τῷ οἰκείῳ συγγράμματι τόνδ' ἱστορεῖ τὸν τρόπον «καὶ παράγων ἐκεῖθεν ὁ Ἰησοῦς εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον ὀνόματι, ⟨καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. καὶ ἐγένετο ἀνακειμένου αὐτοῦ ἐν τῇ οἰκίᾳ καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ.[4]⟩» [] καὶ πάλιν προϊὼν ἑξῆς τόν τε κατάλογον τῶν λοιπῶν μαθητῶν ἐξαριθμούμενος αὐτὸς ἑαυτῷ τὸ τοῦ τελώνου προστίθησιν ὄνομα. ⟨λέγει δ' οὖν· «τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα. πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης.[5]» οὕτως μὲν ὁ Ματθαῖος⟩ δι' ὑπερβολὴν ἐπιεικίας ⟨τὸ φιλάληθες ὑποφαίνων τοῦ ἰδίου τρόπου καὶ τελώνην ἑαυτὸν ἀποκαλεῖ⟩, μὴ ἐπικρύπτων τὸν πρότερον ἑαυτοῦ βίον, καὶ ἁμαρτωλοῖς ἑαυτὸν συναριθμεῖ καὶ τοῦ συναποστόλου δεύτερον ἑαυτὸν καταλέγει. συνεζευγμένος γοῦν τῷ Θωμᾷ ὡς Πέτρος Ἀνδρέᾳ καὶ Ἰάκωβος Ἰωάννῃ Φίλιππός τε [καὶ] Βαρθολομαίῳ προτάττει ἑαυτοῦ τὸν Θωμᾶν, προτιμῶν ὡς κρείττονα τὸν συναπόστολον, τῶν λοιπῶν εὐαγγελιστῶν τοὐναντίον πεποιηκότων.

---

1. Πρβλ. Δευτ. 18, 15. 2. Πρβλ. Πράξ. 8, 10. 3. Πρβλ. Ματθ. 24, 5, 23-27. 4. Ματθ. 9, 9 ἑξ. 5. Ματθ. 10, 2 ἑξ.

17. Ἀπόσπασμα.

⟨εἰ γὰρ δὴ πλάττεσθαι αὐτοῖς ὁ σκοπὸς ἦν καὶ λόγοις ψευδέσι τὸν διδάσκαλον *ἐπαίρειν καὶ θαύμασι* κοσμεῖν, οὐκ ἄν ποτε *αὐτοὶ καθ' ἑαυτῶν* τὰ προειρημένα κατέγραφον οὐδ' ἂν ἐδήλουν τοῖς μετὰ ταῦτα ἀνθρώποις. ὅτι δὴ *ὁ πρὸς αὐτῶν πρεσβευόμενος* ἐλυπεῖτο καὶ ἠδημόνει[1] καὶ τετάρακτο ψυχήν[2], *ἢ* ὅτι αὐτοὶ αὐτὸν⟩ ἀπολιπόντες ᾤχοντο ⟨ἢ ὅτι⟩ ὁ πάντων αὐτῶν προκεκριμένος ἀπόστολός τε καὶ μαθητὴς αὐτὸς ἐκεῖνος ὁ βοώμενος Πέτρος βασάνων ἐκτὸς καὶ ἀρχοντικῆς ἀπειλῆς τρίτον αὐτὸν ἐξωμόσατο.[3]

1. Πρβλ. Ματθ. 26, 37. 2. Πρβλ. Ἰω. 12, 27. 3. Πρβλ. Ματθ. 26, 34, 75.

ΕΥΣΕΒΙΟΥ

ΠΕΡΙ ΤΗΣ ΚΑΘΟΛΟΥ ΣΤΟΙΧΕΙΩΔΟΥΣ ΕΙΣΑΓΩΓΗΣ*

(ΑΠΟΣΠΑΣΜΑΤΑ)

Ex Leontii et Joannis Rerum sacrarum libro. Seript. vet. t. VIII, p. 96 et 100.

θ'. Εὐσεβίου ἐκ τοῦ α' τῆς α' Εἰσαγωγῆς.

Ἔλεγχος ἀνδρὸς ἤθους ἡ μετὰ τοιῶνδε συνουσία· ὅτε γὰρ φαῦλος ἐξ ἀνάγκης τοῖς ὁμοίοις συνέστη· ὅτε αὖ πάλιν σώφρων καὶ σοφὸς τοῖς τὰ αὐτὰ αὐτῷ μετιοῦσιν.

ι'. Εὐσεβίου ἐκ τοῦ δ' τῆς α' Εἰσαγωγῆς.

Ὃν τρόπον ἡ τῶν ὀφθαλμῶν φύσις ἔχει μὲν ἐν ἑαυτῇ τὴν ὁρατικὴν δύναμιν, οὐχ ἱκανὴ δὲ καθ' ἑαυτὴν πέφυκεν πρὸς τὴν τῶν ὁρατικῶν κατάληψιν, μὴ οὐχὶ ἑτέρου τινὸς ἔξωθεν φωτίζοντος καὶ συνυπουργοῦντος τῇ τῶν ὀφθαλμῶν χρήσει τῷ συμβαλλομένῳ φωτὶ πρὸς τὴν τῶν αἰσθητῶν θέαν, οὕτως καὶ ἡ νοερὰ καὶ λογικὴ φύσις ἔχει πρὸς τὸν ἱερὸν τοῦ Θεοῦ λόγον.

ια'. Εὐσεβίου ἐκ τοῦ ι' τῆς α' Εἰσαγωγῆς.

Ἡ φύσις αὐτὴ τὸ τῶν ἀνθρώπων κατέσπειρεν γένος εἰς τά τε τῆς ἀρετῆς καὶ τῆς κακίας σπέρματα γινώσκειν· θατέρου τε τούτων συνεχώρησεν μετέχειν τῷ λογισμῷ, αὐτοκράτορα καὶ κριτὴν ἡγεμόνα τε καὶ κύριον αὐτὸν ἑαυτοῦ καταστήσασα· ὃς οἷα δὴ ὑπὸ τῆς φύσεως τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας προτερήματα ἔχων ἐν ἑαυτῷ, οὐκ ἂν δύναιτο, κἂν εἰς αὐτὸν τῆς κακίας βυθὸν καταπέσοι ποτέ, μὴ οὐχὶ σεμνύνειν τὴν ἀρετὴν καταπταῖσον τὸ συνειδός, εἰ προέλοιτο τὸ χεῖρον· καὶ τούτων ἀπόδειξις καὶ ἔλεγχος ἐναργής, τὸ μηδένα τολμᾶν τῆς ἑαυτοῦ κακίας γενέσθαι κατήγορον, ἀλλ' ἐκ τῶν ἐναντίων ὡς ἡ δύναμις, ἐπικρύπτειν καὶ σκέπειν ἅπερ δὴ ἂν παρὰ τὸ καθῆκον λαθραίως ἐπιχειρῇ· καὶ αὕτη δὲ ἡ ἑκάστου διάθεσις, μὴ ὁμοίως διακειμένου πρός τε τοὺς εὐεργετοῦντας καὶ πρὸς τοὺς βλάπτειν αὐτὸν ἐπιχειροῦντας· αὐτομαθὴς διδάσκαλος γίνεται ἑκάστῳ τῆς περὶ ἀγαθῶν καὶ κακῶν ἐπιστήμης, ὁ τῆς φύσεως νόμος, ταῦτά τινας δρᾶν

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. P. Migne, Patrologiue cursus completus. Ἑλλ. σειρ. τόμ. 22 σ. 1272.

ἑτέροις ἀπαγορεύων, ἅπερ τις αὐτὸς παρ' ἑτέρων οὐκ ἂν ἕλοιτο παθεῖν.

ιβ'. Εὐσεβίου ἐκ τοῦ ι' τῆς α' Εἰσαγωγῆς.

Ἐνδέχεται μέν, ὦ παιδίον, λέγειν μὲν εὖ, φαῦλον δὲ ὑπάρχειν· πράσσοντα δὲ εὖ, φαῦλον εἶναι, ἀδύνατον.

ιγ'. Εὐσεβίου ἐκ τοῦ α' τῆς α' Ἐπιστολῆς.

Βία Θεῷ οὐ πρόσεστιν.

ΕΥΣΕΒΙΟΥ

ΕΚΛΟΓΑΙ ΠΡΟΦΗΤΙΚΑΙ*

('Αποσπάσματα)

ΒΙΒΛΙΟΝ Α'

. . . .

λόγου τε καὶ βίου διεξοδευθεῖσα τὰς περὶ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ μαρτυρίας, δι' ἐναργῶν καὶ πιστῶν, καὶ ἀληθῶν ἀποδείξεών τε καὶ συλλογισμῶν ἐπιστοῦτο, βραχείαις κομιδῇ ταῖς ἀπὸ τῶν παρά τε 'Ιουδαίοις καὶ ἡμῖν πεπιστευμένων θείων Γραφῶν ἐπὶ τέλει χρησαμένη μαρτυρίαις· ἐπεὶ μὴ δὲ ἄλλος ᾕρει λόγος τοῖς ἔτι πάντῃ ταῖς θείαις ἀπιστοῦσιν Γραφαῖς δαψιλεῖς ἐξ αὐτῶν παρατίθεσθαι τὰς συστάσεις. Τά γε μὴν ἐν χερσὶν τοῖς ἐκ τῆς ἐκείνων ἀποδείξεως οἷα δὴ θείαις ἤδη καὶ θεοπνεύστοις πιστεύειν ὀφείλουσι ταῖς ἱεραῖς Γραφαῖς τὸ λεῖπον ἐκείναις ἀποπληροῦντα ἐπεπόνητο, Συναγωγὴν περιέχοντα συλλήβδην . . . . . περὶ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ προφητείαν, ἃς ἀπὸ π . . . . τ . σ . παλαιὰ Διαθήκης ὑφ' ἓν συναγαγεῖν ἔδοξεν· δ . . . . .τερον· πῇ δὲ καὶ δι' ὑπονοιῶν τὰ περὶ αὐτοῦ προειρ . . . .ον αὐτὸν καὶ τὰς κατ' αὐτὸν οἰκονομίας. Οὐχὶ δὲ καὶ εἰσ. . . . μόζομε ἃ πέρας εἰληφότα δείκνυται. Τὰς δὲ τοιαύτα . . . . ἀρχούσας· καὶ σποράδην οὐ μόνον προφητεία . . . . ουσα . . ἱστορίαις ἐναποκειμένας· οὐκ ὀλίγοις . . . αχθεῖσα ἔσεσθαι χρησίμους· ἐπεὶ μὴ ῥᾴδιον ἀλλ' ἐκ τῆς ὡς τῆς . . τάδην τῶν Γραφῶν συναναγνώσεως τὰς πάσας ὑποπίπτειν τοῖς ἀνὰ στόμα καὶ διὰ μνήμης φέρειν αὐτὰς βουλομένοις.

'Ιστέον δ' ὡς πρὸ τῆς παρούσης ὑποθέσεως *Χρονικοὺς* συντάξαντες *Κανόνας*, ἐπιτομήν τε τούτοις παντοδαπῆς ἱστορίας 'Ελλήνων τε καὶ βαρβάρων ἀντιπαραθέντες, τὴν Μωϋσέως καὶ τῶν ἐξ αὐτοῦ προφητῶν ἀρχαιότητα δι' αὐτῶν παρεστήσαμεν· οἷς τὴν μετὰ χεῖρας σποράδην ἀκόλουθον ὑπολαμβάνοντες, εἰκότως μετ' ἐκείνην ἐπὶ τὴν παροῦσαν ἐληλύθαμεν πραγματείαν· ἣν καὶ χαριέντως ἄν τις τῷ τῆς σοφῆς μελίττης ἀπεικάσειεν φυσικῷ σπουδάσματι, πρὸς ἣν ἀναπέμπων ἡμᾶς ὁ ἐν Παροιμίαις ἱερὸς λόγος φησίν, «Ἢ πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ ἴδε πῶς ἐργάτις ἐστί, τήν τε ἐργασίαν ὡς σεμνὴν ἐμπορεύεται· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται· ποθεινή τε ἐστιν πᾶσιν καὶ ἐπίδοξος, καίπερ οὖσα

* Κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne, τόμ. 22 σ. 1021.

τῇ ῥώμῃ ἀσθενής, τὴν σοφίαν τιμήσασα προήχθη.[1]» Ὃν γὰρ ἡ ἐργάτις ἐκείνη τρόπον τὴν σοφίαν τιμῆσαι μαρτυρουμένη, τῶν εὐθαλῶν βλαστῶν ἀναλεγομένη τὰ πρόσφορα, ἐκ τῆς ἁπάντων ἐπισυναγωγῆς τε καὶ ἐργασίας βασιλεῦσι καὶ ἰδιώταις ὑγιεινούς, ᾗ φησιν ἡ Γραφή, παρέχεται τοὺς ἑαυτῆς πόνους, ταυτόν τι καὶ τὰς περὶ τοῦ Χριστοῦ *Προφητικὰς* ἡμῖν *Ἐκλογάς*, ἀπάνθισμα τῶν τοῦ Θεοῦ λογικῶν λειμώνων τυγχανούσας, περιέξειν ἡγοῦμαι, τὴν μὲν τῶν κηρῶν εὔπλαστον δημιουργίαν ἐν ψιλαῖς ταῖς λέξεσιν ἀποσῳζούσας, τὰ δ' ἐν αὐτῷ τεθησαυρισμένα νοήματα καταλλήλῳ τῷ γλυκεῖ καὶ ὑγειονοτάτῳ τῆς σοφῆς ἐν ἐκείνης γεννήματι εἴσω που ἐν ἀπορρήτοις ταμιευόμενος. Τίς γὰρ δὴ τῶν πιστῶν οὐκ ἂν ὁμολογῆσαι πάσης διὰ σωμάτων ἡδονῆς τε καὶ ὠφελείας ἀσυγκρίτῳ διαφέρειν ὑπεροχῇ τὰς σωτηρίους περὶ τοῦ Λόγου τοῦ Θεοῦ παραθέσεις, ἐπιτηδείους πρὸς ἀνάληψιν ὑπαρχούσας τῆς κατὰ ἀλήθειαν ὠφελίμου καὶ ὑγιεινῆς ὀρθοδοξίας; Ἣν περιέπειν ἀναγκαῖον οὐ μόνους τοὺς τὴν ἕξιν προβεβηκότας βασιλεῖς ὀνομαζομένους, ἀλλὰ καὶ τοὺς ὑποβεβηκότας καὶ πρῶτον ἄρτι τῷ θείῳ προσιόντας λόγῳ· οἷς καὶ διαφερόντως ἐπιτηδείαν ἔσεσθαι νομίζω τὴν ὑπόθεσιν, ὡς ἂν ἀκριβοῦν ἐξ αὐτῆς δύναιντο τὴν περὶ ὧν κατηχήθησαν λόγων ἀσφάλειαν·[2] τότε μᾶλλον τῆς ἁπλῆς καὶ ἀκεραίου πίστεως πεῖσμα βέβαιον ἰσχούσης, ἐπειδὰν τῷ λογισμῷ τοὺς δι' ἀποδείξεως προεγκαταβαλὼν τις θεμελίους τὴν ἀκριβῆ τῶν πεπιστευμένων κατάληψίν τε καὶ γνῶσιν πρὸς ἐπικτη . . . . . ν γοῦν ἕνεκεν φημὶ δὲ τῶν ἐτ . . τοιχειώσε . . . . . . ἀναγκαῖον εἶναι παρέστη μετὰ τὴν ἑκάστης προ . . . . ιν, ὡς ἐν εἰσαγωγῆς τρόπῳ διήγησιν βραχυ . . . . ενὶ μάλιστα συντομωτάτην παραθέσθαι περὶ . . . . . μὲν ἔλεγχον τῶν πιστεύειν μὲν ὡς θείαις . . . .ραῖς αὐχούντων Γραφαῖς· μὴ μὴν προσιεμεν . . υτα . . . . . . ῶν Ἰησοῦν ὡς ἂν αὐτὸν ὄντα τὸν προφητευόμενον· ἐπαπόρησιν π . . . . αὐτούς, λέγω δὲ τοὺς ἐκ περιτομῆς, καὶ τοὺς ἀπὸ τῶν αἱρέσε . . . μοῦ δὲ καὶ ἀνατροπὰς ὧν ἂν εἴποιεν μυθικώτερον ἐπιλύειν πειρώμενοι τὰς θείας φωνάς. Ἔσται δὲ καὶ διὰ βραχέων μετρία τις ἡμῶν ἐξήγησις, ὁτὲ μὲν ἀπόδειξιν περιέξουσα τοῦ κατὰ μόνον τὸν ἡμέτερον Σωτῆρα πεπληρῶσθαι τὰς ἱερὰς τοῦ Θεοῦ προρρήσεις, ὁτὲ δὲ τὴν ἡμετέραν γνώμην ἣν ἔχομεν περὶ τῶν ἐκτεθησομένων σημαίνουσα.

Ἀλλὰ γὰρ τούτων ἐφάπτεσθαι μέλλοντας, ἀναγκαίως προδιαστείλασθαι ὡς πῇ μὲν προόντα οὐ μόνον τῆς ἐνανθρωπήσεως ἀλλὰ καὶ πάσης γενετῆς ὑποστάσεως τοῦ Θεοῦ Λόγον διδάσκουσιν οἱ ἱεροὶ λόγοι, Θεὸν . . . αὐτὸν μετὰ τὸν Πατέρα καὶ Κύριον προσαγορεύοντες, οἷα δὴ καὶ τὸ κήρυγμα τὸ ἐκκλησιαστικὸν περιέχει ἀκολούθως τῇ εὐαγγελικῇ μαρτυρίᾳ (εἰπ)ούσῃ, «Ἐν ἀρχῇ ἦν ὁ Λόγος·

---

1. Παρμ. 6, 8. 2. Πρβλ. Λουκ. 1, 4.

καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος· πάντα δι᾿ αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν·[1]» πῇ δὲ τὰς δύο παρουσίας αὐτοῦ προαναφωνοῦσι· τήν τε προτέραν, ἐν ᾗ μήτε εἶδος αὐτὸν μήτε κάλλος[2] ἕξειν προὐθέσπιζον διαρρήδην ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεσθαι, καὶ σαφῶς οὕτως ἀπὸ τῶν ἀνομιῶν τοῦ προτέρου λαοῦ τὴν ἐπὶ θανάτῳ καταδικασθήσεσθαι λέγοντες· οἷα δὴ καὶ ἀποδείκνυνται τῆς προτέρας αὐτοῦ παρουσίας αἱ κατὰ τοὺς Τιβερίου χρόνους οἰκονομίαι· καὶ τὴν δευτέραν, οὐκέθ᾿ ὁμοίαν τῇ προτέρᾳ, θειοτέραν δὲ καὶ πολὺ τῇ δόξῃ παραλλάττουσαν, μετ᾿ ἀγγελικῆς δορυφορίας καὶ τῆς ἀπ᾿ οὐρανῶν παρατάξεως γενησομένην· οἷς εὐγνωμόνως τὸν ἐντυγχάνοντα χρεὼν κανόνα ὥσπερ καὶ σκοπὸν τὸ κήρυγμα κατέχειν τὸ ἀποστολικὸν τέλεια καὶ ἀπαρεγχείρητα τὰ τῆς ἀληθείας δόγματα διαφυλάττοντα, τουτέστιν τὰ περὶ τῆς πρώτης καὶ ἀγενήτου τοῦ τῶν ὅλων Θεοῦ φύσεως, καὶ τὰ τῆς τοῦ θείου Λόγου προϋποστάσεώς τε καὶ ὑπουργίας, ἣν ἐπὶ τῇ τῶν γενητῶν ἁπάντων δημιουργίᾳ, οἷα δὴ λόγος.

. . . .

. . . .

. . . . χωρὶς τῶν τεσσάρων στοιχείων τῶν παρ᾿ Ἑβραίοις ἀνεκφωνήτων, ὧν διὰ τῆς συνθέσεως τὸ σημαινόμενον ὄνομα ἄρρητον ὑπάρχον, καταχρηστικώτερον δὲ «Κύριος» ἐπικαλούμενον, οὐδέπω ποτὲ ἐπὶ ἀγγελικῆς παρείληπται δυνάμεως, ὡς ἐπιστήσεις καθ᾿ ὅλης τῆς θεοπνεύστου Γραφῆς, ἔνθα ὁ Θεός, ἢ ὁ διὰ τοῦ τετραγράμμου δηλούμενος Κύριος ἀναγέγραπται κεχρηκέναι τισί· πότερον ἐπὶ τὴν ἀγένητον τοῦ τῶν ὅλων Θεοῦ φύσιν ἀνενεκτέον τὰ δηλούμενα, ἢ ἐπὶ τὸν τούτου Λόγον, ὃν δεύτερον τυγχάνοντα τῶν ὅλων αἴτιον καὶ Θεὸν καὶ Κύριον κατὰ τὸ σημαινόμενον ἐκ τοῦ παρ᾿ Ἑβραίοις ἀρρήτου ὀνόματος προσαγορεύειν εἴωθεν ἡ θεία Γραφή. Καὶ δῆτα ἐπὶ τοῦ παρόντος φήσαντος τοῦ λόγου, ὅτι δή· «Κατέβη Κύριος[3]», καί, «Εἶπεν Κύριος[4]», τὰ ἀναγεγραμμένα, ζητῆσαι ἄν τις εὐλόγως εἴτε ἐπί τινα τῶν ἀγγέλων, εἴτε ἐπὶ τὸ πρῶτον αἴτιον τὴν ἀναφορὰν ἔχει τὸ δηλούμενον. Ἀλλ᾿ ἐπὶ μὲν ἀγγέλων οὐχ οἷόν τε· τοῦτο μέν, ὅτι κἀνταῦθα τὸ «Κύριος» διὰ τῆς ἀνεκφωνήτου παρείληπται προσηγορίας, τοῦτο δέ, ὅτι ἑτέροις παρ᾿ αὐτὸν ὑποβεβηκόσιν ἐμφαίνει πεποιῆσθαι τοὺς λόγους. Πάλιν δ᾿ αὖ ἐπὶ τοῦ Πατρὸς καὶ Θεοῦ τῶν ὅλων ἀνοίκειος ἡ διάνοια· οὐ γὰρ δὴ αὐτῷ πρέποι ἂν λέγειν τό, «Δεῦτε, καὶ καταβάντες συγχέωμεν τὴν γλῶσσαν αὐτῶν[5]» καί τό, «Κατέβη Κύριος ἰδεῖν τὴν πόλιν[6]», οὐδαμῶς ἂν ἁρμόττοι περὶ τῆς αὐθεντείας λέγεσθαι. Λείπεται δὴ νοεῖν τὸν θεῖον Λόγον καὶ διὰ τῶν προκειμένων δηλοῦσθαι. Οὗτος δὴ τὴν τῶν ἁπάντων πρόνοιάν τε καὶ οἰκονομίαν πρὸς τοῦ Πατρὸς

1. Ἰω. 1, 1, 3. 2. Ἡσ. 53, 2. 3. Γεν. 11, 5. 4. Γεν. 11, 6. 5. Γεν. 11, 7. 6. Γεν. 11, 5.

ἐπιτετραμμένος οὐ πώποτε διέλειπεν τοτὲ μὲν δι' ἑαυτοῦ, τοτὲ δὲ δι' ὑπηρετῶν ἀγγέλων τῷ πατρικῷ βουλήματι τὰ συντείνοντα ἐπὶ τῇ τῶν ὅλων ὠφελείᾳ τε καὶ σωτηρίᾳ διακονούμενος. Μυστικῆς δὲ καὶ ἀπορρήτου θεωρίας ἐχόμενα τὰ κατὰ τὸν τόπον οὐ νῦν ἀναπτύσσειν καιρός.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πρῶτος ἀναγέγραπται γενόμενος χρηματισμὸς τῷ Ἀβραὰμ ὅτε εἶπεν αὐτῷ Κύριος· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου εἰς τὴν γῆν ἣν ἄν σοι δείξω· καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογητός· καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε [1]», καὶ τὰ τούτοις ἑξῆς. Δεύτερος, ὅτε ὤφθη αὐτῷ Κύριος καὶ εἶπεν αὐτῷ· «Τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην.[2]» Καὶ τρίτος, ὅτε «ὁ Κύριος εἶπεν τῷ Ἀβραὰμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ [3]» τὰ ἀναγεγραμμένα. Τέταρτος, ἐν ᾧ εἴρηται, «Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα Κυρίου πρὸς Ἀβραὰμ ἐν ὁράματι τῆς νυκτὸς λέγων, Μὴ φοβοῦ, Ἀβραμ, ἐγὼ ὑπερασπίζω σου.[4]» καὶ μεθ' ἕτερα· «Ἐγὼ Κύριος ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων.[5]» Πέμπτος, ὅτε ὤφθη Κύριος τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ, «Ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐνώπιον ἐμοῦ [6]», καὶ τὰ λοιπά. Ἕκτος, ἐν ᾧ πάλιν «Ὤφθη αὐτῷ Κύριος πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας· ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνωαὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ· καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ εἶπεν· Κύριε, εἰ εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου, λη φθήτω δὴ μικρὸν ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν.[7]» Εἶτα μετά τινα ἐπιφέρεται, «Ὅτι ἐξαναστάντες ἐκεῖθεν ἐπέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων· Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν συμπροπέμπων αὐτούς· ὁ δὲ Κύριος εἶπεν· Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ; Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσεται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς· ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτῶν, καὶ φυλάξουσιν τὰς ὁδοὺς Κυρίου, ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ ἃ ἐλάλησεν πρὸς αὐτόν. Εἶπεν δὲ Κύριος· Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται.[8]» Καὶ μετ' ὀλίγα· «Καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα· Ἀβραὰμ δὲ ἦν ἑστηκὼς ἐναντίον Κυρίου· καὶ

1. Γεν. 12, 1-3. 2. Γεν. 12, 7. 3. Γεν. 13, 14. 4. Γεν. 15, 1. 5. Γεν. 15, 7. 6. Γεν. 17, 1. 7. Γεν. 18, 1-4. 8. Γεν. 18, 16-20.

ἐγγίσας Ἀβραὰμ εἶπεν, Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς· καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολέσεις αὐτούς; Οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; Μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς· καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς· ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν; [1]» Καὶ μεθ' ἑτερά φησιν ἡ Γραφή· «Ἀπῆλθεν δὲ Κύριος ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ.[2] Εἰσῆλθον δὲ καὶ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων.[3]»

Ἐπιστῆσαι ἄξιον πότερον ἄγγελος ὁ τυχὼν κατὰ τοὺς τόπους δηλοῦται ὁ τοὺς χρηματισμοὺς πρὸς τὸν Ἀβραὰμ πεποιημένος, ἢ αὐτὸς ὁ τῶν ὅλων Θεός, ἢ τρίτος τις παρὰ τούτους ὁ τοῦ Θεοῦ Λόγος, ὃν μετὰ τὸν ἀνωτάτω Πατέρα καὶ Θεὸν τῶν ὅλων Κύριον καὶ Θεὸν ἀποκαλεῖν ἔθος τῇ ἱερᾷ Γραφῇ· ἔτι τε ζητῆσαι, τίς ἦν ὁ τῶν τριῶν τῶν ὀφθέντων τῷ Ἀβραὰμ ἀνδρῶν, πρὸς ὃν αὐτός τε εἶπεν, «Κύριε, εἰ εὗρον χάριν ἐναντίον σου·[4]» καὶ πάλιν, «Μηδαμῶς· ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν·[5]» περὶ οὗ καὶ ἡ θεία Γραφὴ οὐ μόνον πρῶτον, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον ἱστορικῶς φησιν, «Ὤφθη δὲ αὐτῷ Κύριος[6]», ἐπὶ τῇ «Κύριος» προσηγορίᾳ τοῦ ἀνεκφωνήτου ἐν τῷ Ἑβραϊκῷ τεταγμένου ὀνόματος, ὅπερ οὐδεπώποτε ἐπὶ ἀγγελικῆς δυνάμεως παρείληπται. Ὅτε γοῦν ὁ Λὼτ τοῖς εἰς Σόδομα ἐλθοῦσιν ἀγγέλοις ἀναγέγραπται λέγων, «Δέομαι, Κύριε, ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐνώπιόν σου[7]», κεῖται μὲν ἐν τῷ Ἑβραϊκῷ τό, «Κύριε», ἀλλ' οὐ διὰ τῶν τεσσάρων στοιχείων τῶν παρ' Ἑβραίοις ἐπὶ τοῦ ἀρρήτου ὀνόματος τοῦ Θεοῦ παραλαμβανομένων, δι' ἑτέρων δὲ συλλαβῶν δι' ὧν καὶ τὸ παρ' ἀνθρώποις ὀνομαζόμενος κύριος τῶν πρός τι τυγχάνων, οἷον οἰκέτου κύριος, παρ' Ἑβραίοις ἐγγέγραπται· ἀλλ' οὐδέν γε τούτοις ἔχον παραπλήσιον τὸ ἐπὶ τῆς τοῦ Θεοῦ αὐθεντείας διὰ τῶν τεσσάρων στοιχείων παραλαμβανόμενον ἔν τε ταῖς ἀναγεγραμμέναις τοῦ Θεοῦ πρὸς τὸν Ἀβραὰμ ὀπτασίαις ἐμφερόμενον σαφῶς παρίστησιν, μηδὲ ἄγγελον, μηδὲ ὀλίγῳ τοῦτον ἐπαναβεβηκυῖάν τινα θείαν δύναμιν αὐτῷ κεχρηματικέναι, ἀλλ' αὐτὸν τὸν Θεόν, οὗ τὴν ἄρρητον ἐκφώνησιν, αὐτὴν δὴ ταύτην κατὰ τοὺς τόπους διὰ τῶν τεσσάρων στοιχείων ἐμφερομένην, μόνος ὁ ἀρχιερεὺς ἐπὶ τοῦ μετώπου περιέκειτο φέρων ἐπὶ τοῦ χρυσοῦ πετάλου τὸ λεγόμενον «Ἐκτύπωμα σφραγῖδος, ἁγίασμα(τος) Κυρίου.[8]» Καὶ ὅτι γε οὐκ ἀδιάφορόν ἐστι τῇ θείᾳ Γραφῇ ἐπ' ἀγγέλων χρῆσθαι τῇ τοιαύτῃ προσηγορίᾳ, πρόδηλον ἐκ τοῦ σφόδρα παρατετηρημένως ποτὲ μὲν αὐτὸν τὸν Θεὸν ἢ τὸν διὰ τοῦ τετραγράμμου δηλούμενον Κύριον ὦφθαί τε καὶ κεχρηκέναι τοῖς δικαίοις ἱστορεῖν, ποτὲ δὲ ἀγγέλους ἀναγράφειν τοὺς

1. Γεν. 18, 22-25. 2. Γεν. 18, 33. 3. Γεν. 19, 1. 4. Γεν. 18, 3. 5. Γεν. 18, 25. 6. Γεν. 18, 1. 7. Γεν. 19, 18, 19. 8. Ἔξ. 28, 32.

ἑωραμένους. Σαφῶς οὖν ὁ τῇ Ἄγαρ ἀλωμένῃ ἐπιφανεὶς ἄγγελος ἦν· καὶ γὰρ ἐχρῆν ἐκείνῃ μέν, ἅτε πλεῖστον ὅσον ἀπολειπομένῃ τοῦ Ἀβραάμ, καὶ οὐδέν τι πλέον ἀγγελικῆς ὀπτασίας θεωρεῖν δυναμένῃ, κατάλληλον τὴν ὀπτασίαν γενέσθαι διὰ τῆς τοῦ ἀγγέλου παρουσίας, τῷ δὲ Ἀβραὰμ διὰ τῆς μείζονος αὐτοῦ τοῦ Θεοῦ ἐπιφανείας. Καὶ οἱ λοιποὶ δὲ αὐτοὶ τῶν πρὸς αὐτὸν τοῦ Θεοῦ λόγων οὐκ ἂν μὲν ἁρμόσειεν, εἰ ἐπὶ ἀγγέλους τις αὐτοὺς ἀνάγειν πειρῷτο, μόνῳ δὲ Θεῷ πρέποι ἂν αὐτοὺς λέγειν, οἷον τό, «Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε[1]», καὶ τὰ τούτοις παραπλήσια· μάλιστα δὲ τό, «Ἐγὼ Κύριος ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων·[2]» καὶ τό, «Ἐγώ εἰμι ὁ Θεός, εὐαρέστει ἐναντίον ἐμοῦ[3]», καὶ τὰ ἑξῆς· καὶ οὐδεὶς οὕτω γένοιτ' ἂν ποτ' ἠλίθιος ὡς ἄγγελον αὐτὰ ὑπονοεῖν εἰρηκέναι. Καὶ ὅτε γοῦν πρὸς τῇ δρυῒ καθεζομένῳ τῷ Ἀβραὰμ οἱ τρεῖς ἄνδρες ἐπέστησαν, πρόσεισι μὲν αὐτοῖς ὁ Ἀβραάμ, ἀλλ' οὐ τοῖς τρισίν, ἑνὶ δὲ μόνον τό, «Κύριε, εἰ εὗρον χάριν ἐναντίον σου.[4]» Καὶ τῶν μὲν ἄλλων οὐδ' εἷς τῷ Ἀβραὰμ εἰσάγεται ὁμιλῶν· ἐπεὶ μηδὲ ᾖρει λόγος τοὺς οἰκέτας ἐπὶ τοῦ Κυρίου φθέγγεσθαι, μόνος δὲ ὁ Κύριος χρηματίζει, ὅς καί φησιν, «Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου[5]», καὶ τὰ λοιπά. Εἶτα οἱ μὲν ἅνα (ἅμα) τῷ Κυρίῳ ἄνδρες, δῆλον δ' ὅτι οἱ ἄγγελοι, ἀποστρέψαντες, μόνοι κατῆλθον εἰς Σόδομα, τοῦ Κυρίου μὴ συμπαρόντος αὐτοῖς· (πῶς γὰρ καὶ οἷόν τε ἦν τὸν εὐμενῆ καὶ ἵλεω Θεὸν τοῖς ἀσεβέσιν ἐνεπιδημεῖν;) ὁ δὲ ἐπιμένων τῇ πρὸς τὸν θεοφιλῆ καὶ δίκαιον συνουσίᾳ τε καὶ διατριβῇ, χαίρει μὲν αὐτοῦ τῇ ὁμιλίᾳ, ὑπερασπίζεται δὲ καὶ τὴν φιλανθρωποτάτην εὐχήν, ἐν ᾗ καὶ τὸ «Μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν[6]», εἰρηκὼς ὁ Ἀβραὰμ ἐναργέστατα παρίστησιν ἑαυτὸν εὖ καὶ ἀκριβῶς εἰδέναι, ὅτι μὴ ἀγγέλῳ, μηδ' ὑποβεβηκυίᾳ θείᾳ δυνάμει, ἀλλ' αὐτῷ Θεῷ διαλέγοιτο. Εἶθ' ἑξῆς ἀκριβῶς τὰ πράγματα διαιρῶν ὁ λόγος τοὺς ἐπὶ Σόδομα ἀνελθόντας σαφῶς ἀγγέλους προσαγορεύει, ἐπιλέγων, ὅτι δὴ «ἦλθον οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας·[7]» καὶ ἐν τοῖς ἑξῆς οὔτε Κύριον οὔτε Θεὸν ὀφθῆναι τῷ Λώτ, ἢ καὶ λελαληκέναι, ἀλλὰ τοὺς ἀγγέλους ἀναγράφει· ὥστ' ἐκ παντὸς πρόδηλον, ὅτι Κύριος ἦν καὶ Θεός, ἀλλ' οὔ τις ἀγγέλων, ὁ τῷ Ἀβραὰμ ὦφθαι πρὸς τῆς Γραφῆς μαρτυρούμενος.

Πάντες μὲν οὖν οἱ διακόπτειν ἐθέλοντες τὴν τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν Διαθήκην σύμπνοιαν, ὥσπερ ἑρμαίῳ τοῖς τόποις ἐπιβαίνοντες σαφῶς ἐκ τούτων παριστάναι δοκοῦσιν ἕτερον ὑπάρχειν τὸν τοῦ Χριστοῦ Πατέρα, ὃν καὶ ἀόρατον ὑπὸ τῆς εὐαγγελικῆς φωνῆς ὁμολογεῖσθαι[8], παρὰ τὸν Μωϋσέως καὶ τῶν προφητῶν Θεὸν διαφόρως ὀφθέντα, τοτὲ μὲν τῷ Ἀβραάμ, τοτὲ δὲ τῷ Ἰσαὰκ (ᾧ καὶ αὐτῷ

1. Γεν. 12, 2. 2. Γεν. 15, 7. 3. Γεν. 17, 1. 4. Γεν. 18, 3. 5. Γεν. 18, 17. 6. Γεν. 18, 25. 7. Γεν. 19, 1. 8. Πρβλ. Ἰω. 1, 18. 6, 46.

χρηματίζων τὰ παραπλήσια τοῖς ἐπὶ τοῦ Ἀβραὰμ προθεσπίζει), ὁμοίως δὲ καὶ τῷ Ἰακώβ, τάχα δὲ καὶ Ἡσαΐᾳ φήσαντι, «Εἶδον τὸν Κύριον Σαβαώθ[1]», καὶ τοῖς λοιποῖς προφήταις παραπλησίως· ἡμεῖς δὲ (ἐπεὶ καὶ ἐν αὐτοῖς τοῖς πάλαι τοῦ Θεοῦ προφήταις ἐμφέρεταί τι θεῖον λόγιον ἐκ προσώπου τοῦ Θεοῦ φάσκον· «Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν καὶ οὐκ ἠλλοίωμαι.[2]» Καί· «Οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει Κύριος·[3]» καὶ τῷ Μωϋσεῖ δὲ χρηματίζων φησίν· «Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον, καὶ ζήσεται·[4]») ὡς πρὸς τοὺς προειρημένους ὁμοῦ καὶ τοὺς ἐκ περιτομῆς, ἔτι τε τοὺς μὴ προσιεμένους δευτέραν μετὰ τὴν ἀγένητον φύσιν προϋπάρχειν θεότητα τοῦ Υἱοῦ, ταῦτα ἐπαπορήσομεν, πῶς ὁ καὶ (κατὰ) ταύτας τὰς προφητείας ἀναλλοίωτος, καὶ ἄτρεπτος, καὶ πάλιν τὸν οὐρανὸν καὶ τὴν γῆν λέγων πληροῦν μόνος Θεός, σαφῶς τε καὶ κατ' αὐτὸν τὸν νόμον σχεδὸν ἀόρατος εἶναι δηλούμενος, κατὰ τό· «Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον καὶ ζήσεται», ἀλλοιούμενος πάλιν, καὶ ὡς περιτρέπων τὴν αὐτὸς ἑαυτοῦ οὐσίαν εἰς (ἐν) μικροῖς τισι μορίοις τῆς γῆς χωρητὸς ἐγίγνετο, καὶ ἑωρᾶτο τοτὲ μὲν τῷ Ἀβραάμ, τοτὲ δὲ τοῖς ἄλλοις προφήταις; Ταυτὶ γὰρ εἰ ἐπὶ τὸν τῶν ὅλων ἀναφέροιτο Θεόν, οὐ μόνον τῇ εὐαγγελικῇ φωνῇ δόξαι ἂν διαφωνεῖν, ἀλλὰ καὶ ταῖς προφητικαῖς, ἀχώρητον καὶ ἀναλλοίωτον αὐτὸν καὶ ἀόρατον ἀνθρώποις ἀποφηναμέναις· εἰ μὴ ἄρα μηδὲ ὦφθαί τις εἴποι αὐτὸν τὸν Θεὸν τοῖς ἀναγεγραμμένοις, φαντασιῶσαι δὲ αὐτοὺς αὐτὸ μόνον, ὡς δοκεῖν μὲν ὁρᾶν καὶ ἀκούειν, οὐ μὴν καὶ ἀληθῶς τι τῶν νομιζομένων φαίνεσθαι θεωρεῖν, οὐδὲ μὴν ἀκούειν κατ' ἀλήθειαν, ἀπατωμένους δὲ καὶ ἐν τούτοις νομίζειν, καὶ δοκεῖν ἀκούειν, ὅπερ ἀνοίκειόν τε καὶ ἀλλότριον ὑπάρχει τῆς ἀψευδοῦς καὶ ἀπλανοῦς τοῦ τῶν ὅλων Θεοῦ φύσεως· ἔτι δὲ καὶ ἀσύστατον ὂν δείκνυται ἐκ τοῦ λέγειν ἱστορεῖσθαι αὐτὸν τὸν Θεὸν περὶ τοῦ Ἀβραὰμ τό· «Ἤδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτὸν καὶ φυλάξουσιν τὰς ὁδοὺς Κυρίου ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ ἃ ἐλάλησε πρὸς αὐτόν.[5]» Ἀναμφιλέκτως γοῦν ταῦτα ὡς περὶ ἑτέρου Κυρίου αὐτὸς ὁ Κύριος διαλέγεται· πῶς οὖν ἐστι οἷόν τε τὸν τῶν ὅλων ὑπονοεῖν Θεὸν ταῦτα εἰρηκέναι; Περὶ ποίου γὰρ ἑτέρου παρ' αὐτὸν Κυρίου δύναται λέγεσθαι τὰ ἐγκείμενα; Ἀλλὰ γὰρ σαφῆ ἐκ τούτων ὅτι μηδὲ τῷ τῶν ὅλων Θεῷ προσήκειν ἔοικε τὰ δηλούμενα· δέδεικται δὲ ὅτι μηδὲ τῇ τῶν ἀγγέλων φύσει· οἶδε γοῦν, ὡς ἔφην, ὁ λόγος ἐπαληθεύειν ἐπὶ τῇ τῶν ἀγγέλων ἐπιφανείᾳ, σαφῶς ἐπισημαινόμενος τὰς δι' αὐτῶν ὀπτασίας. Εἰ δὴ οὖν μήτ' ἀγγελικῇ φύσει μήτε τῇ ἀνωτάτῳ καὶ ἀγενήτῳ τοῦ τῶν ὅλων Θεοῦ ταῦτα ἔοικεν ἁρμόττειν, λείποιτ' ἂν τούτων μία

---

1. Ἡσ. 6, 5. 2. Μαλ. 3, 6. 3. Ἱερ. 23, 24. 4. Ἔξ. 33, 20. 5. Γεν. 18, 19.

μόνη λύσις, εἰ τὸ μὲν ἀναλλοίωτον καὶ ἄτρεπτον καὶ ἀόρατον ἐπὶ τὴν ἀγένητον διαφυλάττοιμεν οὐσίαν, τοὺς δ' ἀναγεγραμμένους ὡς ἐκ Θεοῦ χρηματισμοὺς ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον μεταλαμβάνοιμεν, ὃν διαφόρως καὶ πρὸ τῆς ἐνανθρωπήσεως ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ὀφθῆναί τε καὶ τὰς ἐν ταῖς θείαις Γραφαῖς ἐμφερομένας οἰκονομίας ἐκτελέσαι πεπιστεύκαμεν· ἐπὶ μόνου δὲ τούτου μετὰ τὸν τῶν ὅλων Θεὸν καὶ τὴν τετράγραμμον προσηγορίαν κειμένην εὕρομεν, ἅτε Μονογενεῖ καὶ κληρονόμῳ τοῦ Πατρὸς ἁρμοττούσης καὶ ταύτης τῆς θεϊκῆς ἐπινοίας. Εὖ γοῦν εἰδὼς ὁ Ἀβραάμ, ἅτε σοφὸς ὢν καὶ πρὸς αὐτοῦ τοῦ Θεοῦ προφήτης εἶναι μαρτυρούμενος, ὡς ὅτι πᾶσαν τὴν κρίσιν ἔδωκεν τῷ Υἱῷ [1], προσκυνεῖ τε αὐτόν, καὶ μόνῳ παρὰ τοὺς ἄλλους φησὶν τό· «Μηδαμῶς ὁ κρίνων πᾶσαν τὴν γῆν οὐ ποιήσεις κρίσιν.[2]» Ὅπερ ἀγγέλῳ τὸν θεῖον Λόγον ὑποβεβηκότι λέγεσθαι νομίζειν ἀνοίκειόν τε καὶ ἀπιθανώτατον, μόνῳ δὲ τῷ θείῳ Λόγῳ οἰκειότατον ἂν εἴη μετὰ τῶν ἄλλων φάσκειν καὶ τό· «Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ;[3]» καὶ τό· «Ἤδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ ἃ ἐλάλησε πρὸς αὐτόν.[4]» Καὶ πρέπει γε αὐτῷ ταῦτα λέγειν παιδεύοντι, ὅτι δὴ πάντα τὰ ἐξ ἀνθρώπων ὁσίως δρώμενα εἰς μόνην τὴν τοῦ Θεοῦ καὶ Πατρὸς τῶν ὅλων ἀναφέρειν θέμις εὐσέβειαν, παρ' οὗ ἐπὶ γῆς ὄντος τῶν ἀγαθῶν τὰ πάντα τοῖς εὐσεβέσιν εἰς ὠφέλειάν τε καὶ σωτηρίαν χορηγεῖται· ταῦτα δὲ ὁ θεῖος φησι Λόγος ὡς περὶ ἑτέρου Κυρίου τοῦ ἑαυτοῦ Πατρὸς διδάσκων· καὶ γὰρ καὶ ἑαυτοῦ Κύριόν τε καὶ Θεὸν αὐτὸν ὁμολογεῖ πρὸς τοὺς ἰδίους μαθητάς, «Ἀνέρχομαι, φάσκων, πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.[5]» Πεπλήρωται δ' ὅ τε νόμος καὶ πᾶσα Γραφὴ τοῦ τοιοῦδε χαρακτῆρος τοῦ Κυρίου, τοῦτ' ἔστιν τοῦ θείου Λόγου, ὡς περὶ ἑτέρου Κυρίου διαλεγομένου, δῆλον δ' ὅτι τοῦ Πατρός. Πολλῆς δὲ καὶ βαθυτάτης δεομένων θεωρίας τῶν κατὰ τὸν τόπον, ἱκανὰ καὶ ταῦτα πρὸς τὴν παροῦσαν ὑπόθεσιν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

«Καὶ ἀπέδρα Ἄγαρ ἀπὸ προσώπου αὐτῆς[6]», δῆλον ὅτι τῆς Σάρρας· «εὗρε δὲ αὐτὴν ἄγγελος Κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος·[7]» καὶ ἐν τοῖς ἑξῆς δεύτερον εἴρηται· «Εἶπεν δὲ αὐτῇ ὁ ἄγγελος Κυρίου·[8]» καὶ τρίτον δέ· «Εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· Πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμήσεται ἀπὸ τοῦ πλήθους.[9]» καὶ αὖθις·

1. Πρβλ. Ἰω. 5, 22. 2. Γεν. 18, 25. 3. Γεν. 18, 17. 4. Γεν. 18, 19. 5. Ἰω. 20, 17. 6. Γεν. 16, 6. 7. Γεν. 16, 7. 8. Γεν. 16, 9. 9. Γεν. 16, 10.

«Εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· Ἰδοὺ σὺ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ· ὅτι ἐπήκουσε Κύριος τῇ ταπεινώσει σου·[1]» καὶ μετὰ πάντας τοὺς λόγους εἴρηται· «Καὶ ἐκάλεσεν τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν· Σὺ Θεὸς ὁ ἐπιδών με.[2]» Εἰ μὴ καὶ ἀπὸ προσώπου τῆς ἱερᾶς Γραφῆς Κύριος ὠνόμαστο τῇ Ἄγαρ ἐπιφανεὶς ἀλωμένῃ ἐν τῷ· «Καὶ ἐκάλεσεν τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν», κἂν ὑπελάβέ τις τὴν Ἄγαρ Θεὸν ἐσφαλμένως ὑπειληφέναι τὸν ἄγγελον· νυνὶ δὲ ἡ Γραφὴ μαρτυρεῖ, ὅτι Κύριος ἦν ὁ διὰ τοῦ προωνομασμένου χρηματίζων ἀγγέλου, δι' οὗ ἅτε Κύριος καὶ Θεὸς ὢν πρεπόντως ἑαυτῷ ἔλεγε τό· «Πληθύνων πληθυνῶ τὸ σπέρμα σου·» τοῦτο γὰρ Θεῷ μόνῳ ἁρμόζοι ἂν λέγειν, οὐκέτι δὲ καὶ ἀγγέλῳ· τούτῳ δ' αὖ τῷ ῥήματι καὶ τὴν Ἄγαρ εἰκὸς ἐπιστήσασαν, συνεῖσάν τε ὅτι μόνου Θεοῦ γένοιτ' ἂν ἡ τοιαύτη φωνή, εἰρηκέναι· «Ὅτι σὺ Θεὸς ὁ ἐπιδών με·» ἀλλὰ καὶ δεύτερον, ὅτε ἀποδιδράσκει μεθ' ἑαυτῆς ἔχουσα τὸν υἱόν, γέγραπται· «Ἐκάλεσεν δὲ ἄγγελος τοῦ Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ[3]», καὶ εἶπεν αὐτῇ τὰ ἀναγεγραμμένα, ἐν οἷς ἐστιν καὶ τό· «Εἰς γὰρ ἔθνος ποιήσω αὐτό·[4]» δῆλον δ' ὅτι τὸ παιδίον· ὅπερ οὐκέτι τὸν ἄγγελον ἀξιόπιστον ἂν εἴη λέγειν, Θεοῦ γὰρ πάλιν ἡ ἐπαγγελία. Τίνος οὖν Κυρίου ἐκάλεσεν ἡ Ἄγαρ τοὔνομα· «Σὺ ὁ Θεὸς ὁ ἐπιδών με», κἀνταῦθα τῆς Γραφῆς ἐπὶ τοῦ Κυρίου τὸ τετράγραμμον παρ' Ἑβραίοις ὄνομα περιεχούσης; ἢ δῆλον ἐκ τῶν προαποδεδομένων, ὅτι δὴ τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Λόγου, ὃς ἐπιπαρών, καὶ τὰ κατ' ἀνθρώπους ἐξ ἀρχῆς ἐφορῶν τε καὶ οἰκονομῶν, τοῖς μὲν ἐπαναβεβηκόσι καὶ τελείοις ἀνδράσιν, οἷος ἦν ὅ τε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, αὐτὸς δι' ἑαυτοῦ παρείχετο τὰς ὀπτασίας· τοῖς δὲ τῆς τούτων ἀρετῆς ἀποδέουσιν, οἷος ἦν ὁ Λώτ, καὶ οἱ ἐν τοῖς Κριταῖς Γεδεών τε καὶ Μανωέ, καὶ ὅσοι τούτοις ἐμφέρονται παραπλήσιοι, λειτουργοῖς καὶ διακόνοις τοῖς ὑπ' αὐτὸν θείοις ἀγγέλοις χρώμενος πολυμερῶς καὶ πολυτρόπως παρείχετο δι' αὐτῶν τὰς ἐπαγγελίας. Ταύτῃ γοῦν καὶ τῇ Ἄγαρ, ἅτε μὴ οἵᾳ τε οὔσῃ πω τὴν αὐτοῦ τοῦ θείου Λόγου χωρεῖν ὀπτασίαν, διὰ τοῦ ἀγγέλου τὰ ἀναγεγραμμένα θεσπίζει· εἰ (ἔτι) δὲ καὶ τῷ Ἰακὼβ δι' ἀγγέλων ἐπιφαίνεται· ἀλλ' ὅρα ὅτι καὶ τοῦτο κατ' ἀρχὰς μὲν ὡς ἂν ἔτι εἰσαγομένῳ τοῦτον χρηματίζει τὸν τρόπον, προκόψαντι δὲ καὶ εἰς τελειότητα ἐπιδόντι γυμνῆς καὶ ἀνεπικαλύπτου τῆς ἰδίας μεταδίδωσιν ὁμιλίας, οὐκέτι μὲν δι' ἀγγέλων καὶ δι' ἑρμηνέων, αὐτὸς δὲ δι' ἑαυτοῦ ὁ Κύριος καὶ Θεὸς Λόγος, ὁ τὰ δευτερεῖα τῆς πατρικῆς ἐπέχων θεότητος, τῆς ἰδίας αὐτὸν καταξιῶν ὀπτασίας.

1. Γεν. 16, 11. 2. Γεν. 16, 13. 3. Γεν. 21, 17. 4. Γεν. 21, 18.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

«Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ. Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ.[1]» Οὐκ οἶμαί τινα τῶν ἅπαξ πεπιστευκότων ἱερὰς καὶ θεοπνεύστους ὑπάρχειν τὰς ἁγίας Γραφὰς εὑρεσιλογεῖν τι εἰς τοὺς τόπους, ἀντιλέγειν πειρώμενον τοῖς περὶ τοῦ Λόγου τοῦ Θεοῦ παραδεδομένοις, ὅτι τε προϋπῆν ὑπόστασιν ἰδίαν ἔχων, καὶ ὅτι πρὸ τῆς ἐνανθρωπήσεως τὰς εἰς ἀνθρώπους οἰκονομίας ἐτέλει· δύο γὰρ Κυρίους ἐνταῦθα σαφῶς ἡ Γραφὴ παρίστησιν, εἴ γε «Κύριος ἔβρεξεν παρὰ Κυρίου.» Τὸ δ' ὅμοιον ἔστιν εὑρεῖν παρὰ τῷ ἱερῷ Ἀποστόλῳ φήσαντι· «Δῴη ὁ Κύριος ἔλεος τῷ Ὀνησιφόρου οἴκῳ·[2]» καί· «Δῴη αὐτῷ εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.[3]» Ἀλλὰ γὰρ ἐν τούτοις περὶ Πατρὸς καὶ Υἱοῦ διαρθροῦν λόγους, τῷ μὲν ἀγενήτῳ καὶ Πατρὶ τῶν ὅλων τὴν κατὰ πάντων καὶ κατ' αὐτοῦ τοῦ Υἱοῦ κυρίαν τε καὶ αὐθεντείαν ἀνατιθέντας, τῷ δὲ τῷ Λόγῳ τὰ δευτερεῖα μετὰ τὸν Πατέρα τῆς κατὰ πάντων τῶν γεγενημένων ἀρχῆς τε καὶ δεσποτείας ἀπονέμοντας. Δὶς δὲ ἐνταῦθα ὀνομαζομένου τοῦ Κυρίου, κατὰ τό· «Ἔβρεξεν Κύριος παρὰ Κυρίου», δὶς κατὰ τὸ Ἑβραϊκὸν καὶ τὸ τετράγραμμον ἐμφέρεται, ὡς σαφέστατα ἀνομολογεῖσθαι τὸ ἐπὶ δύο προσώπων, δῆλον δ' ὅτι τοῦ Θεοῦ καὶ Πατρὸς τῶν ὅλων καὶ τοῦ Λόγου αὐτοῦ, τὴν ἄρρητον ταύτην παραλαμβάνεσθαι σημείωσιν· ὡς μηκέτ' ἀμφιβόλως ἔχειν, εἴ που ἂν φέροιτο ἡ τοιαύτη ἐπὶ τοῦ Θεοῦ προσηγορία, μὴ μόνον ἐπὶ τῆς ἀγενήτου φύσεως αὐτὴν παραλαμβάνεσθαι, ἀλλὰ καὶ ἐπὶ τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ὄντος Λόγου.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Ἐν τῇ πρὸς τὸν Ἰακὼβ εὐλογίᾳ ὁ Ἰσαὰκ φησι μετά τινα καὶ ταῦτα· «Καὶ δουλευσάτωσάν σοι ἔθνη· καὶ προσκυνήσουσίν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσίν σοι υἱοὶ τοῦ πατρός σου.[4]» Τὰ λεγόμενα ὡς πρὸς τὸν Ἰακὼβ οὐ πάνυ τι φαίνεται δύνασθαι ἐπ' αὐτὸν ἀνάγεσθαι, οὐδὲ μὴν ἐπὶ τὸν ἐξ αὐτοῦ γενόμενον λαὸν τὸν ἐκ περιτομῆς· ποῖα γὰρ ἔθνη καὶ τότε ἐδούλευσεν αὐτῷ; ἢ τίνες ἄρχοντες αὐτῷ προσεκύνησαν; ὡς τίνα δὲ καὶ προσεκύνουν; πότε δὲ καὶ ἐκυρίευσε τοῦ ἀδελφοῦ αὐτοῦ; ἢ τίνες οἱ τοῦ πατρὸς αὐτοῦ υἱοὶ οἱ λεγόμενοι προσκυνήσειν αὐτῷ; Καὶ μὴν οὐχ εὑρίσκεταί γε ὁ Ἰσαὰκ ἕτερόν τινα παρὰ τὸν Ἰακὼβ ἐσχηκὼς ἢ μόνον τὸν Ἡσαῦ· πῶς οὖν πληθυντικῶς εἴρηται τό, «Προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου;» Ταῦτα δ' ἐσημειωσάμεθα διὰ τὸ

1. Γεν. 19, 23-24. 2. Β' Τιμ. 1, 16. 3. Β' Τιμ. 1, 18. 4. Γεν. 27, 29.

πολλάκις καὶ Ἰακὼβ τὸν Χριστὸν ἐν ταῖς προφητείαις χρηματίζειν, ὡς ἐν τοῖς οἰκείοις δειχθήσεται τόποις, ὑπονοοῦντες μή πη καὶ ταῦτα δύναται ταῖς περὶ αὐτοῦ μαρτυρίαις ἁρμόζειν. Ὥσπερ γοῦν καὶ τὰ κατὰ τὸν Ἰσαὰκ εἰς τὸν Χριστὸν μετείληφεν ὁ ἱερὸς Ἀπόστολος φήσας· «Τῷ δὲ Ἀβραὰμ ἐδόθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός·[1]» ὅρα εἰ μὴ τὸν αὐτὸν τρόπον καὶ τὰ ἐνταῦθα ὡς περὶ τοῦ Ἰακὼβ εἰρημένα μᾶλλον ἁρμόζοι ἂν τῷ Χριστῷ, ἅπερ εἰ οὕτως ἔχοι ὁ φιλομαθὴς ἑκάστην λέξιν νόμοις ἀλληγορίας ἐξετάσας εἴσεται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

«Ὑπελείφθη δὲ Ἰακὼβ μόνος· καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωΐ.[2]» Εἶτα μετὰ βραχέα εἰπόντος τοῦ Ἰακώβ, «Οὐ μή σε ἀποστείλω ἐὰν μή με εὐλογήσῃς[3]», φησὶν πρὸς αὐτόν· «Τί ὄνομά σοι; Ὁ δὲ εἶπεν, Ἰακώβ. Εἶπεν δὲ αὐτῷ· Οὐκέτι Ἰακὼβ κληθήσεται τὸ ὄνομά σου, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός.[4]» Καὶ αὖθις μετ' ὀλίγα· «Ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου.[5]» Οἷς ἐπιφέρει φάσκουσα ἡ Γραφή, «Ἀνέτειλε δὲ αὐτῷ ἥλιος ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ.[6]» Τῷ μὲν Ἀβραὰμ ἀρχῆθεν ὕπαρ ὁ Κύριος χρηματίζει, καὶ πολλάκις μὲν διαλέγεται, τρὶς δὲ αὐτῷ καὶ ὀφθεὶς ἀναγέγραπται, καὶ οὐκ ἐν νυκτί, ἀλλ' ἐν ἡμέρᾳ μέσῃ ὀφθείς· τὸ γοῦν τρίτον καὶ ἐν αὐτῇ μεσημβρίᾳ αὐτῷ ἐπιξενοῦται· τῷ δὲ Ἰακὼβ πρῶτον μὲν δύναντος ἡλίου ἐν μέσῃ νυκτὶ καθ' ὕπνους φαίνεται κατ' εἴ γὰρ (κατιόντι) εἰς Μεσοποταμίαν, ὅτε ἐν τῷ ὁράματι θεωρήσας τὴν οὐρανοκλίμακα καὶ τοὺς ἀναβαίνοντας καὶ τοὺς καταβαίνοντας ἐν αὐτῇ ἀγγέλους, τὸν δὲ Κύριον ἐπεστηριγμένον ἐπ' αὐτῆς, ἀκούει λέγοντος αὐτῷ τοῦ Κυρίου, «Ἐγὼ Κύριος ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου[7]», καὶ τὰ λοιπά, ἃ καὶ ἀπὸ τῶν ἑξῆς παρίσταται δι' ἀγγέλου αὐτῷ εἰρηκώς· καὶ δεύτερον δὲ ἐν τῇ Μεσοποταμίᾳ, ὅτε ἐπιστὰς αὖθις ὁ διὰ τοῦ τετραγάμμου δηλούμενος Κύριος εἶπεν αὐτῷ· «Ἀποστρέφου εἰς τὴν γῆν τῶν πατέρων σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ.[8]» Καθ' ὕπνον αὐτῷ ταῦτα καὶ δι' ἀγγέλου εἴρηκεν· ὡς δὲ αὐτὸς ὁ Ἰακὼβ διδάσκει ἄνα (ἅμα) γοῦν τῇ φωνῇ τὴν Λείαν καὶ τὴν Ῥαχὴλ ἀνακαλέσας, μεθ' ἕτερα τὸν γενόμενον αὐτῷ χρηματισμὸν ἀνατίθεται αὐταῖς λέγων, «Καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον, Ἰακώβ[9]», καὶ τὰ ἑξῆς, ἐν οἷς φησιν· «Ἐγὼ

1. Γαλ. 3, 16. 2. Γεν. 32, 24. 3. Γεν. 32, 26. 4. Γεν. 32, 27-28. 5. Γεν. 32, 30. 6. Γεν. 32, 31. 7. Γεν. 28, 13. 8. Γεν. 31, 3. 9. Γεν. 31, 11.

εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ· οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου[1]» Μετὰ δὲ ταῦτα ὑποστρέψαντι αὐτῷ ἀπὸ τῆς Μεσοποταμίας πρῶτον μὲν ἤδη πρωΐας οὔσης συνήντησαν οἱ ἄγγελοι τοῦ Θεοῦ, περὶ ὧν καὶ εἶπε· «Παρεμβολὴ Θεοῦ αὕτη·[2]» καὶ εἰκός γε τούτους ἐκείνους εἶναι, οὓς πρότερον ἐπὶ τῆς κλίμακος ἑωράκει· εἶτα δὲ καὶ ἀνατέλλει αὐτῷ ὁ ἀνωτέρω δύνας ἥλιος μετὰ τὴν προεκτεθεῖσαν περικοπήν, ἐν ᾗ φαίνεται παλαίων αὐτῷ καθ' ὕπνους ὁ φήσας πρὸς αὐτόν· «Οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατός.[3]» Μετὰ γοῦν τὴν ὀπτασίαν ἀνέτειλεν αὐτῷ ὁ ἥλιος· ἤδη δὲ προκόψαντι καὶ τελειωθέντι οὐκέτι καθ' ὕπνους, ἀλλ' οὐδὲ ἐν νυκτί, οὐδὲ δι' ἀγγέλου, οὐδὲ μὴν δι' ἀνθρωπίνου εἴδους, ἐν μέσῃ δὲ ἡμέρᾳ καὶ φωτὶ χρηματίζων αὐτῷ ὁ Θεός φησιν· «Ἀναστάς, ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ, καὶ οἴκει ἐκεῖ·[4]» καὶ ἐπὶ τούτοις πᾶσι τότε πρῶτον ἡ θεία Γραφὴ μαρτυρεῖ ὅτι ὤφθη αὐτῷ ὁ Θεὸς ἐν Λουζᾶ, καὶ εὐλόγησεν αὐτὸν λέγων τὰ ἀναγεγραμμένα. Ζητήσομεν δ' ἐπὶ σχολῆς πῶς μετὰ ταῦτα μέλλοντι αὐτῷ κατιέναι εἰς Αἴγυπτον πάλιν ἐν ὁράματι καὶ διὰ νυκτὸς ὁ Θεὸς εἶπεν· «Μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον.[5]» Ταῦτα δὲ ἡμῖν ἀναγκαίως παρατέθειται· δείκνυσιν γὰρ ὅτι μὴ εὐχερῶς μηδ' ἐπὶ τῶν τυχόντων ἀνδρῶν ἡ θεία Γραφὴ τὸν Θεὸν ὦφθαι ἱστορεῖ· οὔτ' οὖν ἐπὶ τοῦ Ἀδάμ, οὔτ' ἐπὶ τοῦ μετατεθέντος Ἐνώχ, ἀλλ' οὐδ' ἐπὶ τοῦ Νῶε, οὐδ' ἐπ' αὐτοῦ Μωϋσέως τετήρηται ὅτι ὤφθη τινὶ τούτων ὁ Θεός, καίτοιγε πολλάκις αὐτοῖς διειλέχθαι ἀναγεγραμμένος· ἀλλ' οὐδ' ἐπὶ ἑνός γε ἄλλου ὁ θεῖος Λόγος τὸν Θεὸν ὦφθαι εἰσάγει, ἢ ἐπὶ μόνου τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ· καὶ ἐπὶ μὲν τοῦ Ἀβραὰμ οὐ κατὰ τὸν πρῶτον αὐτῷ χρηματισμὸν ὤφθη, ἀλλὰ κατὰ τὸν δεύτερον καὶ κατὰ τὸν πέμπτον καὶ ἕκτον· ἐπὶ δὲ τοῦ Ἰακὼβ μετὰ τὰ ἀναγεγραμμένα πάντα· τῷ γὰρ Ἰσαὰκ δὶς μόνος χρηματίσας ὁ Κύριος τὸ δὶς ὦφθαι αὐτῷ ἀναγέγραπται, εἰ καὶ τὸ δεύτερον ἐν νυκτί. Πρόδηλον δὲ ἀπὸ τῶν κατὰ τὸν Ἀβραὰμ προειρημένων ἡμῖν, ὅτι μὴ ἐπὶ τὸ πρῶτον αἴτιον ἀναφέρειν χρὴ τὰς ὀπτασίας, ἀλλ' ἐπὶ τὸν θεῖον Λόγον, ὃν οὐδὲ αὐτὸν (αὐτοί) πω χωρεῖν οἷοί τε ἦσαν οἱ μακάριοι καὶ θεῖοι ἄνδρες· τούτοις γοῦν αὐτοῖς, οἷς καὶ ὦφθαι προείρηται, μετὰ πλείστας προγυμνασίας ἑωρᾶτο. Τίς δὴ (ἂν) οὖν ἄλλος εἴη καὶ ὁ κατὰ τὴν προκειμένην περικοπὴν συμπαλαίων καὶ συναγωνιζόμενος καὶ ὡσπερεὶ συμμαχῶν τῷ Ἰακώβ, ἢ ὁ πολυμερῶς καὶ πολυτρόπως τοῖς πατράσι λαλήσας[6] ὁ ἱερὸς τοῦ Θεοῦ Λόγος, μόνος μετὰ τὸν Πατέρα Κύριος καὶ Θεὸς χρηματίζων, ὃς

1. Γεν. 31, 13. 2. Γεν. 32, 2. 3. Γεν. 32, 28. 4. Γεν. 35, 1. 5. Γεν. 46, 3. 6. Πρβλ. Ἑβρ. 1, 1.

εὐλογήσας τὸν Ἰακὼβ Ἰσραὴλ αὐτὸν ὠνόμασεν, ἐπειπών, ὅτι «Ἐνίσχυσας μετὰ Θεοῦ;» Οὕτως δὲ ἑώρων οἱ θεῖοι ἄνδρες τὸν τοῦ Θεοῦ Λόγον, ὡς καὶ οἱ φήσαντες τοῦ Σωτῆρος ἡμῶν ἀπόστολοι· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ Λόγου τῆς ζωῆς·[1]» ὃν Λόγον καὶ ζωὴν θεασάμενος ὁ Ἰακὼβ ἐπιφέρει λέγων· «Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ ἐσώθη μου ἡ ψυχή.[2]»

ΚΕΦΑΛΑΙΟΝ Η'.

«Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ· καὶ αὐτὸς προσδοκία ἐθνῶν[3]», καὶ τὰ ἑξῆς. Ὡς ἁγίου Πνεύματος τὸν λόγον ἀκουστέον τοῦ Ἰακὼβ τὰ περὶ τοῦ Χριστοῦ προθεσπίζοντος καὶ εἰς πρόσωπον ἀναφωνοῦντος αὐτοῦ τὰ ἀπὸ τοῦ, «Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου·» ὅτι γὰρ οὐ πρὸς τὸν ἕνα τῶν υἱῶν τοὺς λόγους ὁ πατριάρχης ἐποιεῖτο δῆλον τοῖς ἐπιστήσασι τῇ Γραφῇ διηγηματικῶς φασκούσῃ· «Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν· Συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν.[4]» Οὐκοῦν περὶ μελλόντων προφητεύσειν αὐτοῖς ἐπαγγέλλεται. Σαφὲς δὲ καὶ ἄλλως ὅτι μὴ πρὸς τὸν πατριάρχην Ἰούδαν αἱ τῆς προφητείας ἁρμόττουσι φωναί· πότε γὰρ ἐκεῖνον ἢ καὶ διά τι προσεκύνησαν οἱ ἀδελφοὶ αὐτοῦ, ἐπὶ τίνι δὲ κατορθώματι ἢ καὶ πότε ἤνεσαν αὐτόν; Πῶς δ' ἄν τις καὶ τὰ λοιπὰ τῆς προφητείας ἐπ' ἐκεῖνον ἁρμόζων διηγήσεται; Ἀλλ' οὐδὲ ἐπὶ τὴν φυλὴν εὐλογίστως τις αὐτὰ ἀναφέροι, ὅτι μὴ μόνον ἐκ τῆς Ἰούδα φυλῆς ἄρχοντες κατέστησαν τοῦ λαοῦ· οἵ τε γὰρ μετὰ Μωϋσέα Κριταὶ ἐκ διαφόρων γενόμενοι φυλῶν διήρκεσαν ἡγούμενοι ἐπὶ ἔτεσιν ἐγγύς που πεντακοσίοις, μεθ' οὓς ἐκ φυλῆς Βενιαμὶν πρῶτος ἁπάντων βασιλεύει Σαούλ, καὶ οὕτως μετὰ τούτους οἱ ἐκ φυλῆς Ἰούδα βασιλεύουσιν οὐδ' ὅλοις ἔτεσι πεντακοσίοις· εἶτα μετὰ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν οἱ ἐκ φυλῆς Λευῒ προέστησαν τῶν πραγμάτων ὑπὲρ τὰ πεντακόσια ἔτη μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας. Τί οὖν μᾶλλον περὶ τῆς Ἰούδα φυλῆς τὰ προειρημένα φησὶν ἡ προφητεία, οὐχὶ δὲ καὶ περὶ τῶν λοιπῶν; Οὐκ ἄρα οὐδὲ ἐπὶ τὴν φυλὴν ἁρμόζοι τὰ δηλούμενα· τὸν μέντοι γε ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν ἀναφανέντα Ἰούδαν ἀληθινὸν ἴσμεν τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ ταμίαν τῶν περὶ αὐτοῦ ἐπινοιῶν καὶ Ἰούδαν ὀνομασθέν-

1. Α' Ἰω. 1, 1. 2. Γεν. 32, 30. 3. Γεν. 49, 8-10. 4. Γεν. 49, 1.

τα· ὥσπερ δὴ καθ' ἑτέραν Ἰσραήλ, καὶ κατ' ἄλλην Ἰακώβ, καὶ Δαυΐδ, καὶ ἄλλοτε ἄλλως· τοῦτον δὲ καὶ οἱ ἱεροὶ ἀπόστολοι, καὶ πάντες ὅσοι τοῦ πνεύματος τῆς υἱοθεσίας ἠξιώθησαν, ᾔνεσάν τε καὶ προσεκύνησαν· «Αἱ χεῖρές τε αὐτοῦ», ἃς συμβολικῶς ἡγούμεθα εἶναι τὰς πράξεις, «κατὰ νώτου τῶν ἐχθρῶν αὐτοῦ», τοῦτ' ἔστιν τῶν νοητῶν πολεμίων φευγόντων αὐτὸν γεγόνασιν· οὗτος δὲ καὶ ὡς «σκύμνος λέοντος» εἴρηται, εἴτε διὰ τὴν κατὰ σάρκα γένεσιν ἐκ βασιλικῆς φυλῆς, καὶ τῆς τοῦ Δαυΐδ ῥίζης, «καὶ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γεγενημένην·[1]» εἴτε διὰ τὴν θεότητα, ἧς ἑαυτὸν κενώσας ἐνηνθρώπισεν, δι' ἣν εὐκαίρως καὶ τό, «Ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης», ὑπὸ τοῦ Ἰακὼβ ἀναπεφώνηται. Ὅτε μὲν οὖν τὴν ἐκ βλαστοῦ καὶ ἐκ ῥίζης αὐτοῦ γένεσιν ἐδήλου τοῦ Σωτῆρος, «σκύμνον λέοντος» αὐτὸν ὠνόμασεν, εἰπών, «Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης·» ὅτε δὲ τὴν ἀνάβλησιν καὶ τὴν κατὰ τὸ πάθος αὐτοῦ κοίμησιν προφητεύει, ἀμφότερα αὐτόν φησι καὶ ὡς λέοντα καὶ ὡς σκύμνον ἐν τῷ, «Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμνος·» τότε γὰρ οὐ μόνον ὡς ἐκ βασιλικοῦ τυγχάνων γένους, ἀλλὰ καὶ ὡς αὐτὸς βασιλεὺς ὢν ἀνύψωτο· ὁμολογούντων αὐτὸν τῶν ἐθνῶν, εἰ καὶ μὴ οἱ ἐκ περιτομῆς ἤθελον, ὡς ἄρα αὐτὸς εἴη ὁ βασιλεὺς τοῦ Ἰσραήλ· καὶ ἄλλως δὲ ῥηθείη ἄν, ἐπειδὴ πρὸς ἀντικειμένας δυνάμεις αἰρομένῳ πόλεμον καὶ καταλύειν μέλλοντι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον[2], ἔδει παρεῖναι τῷ ἐκ βλαστοῦ Ἰακὼβ κατὰ σάρκα γεγενημένῳ τὴν θεότητα τοῦ Λόγου· εἰκότως λέοντι μὲν ἡ θεότης παραβέβληται διὰ τὸ κεχειρῶσθαι καὶ νενικηκέναι πάσας τὰς ἀγρίας καὶ ἀτιθάσους δυνάμεις· σκύμνῳ δὲ λέοντος, ὃ ἀνειλήφει σαρκίον ἐκ τῆς τοῦ Ἰούδα βασιλικῆς τυγχάνων φυλῆς· ἀλλὰ καὶ εἴπερ ὁ ἀντίδικος ἡμῶν διάβολος ὡς λέων ἐστὶν ὠρυόμενος[3], ὅρα μὴ τούτου σκύμνος πᾶς ἂν λεχθείη ἁμαρτωλός, ἐπεὶ «πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγέννηται.[4]» Ἐπεὶ οὖν καὶ ὁ Σωτὴρ «ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐλήλυθε[5]», καί· «Γέγονεν ὑπὲρ ἡμῶν κατάρα·» καί· «Μὴ γνόντα αὐτὸν ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν·[6]» ὅρα μὴ τούτων ἕνεκεν κατά τινα βαθύτερον λόγον οὔτε λέοντα οὔτε σκύμνον, ἀλλ' ὡς λέοντα καὶ σκύμνον γεγονέναι αὐτὸν παρὰ τὸν τοῦ πάθους καιρὸν ἡ προφητεία θεσπίζει· ἐπεὶ καὶ αὐτὸς τὸ ἑαυτοῦ πάθος τῷ τοῦ ὄφεως παραβάλλει λέγων· «Ὥσπερ Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου.[7]» Ἐπὶ τούτοις σεσιωπημένως τὸ κατὰ τὴν ἀνάστασιν αὐτοῦ μυστήριον ὑπαινίττεται διὰ τοῦ, «Τίς ἐγερεῖ αὐτόν;» Σαφὲς δ' ἡμῖν ἐκ τοῦ συμπεράσματος γέγονε τίς ἤγειρεν Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν· δῆλον γὰρ ὅτι ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ.

---

1. Ῥωμ. 8, 3. 2. Ἑβρ. 2, 14. 3. Α' Πέτρ. 5, 8. 4. Α' Ἰω. 3, 8. 5. Ῥωμ. 8, 3. 6. Β' Κορ. 5, 21. 7. Ἰω. 3, 14.

Ἑξῆς δὲ λέγεται τὰ ἀπὸ τοῦ· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ·» ἅπερ εἰ μὲν ἐξ ἑτέρας ἀναγινώσκοιμεν ἀρχῆς, λέγοιτο ἂν ὡς περὶ ἁπάντων τῶν ἐκ τοῦ Ἰουδαίων γένους καθηγησαμένων τοῦ λαοῦ, καὶ εἴη ἂν κατ' αὐτὴν τὴν διάνοιαν ὁ τῶν προκειμένων ῥητῶν νοῦς τοιόσδε τις· οὐ πρότερον παύσονται οἱ ἐξ Ἰουδαίων ἄρχοντες καὶ ἡγούμενοι ἐπὶ τὸν Ἰουδαίων λαὸν καθιστάμενοι, ἕως ἂν ἔλθῃ ὁ τῆς τῶν ἐθνῶν προσδοκίας αἴτιος, τοῦτ' ἔστιν ὁ Χριστός, οὗ παραγενομένου ἐκλείψειν ἀνάγκη τοὺς προειρημένους. Τούτων δ' οὕτως ἐχόντων, ἐπισκεψώμεθα τοὺς καθ' ἡμᾶς χρόνους, εἴγε νῦν βασιλεῖς καὶ ἡγουμένους ἔστιν εὑρεῖν. Ἀλλὰ γὰρ πᾶσι πρόδηλον ὡς μετὰ τῶν λοιπῶν καὶ τὸ Ἰουδαίων ἔθνος τοῖς κατεπαρχιῶν (κατ' ἐπαρχίας) Ῥωμαίων ἡγεμόσιν ὑποτέτακται, μηδενὸς αὐτῶν τὴν τοῦ ἄρχειν ἐξουσίαν ἐπιτετραμμένου. Καὶ τοῦτό γε ἀπὸ τῶν χρόνων τῆς τοῦ Σωτῆρος ἡμῶν γενέσεως ἤρξατο· μέχρι γοῦν Ἡρώδου βασιλέως Ἑβραίους ἐξ Ἑβραίων τοῦ παντὸς αὐτῶν ἔθνους ἄρξαντας ἐν ταῖς ἱστορίαις εὑρίσκομεν, ἐξ αὐτοῦ Μωϋσέως κατὰ διαδοχὴν ἡγησαμένων πρῶτον μὲν τῶν λεγομένων Κριτῶν, εἶθ' ἑξῆς τῶν βασιλέων μέχρι τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, μεθ' ἣν οἱ ἀρχιερεῖς τὴν ἀρχὴν διαδεξάμενοι ἐπὶ τὴν Αὐγούστου διήρκεσαν βασιλείαν· καθ' ὃν Ἡρώδου πρώτου τὸ γένος ἀλλοφύλων (λου) τὴν κατ' αὐτῶν βασιλείαν ὑπὸ Ῥωμαίων ἐγχειρισθέντος ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐγεννήθη. Ἤδη τοίνυν ἐξ ἐκείνου καὶ μέχρι τοῦ παρόντος χρόνου σαφῶς ἐκλελοιπὼς ἄρχων τε καὶ ἡγούμενος ἐν Ἰουδαίοις ἀποδείκνυται· δῆλον ὡς ἐλήλυθεν ὁ πεπροφητευμένος Σωτὴρ ἡμῶν, οὗ ἀπὸ τῶν χρόνων οὐ μόνον οἱ Ἰουδαίων ἐπιλελοίπασιν ἄρχοντες, ἀλλὰ καὶ πᾶσα ἡ πρὸς αὐτῶν ἐν Ἱερουσαλὴμ ἀποτελουμένη κατὰ τὸν Μωϋσέως νόμον λατρεία. Σαφῶς δὲ καὶ ἡ προσδοκία τῶν δι' αὐτοῦ καταπεφευγότων ἐπὶ τὸν τῶν ὅλων Θεὸν ἐθνῶν ἔργῳ πληροῦσθαι ἤρξατο ἀπὸ τῶν τῆς παρουσίας αὐτοῦ χρόνων, κατὰ τὴν τοῦ Ἰακὼβ προφητείαν.

Καὶ ταῦτα μὲν εἰ ὡς ἀπὸ ἰδίας ἀρχῆς ἀναγινώσκοιμεν τὰ ἀπὸ τοῦ· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα·» εἰ δ' ὡς ἀκόλουθον τῇ πρὸ αὐτῆς διανοίᾳ καὶ τὴν μετὰ χεῖρας συνάπτομεν, ἑξῆς ἂν εἴη, τοῦ Χριστοῦ Ἰούδα νενοημένου κατὰ τὰ προαποδεδομένα, τό, «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα», ἐπὶ τοὺς μετὰ τὸν Χριστὸν ἄρχοντας καὶ ἡγουμένους τῆς Ἐκκλησίας ἐκλαμβάνειν, οὓς ἡ προφητεία φησὶν μὴ ἐκλείψειν «ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ·» ὡς εἰ σαφέστερον ἔλεγεν, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ τῆς συντελείας ἐπιστάσης, κομίσηται τὴν κατὰ τῶν ὅλων βασιλείαν. Ὅτι δὲ καὶ ἡγουμένους τοὺς τοῦ Χριστοῦ μαθητὰς τὸ θεῖον ἀποκαλεῖ Πνεῦμα σαφές ἐστιν ἐκ τοῦ λέγεσθαι περὶ τοῦ Ἰούδα· «Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμὼν μου καὶ γνωστέ μου.[1]» Καὶ τούτοις δὲ χρὴ προσέχοντας τοὺς ὡς

1. Ψαλμ. 54, 14.

θείοις καὶ ἀληθέσι τοῖς ἱεροῖς λόγοις πεπιστευκότας μηδαμῶς θροεῖσθαι, μηδὲ μὴν σείεσθαι τὴν πίστιν ὑπὸ τῶν κατὰ καιροὺς διωγμῶν, καὶ μάλιστα τοῦ ἐνεστῶτος ὑπὲρ τοὺς πώποτε σφοδρότατα καθ' ἡμῶν πνεύσαντος, καὶ τοιαῦτα ἐπιδειξαμένου κατά τε τῶν Ἐκκλησιῶν καὶ παντὸς τοῦ λαοῦ, ὁποῖα οὔτε ἀπὸ γραφῆς οὔτε μὴν ἐκ παραδόσεως ἀρχαίων τις ἐμνημόνευσεν. Ταῦτα δέ φαμεν, ἐπεὶ τάχα δόξειεν ἄντικρυς κατὰ τὸν ἐνεστῶτα διωγμὸν τἀναντία συμβεβηκέναι τοῖς εἰρημένοις, διὰ τὸ μηδὲ ἄθροισμα νῦν συνεστάναι δοκεῖν, μήτε τὸν κανόνα τῶν τῆς Ἐκκλησίας ἀρχόντων. Ἀψευδοῦς τοιγάρτοι τυγχανούσης τῆς θεοπνεύστου Γραφῆς, πεπεῖσθαι χρὴ ὅτι μὴ πάντως ἐξέλειπον οἱ προειρημένοι, εἰ καὶ δοκοῖέν τισιν ἐκλελοιπέναι· ὁ γὰρ εἰπὼν τῷ Προφήτῃ Θεός, «Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ[1]», ὑπειληφότι μόνον αὐτὸν περιλελεῖφθαι τῶν λοιπῶν ἀνῃρημένων, ὁ αὐτὸς καὶ νῦν τοὺς ἀξίους τῆς αὐτοῦ προνοίας ἐφορᾷ, «λεῖμμα κατ' ἐκλογὴν χάριτος[2]» καὶ ἡμῖν διαφυλάττων τοὺς πρὸς αὐτοῦ φρουρουμένους, καὶ πρὸς αὐτοῦ μόνου θεωρουμένους, περὶ ὧν εἴποιμεν ἂν καὶ αὐτοὶ τό, «Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.[3]» Τὸ γάρτοι εἰς τὸ παντελὲς ἐκλελοιπέναι νομίζειν τοὺς τοῦ λόγου προεστῶτας, ἄρχοντας καὶ ἡγουμένους ὑπὸ τῆς προφητείας ὠνομασμένους, ἕν τι τῶν ἀμηχάνων τυγχάνει, διὰ τὸ καὶ ὅρον τεθεῖσθαι τοῦ «μὴ ἐκλείψειν ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ·» τοῦτ' ἔστι τὰ ὑπὸ τοῦ Πατρὸς ἐπηγγελμένα τῷ Χριστῷ, φήσαντι(τος) πρὸς αὐτόν, «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·[4]» ὅτε καί· «Πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστός·[5]» τηνικαῦτα γὰρ καὶ τῶν ἐθνῶν προσδοκία τῶν ἐπὶ τοῦ παρόντος εἰς αὐτὸν πεπιστευκότων καιρὸν ἕξει τὰς προσδοκηθείσας ἐπαγγελίας κομίσασθαι ἐν τῇ προσδοκωμένῃ τῶν οὐρανῶν βασιλείᾳ. Καὶ ταῦτα μὲν ταύτῃ· τὰ δ' ἑξῆς ἀπὸ τοῦ, «Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ», τῆς δι' ἀλληγορίας ὑπονοίας ἠρτημένα τοῖς φιλομαθέσι ζητεῖν καταλείψομεν, πλεονάσαντες καὶ ἐν τοῖς εἰρημένοις, οὐ κατὰ τὸν προτεθέντα μὲν σκοπόν, ὅμως δ' ἐξ ἀνάγκης ὑπὲρ σαφοῦς διηγήσεως τῶν κατὰ τὸν τόπον.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἀπὸ τῆς Ἐξόδου.

«Καὶ Μωϋσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὸρ τοῦ γαμβροῦ αὐτοῦ.» Καὶ μετ' ὀλίγα· «Καὶ ἦλθεν εἰς τὸ ὄρος τοῦ Θεοῦ

1. Ῥωμ. 11, 4. 2. Ῥωμ. 11, 5. 3. Ἡσ. 1, 9. 4. Ψαλμ. 109, 1. Πράξ. 2, 35. 5. Φιλιπ. 2, 10-11.

Χωρήβ·[1] ὤφθη δὲ ἄγγελος Κυρίου αὐτῷ ἐν φλογὶ πυρός.[2]» Καὶ μεθ' ἕτερα· «Ὡς δὲ εἶδεν Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ μέσου τοῦ βάτου λέγων.[3]» Καὶ αὖθις· «Εἶπεν δὲ Κύριος πρὸς αὐτόν· Ἐγώ εἰμι ὁ ὤν.[4]» Καὶ μετὰ πλεῖστα· «Ἐλάλησεν δὲ ὁ Θεὸς πρὸς Μωϋσῆν· καὶ εἶπεν πρὸς αὐτόν· Ἐγὼ Κύριος, καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς· καὶ ἔστησα τὴν Διαθήκην μου πρὸς αὐτούς[5]», καὶ τὰ ἑξῆς. Σφόδρα παρατετηρημένως ἐν τούτοις οὐχ ὁ Κύριος ἀλλ' ὁ ἄγγελος ὤφθαι τῷ Μωϋσεῖ ἀναγέγραπται, δι' οὗ καὶ ὁ Κύριος ὥσπερ δι' ἑρμηνέως χρηματίζων διδάσκει, ὅτι μὴ εἴη ὑποβεβηκυῖά τις δύναμις ἡ χρηματίζουσα, ἀλλ' αὐτὸς ὁ ὤν. Σαφέστερον δὲ τίς ἐστιν ὁ ὢν παριστᾷ ἐν τῷ φησιν· «Ἐγὼ Κύριος· καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Θεὸς ὢν αὐτῶν· καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς·» ὃ καὶ τοιοῦτον δοκεῖ μοι νοῦν περιέχειν· Σοὶ μὲν τὸ ὄνομά μου τέως αὐτὸ μόνον δηλῶν φημι· Ἐγὼ Κύριος· τοῖς δὲ σοῖς πατράσι τὸ μὲν ὄνομά μου οὐκ ἐδήλωσα, καὶ μείζονος γὰρ ἄξιοι τῆς τοιαύτης γνώσεως ἐτύγχανον ὄντες· αὐτὸς δὲ ὤφθην αὐτοῖς καὶ δι' ἑαυτοῦ (ἐμαυτοῦ) τὴν Διαθήκην μου πρὸς αὐτοὺς ἔστησα. Πρόδηλον δὲ ἐκ τῶν προαποδεδομένων τίς ἦν ὁ τοῖς πατράσιν ὀφθείς· τοῦτον γὰρ ἐξεταζόμενος τὸν τρόπον ὁ λόγος πρὸς τὸν «ἐν ἀρχῇ πρὸς τὸν Θεόν, Θεὸν Λόγον[6]» ὑπάρχειν ἀπεδείκνυεν. Οὐκοῦν ὁ αὐτὸς καὶ νῦν ἐπιφαίνεται, ἀλλ' οὐχ ὁμοίως γε τοῖς προπάτορσιν· ἐκείνοις γὰρ ἅτε μείζοσι καὶ τελειοτέροις αὐτὸς ὤφθη, καὶ δι' ἑαυτοῦ τὴν Διαθήκην αὐτοῦ πρὸς αὐτοὺς ἔστησεν· ἐπὶ δὲ τοῦ Μωϋσέως ὤφθη μὲν οὐχ ὁ Κύριος, ἀλλ' ὁ ἄγγελος· ἐκάλεσε δὲ αὐτὸν οὐκέτι ὁ ἄγγελος, ἀλλ' ὁ Κύριος· Κύριος μὲν γὰρ ἦν ὁ διαταττόμενος· ἄγγελος δὲ ὁ τοὺς θείους λόγους διακονούμενος· ὅθεν εἰ καί τι ἄλλο θαυμασίως ἐκπεφώνηται τῷ ἱερῷ Ἀποστόλῳ, καὶ τό, «Ὁ μόνος διαταγῆς (γεὶς δι') ἀγγέλων ἐν χειρὶ μεσίτου·[7]» καὶ τό· «Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος.[8]» Σαφῶς γοῦν ἄγγελος εἰσῆκται καὶ ὁ Κύριος δι' αὐτοῦ χρηματίζων, καὶ οὐδὲ ἅπαξ ἂν εὕροις δι' ὅλης τῆς νομοθεσίας τὴν Γραφὴν σημειουμένην ὡς ὅτι δὴ ὤφθη ὁ Θεὸς ἢ ὁ Κύριος τῷ Μωϋσεῖ, ὅπερ ἐπὶ μόνων τῶν τριῶν πατριαρχῶν εἰρημένον ἐμφαίνεται· ὡς ἐκ τούτων σαφὲς εἶναι, τὴν πᾶσαν νομοθεσίαν τοῖς κατὰ τὸν τότε λαόν, οἷα δὴ νηπίοις τὰς ψυχὰς καὶ εἰσαγομένοις, διδομένην ὥσπερ διὰ παιδαγωγῶν καὶ οἰκονόμων παραδεδόσθαι, τυπικῶς τε αὐτοῖς καὶ εἰκονικῶς τὰ θεῖα διὰ συμβόλων ἠνίχθαι, τῷ μὴ τὴν μυστικωτέραν καὶ πνευματικὴν οἷόν τε αὐτοὺς ἐπιδέξασθαι διδασκαλίαν, ἅτε γοῦν παισὶ τρόποις Αἰγυπτίοις ἐκδιῃτημένοις, καὶ πολλῆς ἔτι χρῄζουσιν ἐπιστρεφείας, πῦρ εἶναι ὁ

1. Ἔξ. 3, 1. 2. Ἔξ. 3, 2. 3. Ἔξ. 3, 4. 4. Ἔξ. 3, 14. 5. Ἔξ. 6, 2-4. 6. Ἰω. 1, 1. 7. Γαλ. 3, 19. 8. Ἑβρ. 2, 2.

Θεός, κατὰ τό· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον[1]», ὅπερ οὐδαμῶς ἐπὶ τῶν πατριαρχῶν εἴρηται. Ἀλλὰ καὶ ὅτε προστάττει ἁγνίσασθαι αὐτοὺς ὅπως ἴδωσι τὴν δόξαν Κυρίου, οὐχ ὥσπερ ἐπὶ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ ἁπλῶς εἴρηται ὅτι ὤφθη αὐτοῖς ὁ Θεός, μετὰ πολλῆς δὲ καταπλήξεως καὶ φαντασίας αὐτὰ δὴ ταῦτα ἀναγέγραπται· «Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπὶ τοῦ ὄρους, καὶ φωνὴ τῆς σάλπιγγος ἤχει μέγα, καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ἐν τῇ παρεμβολῇ· καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς τὴν συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος (Σινά· τὸ ὄρος) Σινὰ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτοῦ τὸν Θεὸν ἐν πυρί· καὶ ἀνέβαινεν ὁ καπνὸς αὐτοῦ ὡσεὶ καπνὸς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα· ἐγίνοντο δὲ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ, κατέβη δὲ Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἐκάλεσε Κύριος Μωϋσῆν[2]», καὶ τὰ ἑξῆς. Ὅτι μὲν οὖν κατέβη Κύριος διὰ τούτων μεμαρτύρηται· ὅτι δὲ καὶ ὤφθη οὐκέτι εἴρηται, ὃ ἐπὶ μόνων τῶν πατριαρχῶν τετήρηται. Οὐκοῦν παρουσία μὲν ἐγεγόνει τοῦ Κυρίου· ὀπτασία δὲ οὐκ αὐτοῦ, ἀλλὰ δῆλον ὅτι τῶν ἀμφ' αὐτὸν δορυφόρων ἀγγέλων, δι' ὧν χρησίμως τῷ λαῷ φοβερὰν καὶ καταπληκτικὴν ἐποιήσατο τὴν ὀπτασίαν, εὐλάβειαν ὁμοῦ καὶ φόβον καὶ πίστιν τὴν εἰς αὐτὸν κρατῦναι ἐν αὐτοῖς προμηθούμενος εἰς φυλακὴν καὶ τήρησιν τῶν μελλόντων αὐτοῖς παραδίδοσθαι νόμων. Καὶ ὅτι γε πλείους ἐτύγχανον οἱ τῷ Κυρίῳ κατὰ τὴν νομοθεσίαν διακονούμενοι ἄγγελοι, αὐτὸς Μωϋσῆς ἐν ταῖς εὐλογίαις παρίστησι λέγων· «Κύριος ἐκ Σινὰ ἥκει, καὶ ἐπέφανεν ἐκ Σεὶρ ἡμῖν, καὶ κατέσπευσεν ἐξ ὄρους Φαρὰν σὺν μυριάσιν Κάδης, ἐκ δεξιῶν αὐτοῦ ἄγγελοι μετ' αὐτοῦ[3]», καὶ τὰ ἑξῆς· δι' ὃ καὶ ὁ Στέφανος ἐν ταῖς Πράξεσιν ὡς πρὸς τὸν λαὸν ἀποτεινόμενός φησιν· «Οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.[4]»

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἀπὸ τῆς Ἐξόδου.

«Ἐξῆρεν δὲ ὁ ἄγγελος τοῦ Θεοῦ ὁ προπορευόμενος τῶν υἱῶν Ἰσραήλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν αὐτῶν· ἐξῆρεν δὲ καὶ ὁ στῦλος τῆς νεφέλης πρὸ προσώπου αὐτῶν· καὶ ἐπορεύθη καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν, καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραήλ.[5]» Εἶτ' ἐν τοῖς ἑξῆς ἡ θεία διδάσκει Γραφή, τί ποτε ἦν ἡ νεφέλη φάσκουσα·

1. Δευτ. 4, 24. 2. Ἔξ. 18, 16-20. 3. Δευτ. 33, 2. 4. Πράξ. 7, 53.
5. Ἔξ. 14, 19-20.

«Εἶπεν δὲ Κύριος πρὸς Μωϋσῆν· Ἰδοὺ ἐγὼ παραγίνομαι πρὸς σὲ ἐν ἐκ (στύλῳ) τῆς νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σέ, καί σοι πιστεύσωσιν·[1]» καὶ πάλιν· «Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν ἡμέρας ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν· τὴν δὲ νύκτα, ἐν στύλῳ πυρὸς τοῦ φαίνειν αὐτοῖς·[2]» καὶ αὖθις· «Καὶ κατέβη Κύριος ἐν στύλῳ νεφέλης.[3]» Οὐκοῦν διὰ τούτων ἕτερος ἦν σαφῶς τῆς νεφέλης ὁ προπορευόμενος τῶν υἱῶν Ἰσραὴλ ἄγγελος, καὶ ἡ νεφέλη δὲ ἄλλη μέν τις ἐτύγχανεν παρ' αὐτὸν ἄγγελον, τοῦ δὲ Κυρίου αὐτοῦ σωματικὸν ὥσπερ ὄργανον ἦν· δι' οὗ, τὴν φύσιν ὢν αὐτὸς ἀσώματος, καὶ πάσης ἐπέκεινα αἰσθητῆς καὶ ὑλικῆς οὐσίας, δι' αἰσθητῆς φωνῆς τῆς ἰδίας ἠξίου ὁμιλίας τὸν θεράποντα· καὶ τῆς τοιαύτης τε οἰκονομίας αὐτὸς ὁ Κύριος τὸν λόγον ἀποδιδοὺς τῷ Μωϋσεῖ φησιν· «Ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σέ, καί σοι πιστεύσωσιν·[4]» ἀλλ' ἐπὶ μὲν τοῦ λαοῦ, οἷα σωματικωτέρου τυγχάνοντος, δι' αἰσθητῆς φωνῆς ὁμιλεῖ, ἐπὶ δὲ τῶν πατριαρχῶν, οὔτε νεφέλης οὔτε στύλου πυρὸς δεομένων, ἕτερος ἐγίγνετο τῆς τε ὀπτασίας καὶ τῆς πρὸς αὐτοὺς ὁμιλίας ὁ τρόπος. Καὶ ὅτι γε οὐκ ἦν ἀγγελική τις δύναμις ἡ διὰ τῆς νεφέλης χρηματίζουσα, ἀλλ' αὐτὸς ὁ Θεός, πρὸς τοῖς προαποδεδειγμένοις δηλοῦται καὶ διὰ τῆς οὕτως ἐχούσης Γραφῆς· «Εἶπεν δὲ Κύριος πρὸς Μωϋσῆν· Βάδιζε καὶ ὁδήγησον τὸν λαὸν εἰς τὸν τόπον ὃν εἴρηκά σοι· ἰδοὺ ὁ ἄγγελός μου προπορεύσεται πρὸ προσώπου σου.[5]» Καὶ πάλιν· «Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· Πορεύου καὶ ἀνάβηθι ἐντεῦθεν, σὺ καὶ ὁ λαός[6]», καὶ τὰ ἑξῆς· καὶ συναποστελῶ πρὸ προσώπου σου τὸν ἄγγελόν μου. Ταῦτα γὰρ ἀγγέλῳ μὲν οὐδαμῶς λέγειν ἁρμόττει, Θεῷ δὲ μόνῳ, καὶ τῷ καθ' ὅλην τὴν ἱστορίαν διὰ τοῦ τετραγράμμου δηλουμένῳ Κυρίῳ. Ἆρ' οὖν ὁ τῶν ὅλων ποιητὴς καὶ Θεὸς τῶν ἁπάντων εἰς τοσοῦτον κατῄει, ὡς ἐπὶ σωματικοῦ ὄρους ὀχεῖσθαι, καὶ παιδαγωγοῦ δίκην συμβαδίζειν ἀνθρώποις ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν; ἢ τοῦτο μὲν οὔτε δυνατόν, οὐθ' ὅσιον ἐννοεῖν, εὐσεβέστερον δὲ ἅμα καὶ δυνατὸν τὸν θεῖον ὑπολαμβάνειν Λόγον, διάκονον ὄντα τοῦ πατρικοῦ βουλήματος, ἐπείπερ αὐτοῦ Κυρίου ὄντος «ἐγενήθη μερὶς Ἰακὼβ καὶ σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ[7]», οἷα ὑπὲρ μερίδος καὶ κληρονομίας φροντίζειν, κενοῦντά τε ἑαυτὸν καὶ τοῦ συμφυοῦς μεγέθους σμικρύνοντα τῇ τῶν ἀνθρώπων καὶ πρὸ τῆς ἐνανθρωπήσεως συμπεριφέρεσθαι σωτηρίᾳ; Εἰ γοῦν εὐγνωμόνως ἐπιστήσαιμεν, εὕροιμεν αὐτὸν ποτὲ μὲν εἰς ἴδιον πρόσωπον ἀναφέροντα τὰς παρακελεύσεις, ὡς ὅταν λέγῃ· «Οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός·[8] καὶ θυσιαστήριον ἐκ γῆς ποιήσεταί μοι· καὶ ἥξω πρὸς σὲ καὶ εὐλογήσω σε·[9]» ποτὲ δὲ ὡς περὶ ἑτέ-

---

1. Ἔξ. 19, 9. 2. Ἔξ. 13, 21. 3. Ἔξ. 19, 9. 4. Ἔξ. 19, 9. 5. Ἔξ. 32, 33-34. 6. Ἔξ. 33, 1. 7. Δευτ. 32, 9. 8. Ἔξ. 23, 15. 9. Ἔξ. 20, 24.

ρου Κυρίου, τοῦ Θεοῦ δηλαδὴ καὶ Πατρὸς αὐτοῦ, διαλεγόμενον, ὡς ἐπὶ τῆς Δεκαλόγου ὅταν φάσκῃ· «Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ σου· καὶ γὰρ ἐν ἓξ ἡμέραις ἐποίησεν Κύριος τόν τε οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην·[1]» καὶ αὖθις· «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσίν σοι.[2]» Ταῦτα γὰρ οὐ δι' ἀγγέλου, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ὁ Κύριος πεπιστευμένως ἐν τοῖς δεκαλόγοις εἰρηκέναι πῶς οὐκ ἂν γένοιτο πρόδηλος, παιδεύων τὸν λαὸν τὰ περὶ τῆς εἰς τὸν ἀνωτάτω Πατέρα ἑαυτοῦ καὶ Θεὸν τῶν ὅλων εὐσεβείας;

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

«Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι. Πρόσεχε αὐτῷ καὶ εἰσάκουε αὐτοῦ, μὴ ἀπείθει ἐν αὐτῷ, οὐ γὰρ μὴ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ.[3]» Ταῦτα μετὰ τῶν λοιπῶν δικαιωμάτων ὁ Κύριος τῷ λαῷ διαστέλλεται. Εἰ μὲν οὖν μετὰ τὴν Μωϋσέως τελευτὴν μὴ ὁ αὐτὸς Κύριος ὁ ἐπὶ τῆς ἐρήμου χρηματίζων συμπαρῆν τῷ λαῷ, ἀλλ' ἀγγέλων τις αὐτῶν προηγεῖτο, οὐδὲν ἂν εἰς τοὺς τόπους ζητούμενον ἦν· ἐπεὶ δὲ ἐκ τῆς ἱστορίας φαίνεται καὶ μετὰ τὴν Μωϋσέως τελευτὴν ὁ αὐτὸς Κύριος τῷ Ἰησοῦ χρηματίζων καὶ σαφῶς ἐν τοῖς πρὸς αὐτὸν χρησμοῖς λέγων· «Ὅτι ὥσπερ ἤμην μετὰ Μωϋσῆ, οὕτως ἔσομαι μετὰ σοῦ, καὶ οὐκ ἐγκαταλείψω σε, οὐδ' ὑπερόψομαί σε. Ἴσχυε καὶ ἀνδρίζου· σὺ γὰρ ἀποδιαστελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς·[4]» καὶ δι' ὅλης τῆς Γραφῆς ἄγγελος μὲν οὐδαμῶς ἐπιπαρὼν ἢ χρηματίζων τῷ Ἰησοῦ φαίνεται, ἀλλ' αὐτὸς ὁ Κύριος ὁ καὶ παρὰ Μωϋσεῖ διὰ τοῦ τετραγράμμου δηλούμενος, ὃς καὶ δοκεῖ μοι ὁ αὐτὸς εἶναι τῷ ἐν ἀνδρὸς σχήματι εἰς ἅπαξ μόνον παραφανέντι τῷ Ἰησοῦ.[5] Ὥσπερ γὰρ ἐπιφανεὶς τῷ Ἀβραὰμ καὶ τῷ Ἰακὼβ ἀναγέγραπται, οὕτω καὶ νῦν ἐπὶ τῷ παιδεῦσαι τὸν θεράποντα μὴ αὐτὸν ἡγεῖσθαι τὸν πρῶτον καὶ ἀγένητον εἶναι Θεόν, ἀλλ' ἀρχιστράτηγον τῆς ἐκείνου δυνάμεως ἀποφαίνεται. Εἰ δὴ οὖν διὰ πάσης τῆς τοῦ Ἰησοῦ γραφῆς ἄγγελος μὲν οὐδ' ὅλως παρὼν ὀνομάζεται, ἀλλ' αὐτὸς ὁ διὰ πάσης τῆς παρὰ Μωϋσεῖ νομοθεσίας δηλούμενος Κύριος· μαρτυρεῖ γοῦν σαφῶς ἡ Γραφὴ λέγουσα· «Καὶ ἦν Κύριος μετὰ Ἰησοῦ·[6]» τίνος ἂν λέγοιτο· «Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὅπως ἀγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι;[7]» Ἔοικεν

---

1. Ἔξ. 20, 7, 10, 11. 2. Ἔξ. 20, 12. 3. Ἔξ. 23, 20-21. 4. Ἰησ. Ν. 1, 5-6. 5. Πρβλ. Ἰησ. Ν. 5, 13. 6. Ἰησ. Ν. 6, 27. 7. Ἔξ. 22, 20.

οὖν διὰ τούτων οὐκ ἄλλον ἀλλ' αὐτὸν δηλοῦν τὸν Ἰησοῦν· αὐτὸς γὰρ εἰσήγαγεν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς καὶ αἱ πρὸς αὐτὸν δηλοῦσιν τοῦ Θεοῦ φωναὶ λέγοντος· «Ἴσχυε καὶ ἀνδρίζου· σὺ γὰρ ἀποδιαστελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν περὶ αὐτοῦ.» Ἄρα προδιατάσσεται τῷ λαῷ λέγων· «Πρόσεχε αὐτῷ, καὶ εἰσάκουσον αὐτοῦ· μὴ ἀπείθει ἐν αὐτῷ.[1]» Οὐ δεῖ δὲ θαυμάζειν εἰ ἄγγελον αὐτὸν ἐπωνόμασεν, ἐπεὶ καὶ Ἰωάννην τούτῳ καλεῖ τῷ προσρήματι ἡ φάσκουσα προφητεία· «Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν μου ἔμπροσθέν σου.[2]» Εἰ δ' ὅλως εἰς Ἰησοῦν ἀναφέροιτο τὸν τοῦ Ναυῆ τὰ προεκτεθέντα, ὅρα πῶς περὶ αὐτοῦ φησιν ὁ Κύριος· «Τὸ γὰρ ὄνομά μου ἐπικέκληται ἐπ' αὐτῷ.[3]» Ποῖον δὲ ἄρα ὄνομα ἢ αὐτὸ τὸ Ἰησοῦς; Τοῦ μὲν γὰρ φαινομένου τότε ἀνδρὸς οὐκ ἦν ἴδιον τὸ Ἰησοῦς ὄνομα· Αὐσὴς γὰρ ἐκαλεῖτο τὸ πρότερον· πρῶτος δὲ αὐτὸν Μωϋσῆς θεοφορούμενος Ἰησοῦν ἀναγορεύει, πνεύματι δῆλον ὅτι θειοτέρῳ κινούμενος· ὡς ἂν ὁ χρησμὸς ὁ φήσας· «Τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ», πληρωθείη τοῦ χρηματίζοντος Κυρίου, ὃν πολλάκις ἀπεδείξαμεν εἶναι τὸν προόντα τοῦ Θεοῦ Λόγον, Ἰησοῦς ἦν ὄνομα ὅπερ τῷ Αὐσῇ Μωϋσῆς ἐπιτέθεικεν, ὡς ἡ θεία Γραφὴ μαρτυρεῖ[4], σφόδρα ἀπηκριβωμένως τηρήσασα, ὅτι μὴ ἄλλοτε ἢ ἄγγελον αὐτὸν ἀκολούθως τῷ χρησμῷ τὴν γῆν τῆς ἐπαγγελίας πρὸ προσώπου τοῦ λαοῦ προσκεψόμενον ἐξέπεμπεν, τούτῳ κέκληκεν αὐτὸν τῷ ὀνόματι. Οὐκοῦν διὰ τούτων καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ προσηγορίαν Μωϋσῆς φαίνεται σαφῶς ἐγνωκώς· ὥσπερ δὲ τὸ Ἰησοῦ ὄνομα παρὰ πρώτῳ αὐτῷ εὕρηται κατὰ τοὺς ἐξεταζομένους τόπους, οὕτω καὶ Χριστὸν πρῶτος αὐτὸς ἀναγορεύσας φαίνεται, πρὸ τῶν αὐτοῦ χρόνων ἐξ αἰῶνος μηδενὸς μηδέπω ποτὲ μήτε Ἰησοῦ μήτε Χριστοῦ παρά τισιν προσαγορευθέντος. Καὶ φαίνεταί γε ἐνθέῳ λογισμῷ τὰς δηλουμένας προσηγορίας τιμήσας· δυσὶ γοῦν τοῖς παρὰ πάντα τὸν λαὸν ἐξοχωτάτοις ἀνδράσι καὶ παρὰ Θεῷ διαπρέπουσιν ἑτέροις τε ἰδίοις ὀνόμασι κεχρημένοις τὰς δύο ταύτας ἐπιφημίζει προσηγορίας, τῷ τε ἰδίῳ ἀδελφῷ τῷ Ἀαρών, καὶ τῷ τοῦ Ναυῆ υἱῷ, Αὐση[οῦ]ς πρότερον ὀνομαζομένου[ς], παρὰ πάντα τὸν λαὸν Θεοῦ νεύματι ἄρχοντας τοῦ παντὸς ἔθνους προχειρισάμενος ταῖς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐδόξασεν προσηγορίαις· τὸν μὲν Χριστόν, δι' ἣν ἔφερεν εἰκόνα τοῦ κατ' ἀλήθειαν ἀρχιερέως τῶν ὅλων αὐτοῦ «τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεοῦ Λόγου[5]» προσειπών· τὸν δὲ ἑαυτοῦ διάδοχον Ἰησοῦν ἀναγορεύσας, δι' ὃν ἔσῳζε καὶ αὐτὸς τύπον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ, ὃς παυσαμένης τῆς διὰ Μωϋσέως παραδοθείσης συμβολικῶς λατρείας, καὶ τοῦτόν πως τὸν τρόπον

1. Ἐξ. 23, 21. 2. Ματθ. 11, 10. 3. Ἐξ. 23, 21. 4. Πρβλ. Ἀριθ. 13, 17. 5. Ἰω. 1, 1.

Μωϋσέως τελευτήσαντος, τὴν εἰς τὸ θεῖον εὐσέβειαν διαδεξάμενος, πάσας μὲν τὰς ἀοράτους δυνάμεις ἀνθισταμένας αὐτοῦ τῷ λόγῳ πολέμῳ νικήσας κεχείρωται, τὴν δ' ὑπὸ ταύταις ἅπασαν τυραννουμένην γῆν, τὴν ἐν πᾶσι τοῖς ἔθνεσιν ἴδιον κτῆμα ποιησάμενος, τῷ ἑαυτοῦ λαῷ διὰ τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην Ἐκκλησιῶν κατεκληροδότησεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

«Ἡνίκα δ' ἂν εἰσῆλθε Μωϋσῆς εἰς τὴν σκηνήν, κατέβαινεν ὁ στῦλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, καὶ στάντες ὁ λαός, προσεκύνησαν ἕκαστος ἀπὸ τῆς σκηνῆς. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἰ λαλήσαι τις πρὸς φίλον ἑαυτοῦ· καὶ ἀπηλλάττετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων αὐτοῦ Ἰησοῦς υἱὸς Ναυῆ οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον· Ἰδού, σὺ λέγεις μοι· Ἀνάγαγε τὸν λαὸν τοῦτον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν σὺ ἀποστελεῖς μετ' ἐμοῦ· σὺ δέ μοι εἶπας· Οἶδά σε παρὰ πάντας, καὶ ἔχεις χάριν παρ' ἐμοί. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ ὅτι λαός σου τὸ ἔθνος τοῦτο. Καὶ λέγει· Αὐτὸς προπορεύσομαι καὶ καταπαύσω σε. Καὶ λέγει πρὸς αὐτόν· Εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς ἐντεῦθεν. Καὶ πῶς γνωστὸν ἔσται ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγὼ καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν; καὶ ἐνδοξασθησόμεθα ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστι. Καὶ εἶπεν ὁ Κύριος πρὸς Μωϋσῆν· Καὶ τὸν λόγον σοι τοῦτον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου, καὶ οἶδά σε παρὰ πάντας, καὶ ἔχεις χάριν παρ' ἐμοί. Καὶ εἶπεν· Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. Καὶ εἶπεν· Ἐγὼ παρελεύσομαι πρότερος τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι Κυρίου ἐναντίον σου· καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. Καὶ εἶπεν· Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ τὸ πρόσωπόν μου ἄνθρωπος καὶ ζήσεται. Καὶ εἶπε Κύριος· Ἰδού, τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας· καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω. Καὶ ἀφελῶ τὴν χεῖρά μου, καὶ τότε ὄψῃ τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι[1]», καὶ τὰ ἑξῆς, οἷς ἐπιφέρει· «Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ· καὶ ἐκάλεσεν ἐν ὀνόματι Κυρίου· καὶ παρῆλθεν Κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε· Κύριος Κύριος ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς καὶ δικαιοσύνην διατηρῶν, ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ τὸν ἔνοχον οὐ καθα-

---

1. Ἔξ. 33, 9-23.

ριεῖ ἐπάγων ἀνομίας πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ τέκνα τέκνων, ἐπὶ τρίτην καὶ ἐπὶ τετάρτην γενεάν. Καὶ σπεύσας Μωϋσῆς κύψας ἐπὶ τὴν γῆν προσεκύνησεν, καὶ εἶπεν· Εἰ δὴ εὕρηκα χάριν ἐνώπιόν σου, Κύριε, συμπορεύθητι μεθ' ἡμῶν ἐνώπιος ἐνωπίῳ.[1]» Μωϋσῆς τῷ θεῷ λαλῶν ἀναγέγραπται μετὰ θάρσους καὶ παρρησίας τοσαύτης, ὁποίαν ἀγάγοι ἂν καὶ φίλος τις ἀνὴρ ὁμιλῶν ἑαυτοῦ φίλῳ. Ἐμφαίνεται δὲ διὰ τούτων οὐχ ἡ τυχοῦσα τοῦ Προφήτου προκοπή· ἀλλ' ἐπεὶ ἐλάλει μὲν αὐτῷ Κύριος ἐνώπιος ἐνωπίῳ, οὐ μὴν καὶ ὤφθη πω αὐτῷ ὁμοίως τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· τούτου δὴ χάριν ἀξιοῖ λέγων· «Εἰ δὴ εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε.» Δι' οὗ παρίστησιν ὅτι μὴ ὁμοίως τῷ λαλεῖν αὐτῷ καὶ τὰς πρὸς αὐτὸν ἐπιφανείας ὁ Θεὸς ἐποιεῖτο. Εἰ γάρ, ὡς νομίσειέν τις, ταὐτόν ἐστι τὸ λελαληκέναι αὐτῷ τὸν Θεὸν «ἐνώπιον ἐνωπίῳ» τῷ ὦφθαι αὐτῷ, ὡς ἂν εἴποι τις, «πρόσωπον πρὸς πρόσωπον», καὶ ποία δ' ἂν ἔτι χώρα λείποιτο τῇ φασκούσῃ αὐτοῦ ἀξιώσει τό· «Εἰ δὴ εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε;» πῶς δέ, εἰ καὶ πρότερον αὐτῷ πρόσωπον πρὸς πρόσωπον ὡς οἰηθείη ἄν τις, ἑωρᾶτο, ἐπιφέρει λέγων αὐτῷ ὁ Κύριος· «Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ τὸ πρόσωπόν μου ἄνθρωπος καὶ ζήσεται; «Διὰ τί δέ, λεγέτω ὁ βουλόμενος, οὐδ' ἅπαξ ὁ λόγος μαρτυρεῖ λέγων, ὅτι ὤφθη αὐτῷ ὁ Κύριος, ὡς ἐπὶ τῶν πατριαρχῶν εἰρηκὼς τετήρηται· ἀλλὰ γὰρ διὰ τούτων πρόδηλον, ὅτι εἰ καὶ ἐλάλει αὐτῷ Κύριος «ἐνώπιος ἐνωπίῳ», ὅμως διὰ τῆς νεφέλης ἐλάλει αὐτῷ· τοῦτο γὰρ προπαρίστησιν ἡ Γραφὴ λέγουσα· «Κατέβαινεν ὁ στῦλος τῆς νεφέλης καὶ ἵστατο ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, καὶ ἐλάλει τῷ Μωϋσεῖ.» Οὐκοῦν διὰ τῆς νεφέλης ἐλάλει, οὐ μὴν καὶ ὁμοίως τῷ Ἀβραὰμ ἢ τῷ Ἰσαὰκ ἢ τῷ Ἰακὼβ ὤφθη αὐτῷ· ἐκείνοις μὲν γὰρ γυμνῶς καὶ τρανῶς ἄνευ τινὸς εἴδους ὀφθεὶς ἀναγέγραπται, τούτῳ δὲ διὰ τοῦ ὀνομαζομένου εἴδους καὶ τῆς νεφέλης, ἣν καὶ δόξαν Κυρίου ὀνομάζει ὁ λόγος φάσκων· «Ἡνίκα δὲ ἐλάλει Μωϋσῆς πάσῃ συναγωγῇ υἱῶν Ἰσραήλ, καὶ ἐπεστράφησαν εἰς τὴν ἔρημον, καὶ ἰδοὺ ἡ δόξα Κυρίου ὤφθη ἐν νεφέλῃ, καὶ ἐλάλησεν Κύριος πρὸς Μωϋσῆν.[2]» Καὶ πάλιν· «Ἀνέβη Μωϋσῆς εἰς τὸ ὄρος· καὶ ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος. Καὶ κατέβη ἡ δόξα Κυρίου ἐπὶ τοῦ ὄρους καὶ ἐκάλυψεν αὐτὸν νεφέλη ἓξ ἡμέρας· καὶ ἐλάλησεν Κύριος πρὸς Μωϋσῆν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης. Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου, ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους.[3]» Σαφῶς οὖν διὰ τούτων τὸ θεωρούμενον τῷ Μωϋσεῖ λέγεται εἶναι οὐκ αὐτὸς ὁ Κύριος, ἀλλ' εἶδος Κυρίου, καὶ νεφέλη καὶ πῦρ, ἃ καὶ δόξαν Κυρίου ὀνομάζει ὁ λόγος· οὐκοῦν τὸ μὲν εἶδος ἑώρα Κυρίου καὶ τὴν δόξαν αὐτοῦ, οὐδαμῶς δὲ αὐτὸν τὸν Κύριον, τόν τε λαλούμενον Λόγον αὐτοῦ τοῦ Κυρίου·

1. Ἐξ. 34, 5-9. 2. Ἐξ. 16, 10-11. 3. Ἐξ. 24, 15-17.

ἀλλ' ὅμως διὰ τῆς νεφέλης λαλοῦντος ἤκουεν, διὸ εἴρηται· «Καὶ ἐλάλησεν Κύριος πρὸς Μωϋσῆν ἐνώπιος ἐνωπίῳ.» Οὐ μὴν καὶ ὤφθη αὐτῷ ἐνώπιος ἐνωπίῳ τετήρηται· τοῦτο γὰρ ὡς οὐδέπω γεγονὸς ἀξιοῖ λέγων· «Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε.» Καὶ ἐν ἑτέρῳ δὲ τόπῳ διδάσκει ὁ λόγος, ὅτι δὴ στόμα ἐλάλει αὐτῷ ὁ Θεός, οὐ μὴν καταλλήλως καὶ ἑωρᾶτο, ἀλλ' ἐν εἴδει καὶ διὰ τῆς προαποδεδομένης δόξης αὐτοῦ· λέγει δὲ οὕτως· «Καὶ κατέβη Κύριος ἐν στύλῳ νεφέλης, καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριάμ, καὶ ἐξῆλθον ἀμφότεροι. Καὶ εἶπεν πρὸς αὐτούς· Ἀκούσατε δὴ τῶν λόγων μου· Ἐὰν γένηται προφήτης ὑμῶν τῷ Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ. Οὐχ οὕτως ὁ θεράπων μου Μωϋσῆς πιστός ἐστιν ἐν ὅλῳ τῷ οἴκῳ μου. Στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, καὶ τὴν δόξαν Κυρίου εἶδεν, καὶ διὰ τί οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσέως;[1]» Ἆρ' οὖν τὴν δόξαν μὲν Κυρίου εἶδεν καὶ ἐν εἴδει αὐτῷ χρηματίζοντος, στόμα τε κατὰ στόμα λαλοῦντος ἤκουσεν, οὐ μὴ καὶ αὐτόν πω τὸν Κύριον ὁμοίως τοῖς πατράσιν ἑωράκει. Καὶ οὐ θαυμαστόν γε εἰ τῷ Μωϋσεῖ στόμα κατὰ στόμα λαλῶν ἀναγέγραπται ὁ Θεός, ὁπότε καὶ τῷ παντὶ λαῷ πρόσωπον πρὸς πρόσωπον λελαληκέναι αὐτὸν ἐν Δευτερονομίῳ διδάσκει ὁ Μωϋσῆς λέγων· «Οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο Κύριος τὴν Διαθήκην ταύτην, ἀλλὰ πρὸς ὑμᾶς· ὑμεῖς αὐτοὶ ὧδε σήμερον πάντες ζῶντες. Πρόσωπον κατὰ πρόσωπον ἐλάλησεν Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός.[2]» Πλὴν εἰ καὶ τῷ Μωϋσεῖ καὶ τῷ παντὶ λαῷ τοῦτον ἐχρημάτιζεν τὸν τρόπον, ἀλλ' ὅρα ὅτι λελαληκέναι μὲν αὐτοῖς στόμα κατὰ στόμα καὶ πρόσωπον πρὸς πρόσωπον εἴρηται, οὐ μὴν καὶ ἄνευ τοῦ πυρὸς ἢ τῆς νεφέλης ὁμοίως τοῖς πατράσιν ὦφθαι αὐτοῖς· γυμνῶς γὰρ ἐκείνοις καὶ ἄνευ ἐπικαλύμματος τοῦ διὰ νεφέλης ἢ πυρὸς ὁ Κύριος ὀφθεὶς ἀναγέγραπται. Τελείων γοῦν καὶ τὴν διάνοιαν εἰς ἄκρον κεκαθαρμένων καὶ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν τὸ τὸν Θεὸν ὁρᾶν εἶναι διδάσκει· «Μακάριοι, λέγων, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[3]» Διὸ καὶ ὡς τοιούτων ὁ Κύριος Θεὸν ἑαυτὸν ἀναγορεύει, λέγων πρὸς Μωϋσῆν· «Οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ, Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν, Θεὸς Ἀβραάμ, καὶ Θεὸς Ἰσαάκ, καὶ Θεὸς Ἰακώβ, ἀπέσταλκέ με πρὸς ὑμᾶς· τοῦτό ἐστιν ὄνομά μου αἰώνιον, καὶ μνημόσυνον γενεῶν γενεαῖς.[4]» Ζηλῶν δὴ οὖν τὰ χαρίσματα τὰ μείζονα, καὶ τῆς ὁμοίας ἐκείνοις ὀρεγόμενος ὁ Μωϋσῆς προκοπῆς, ἀξιοῖ λέγων τὸν Κύριον· «Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε·[5]» ἐφαντάζετο μὲν γὰρ χρηματίζοντος αὐτῷ Θεοῦ Λόγου τό τε μέγεθος καὶ τὸ ὕψος καὶ τὴν ἀφα-

---

1. Ἀριθ. 12, 5-8. 2. Δευτ. 5, 3-4. 3. Ματθ. 5, 8. 4. Ἔξ. 3, 15. 5. Ἔξ. 33, 13.

τον καὶ ἀνέφικτον ὑπεροχήν, ἑώρα δὲ ὡς ὅτι δι' ὑπηρετικῶν ἀγγέλων τὰς πρὸς αὐτὸν ἐποιεῖτο θεωρίας· διὸ παρακαλεῖ τρανότερον καὶ καθαρώτερον ἐμφῆναι ἑαυτὸν αὐτῷ, μηκέτι μὲν δι' ἐπικαλυμμάτων, μηδὲ ὑπὸ διακόνων ἑτέρων, γυμνῶς δὲ καὶ τοῖς ἀμφὶ τὸν Ἀβραὰμ παραπλησίως, ἄνευ τοῦ διὰ πυρὸς καὶ νεφέλης εἴδους. Τοῦτο γοῦν δοκεῖ μοι σημαίνειν ἡ φάσκουσα λέξις· «Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε.» Ταύτῃ δὲ καὶ προακούσας εἰρηκότος αὐτῷ τοῦ Κυρίου τό· «Ἰδοὺ ἄγγελός μου προπορεύσεται πρὸ προσώπου σου[1]», ὑποπαραιτεῖται τοῦ μείζονος ὀρεγόμενος, καί φησιν· «Εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς ἐντεῦθεν·[2]» πρὸς τὴν ἀξίωσιν ἐπινεύσαντος τοῦ Κυρίου καὶ φήσαντος, «Καὶ τὸν λόγον σου τοῦτον, ὃν εἴρηκας, ποιήσω[3]», τὸ ἕτοιμον συνιδὼν τῆς θείας μεγαλοδωρεᾶς, φθανούσης τῆς εὐεργεσίας τοὺς μεγάλων ὀρεγομένους, εἶτα σμικρύνας ἑαυτόν, καὶ ὡς μὴ ἄξιόν πω τῶν μειζόνων λογισάμενος, ἑτέραν ὡς ἐν συγκρίσει τῆς προτέρας ἐνδέουσαν ἀξίωσιν προτείνει λέγων, «Δεῖξόν μοι τὴν δόξαν σου[4]», πληρῶν δὲ αὐτοῦ τὸν λόγον ὁ Κύριος, «Ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου· καὶ καλέσω ἐν ὀνόματι Κυρίου ἐναντίον σου[5]», καὶ τὰ ἑξῆς· διδάσκων ὅτι δὴ πάσης μείζων τῆς πρότερον αὐτῷ θεωρουμένης ὀπτασίας ἡ τοῦ Πατρὸς καὶ Θεοῦ τῶν ὅλων τυγχάνει γνῶσις, ἣν καὶ παραδώσειν αὐτῷ ὑπισχνεῖται, περὶ μὲν ἑαυτοῦ λέγων, «Παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου.» Περὶ δὲ τῆς τοῦ Πατρὸς μυσταγωγίας τό, «καὶ καλέσω ἐν ὀνόματι Κυρίου·» ποίου γὰρ Κυρίου, αὐτὸς ὢν ὁ διὰ τοῦ τετραγράμμου δηλούμενος Κύριος, εἰ μὴ ἄρα τοῦ Πατρὸς καλέσειν ἐπαγγέλλεται; Καὶ ἀληθῶς γε εἰ μὴ διέλθοι τινὰ πρότερον ὁ τοῦ Θεοῦ Λόγος, καὶ εἰ μὴ αὐτὸς ἀνακαλέσοιτο τὸν Πατέρα, οὐδ' ἄλλως δυνατὸν τὴν τοῦ Πατρὸς τῶν ὅλων ἀναλαβεῖν γνῶσιν· «ἐπεὶ μηδ' εἷς ἔγνω τὸν Πατέρα εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ.[6]» Αὐτὸς γοῦν ἐστιν ἡ θύρα καὶ ἡ ὁδὸς δι' οὗ μόνου ἔστιν ἰδεῖν τὸν ἐπέκεινα καὶ ἀνωτάτω τῶν ὅλων αἴτιον, αὐτὸν τὸν Πατέρα· εἰ γὰρ καὶ τὰ μάλιστα οἷά τις αὐτοῦ πρόδρομος προεπιδημεῖ ταῖς τῶν μακαρίων ψυχαῖς ὁ θεῖος Λόγος, τῆς ἰδίας δόξης μεταδιδοὺς αὐταῖς, ἀλλ' οὐχ ἵσταταί γε εἰς τέλος τὰ τῆς αὐθεντίας εἰς ἑαυτὸν ἀναλαμβάνων, προπαρασκευάσας δὲ καὶ προευτρεπίσας τὴν μονήν, ὑποχωρεῖ καὶ μεταπαραδίδωσι τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί. Τοῦτο δὲ καὶ αὐτὸς ὁμολογεῖ φάσκων, «Ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι Κυρίου.» Νῦν μὲν οὖν λόγῳ τοῦτο πράξειν ἐπαγγέλλεται· ἑξῆς δὲ καὶ τὸ ἔργον ἐπάγει ἔνθα εἴρηται, «Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ· καὶ ἐκάλεσεν ἐν ὀνόματι Κυρίου. Καὶ παρῆλθεν Κύριος πρὸ προσώπου αὐτοῦ καὶ ἐκάλεσε, Κύριος,

1. Πρβλ. Ἐξ. 23, 23. 2. Ἐξ. 33, 15. 3. Ἐξ. 33, 17. 4. Πρβλ. Ἐξ. 33, 18. 5. Ἐξ. 33, 19. 6. Ματθ. 11, 27.

Κύριος ὁ Θεὸς οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός, καὶ δικαιοσύνην διατηρῶν, ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας, καὶ ἀδικίας, καὶ ἁμαρτίας, καὶ τὸν ἔνοχον οὐ καθαριεῖ· ἐπάγων ἀνομίας πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ τέκνα τέκνων ἐπὶ τρίτην καὶ τετάρτην γενεάν.[1]» Ταῦτα γὰρ αὐτός φησι καταβὰς ἐν νεφέλῃ καὶ παραστὰς τῷ Μωϋσεῖ ὁ διὰ τοῦ τετραγράμμου δηλούμενος Κύριος· ὃς καθ' ἣν πεποίηται ὑπόσχεσιν παρελθὼν πρὸ προσώπου αὐτοῦ, τὸν καὶ ἑαυτοῦ Κύριον καὶ Πατέρα, τὴν ἀληθῶς ὄντα Κύριον Κύριον, δὶς διὰ τοῦ τετραγράμμου ἐμφερόμενον ἀνακαλεῖται λέγων τό, «Κύριος, Κύριος ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων», καὶ τὰ ἑξῆς. Εἰ δὲ βιαζόμενός τις φάσκοι μὴ τὸν Κύριον, ἀλλὰ Μωϋσῆν ταῦτα εἰρηκέναι, πεῖσμα βέβαιον λαμβανέτω ἐξ αὐτῶν τῶν τοῦ Μωϋσέως φωνῶν ὁμολογοῦντος τοῦ Κυρίου εἶναι τὰς προεκτεθείσας λέξεις, δι' ὧν εὐχόμενος ἐν ἑτέρῳ τόπῳ φησί, «Καὶ νῦν ὑψωθήτω ἡ χείρ σου, Κύριε· ὃν τρόπον εἶπας λέγων, Κύριος μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός· ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας, καὶ ἁμαρτίας· καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς.[2]» Ἐναργέστατα δὴ οὖν καὶ σαφέστατα διὰ τούτων αὐτὸς ὁ Κύριος τὰς προεκτεθείσας εἰρηκὼς παριστᾷ τε (παρίσταται) φωνάς, μείζονα Κύριον τὸν ἀληθῶς Κύριον, δῆλον δ' ὅτι τὸν Πατέρα ἑαυτοῦ, ἀνακαλούμενος· ἢ εἰ δυσπειθῶς ἔχοι πρὸς ταῦτα, λεγέτω εἴ τινα ἄλλην οἷός τέ ἐστιν κατὰ τοὺς τόπους ἐπιβαλεῖν διήγησιν· φυλάττων τὸ μὴ ἄγγελον εἶναι τὸν χρηματίζοντα, ἀλλ' αὐτὸν τὸν διὰ τοῦ τετραγράμμου δηλούμενον Κύριον, ὃς καὶ ἐνώπιος ἐνωπίῳ τῷ Μωϋσεῖ ἀναγέγραπται λελαληκέναι, ὃν καὶ ἀξιοῖ τὴν δι' ἀγγέλων προστασίαν παραιτούμενος ὁ Μωϋσῆς λέγων, «Εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς ἐντεῦθεν.[3]» Ἀλλὰ γὰρ οὐχ οἷόν τε ταῦτα ἐφ' ἕτερον ἢ ἐπὶ μόνον τὸν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεὸν Λόγον ἀναφέρειν· ὃς μεγάλων ἐφιεμένῳ τῷ Μωϋσεῖ τὴν τοῦ μείζονος ἐμφαίνει γνῶσιν, παιδεύων ἑαυτὸν ὅπως ἂν γινώσκῃ τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλε Θεὸν Λόγον, δευτέρως καὶ αὐτὸν ὄντα μετὰ τὸν Πατέρα καὶ Κύριον καὶ Θεόν· καὶ πρώτην γε αὐτῷ ταύτην καὶ ἀναγκαιοτάτην παρέχει τὴν ὠφέλειαν, ὡς ἂν μήποτε τὰς περὶ Θεοῦ τῶν ὅλων ὑπονοίας ἐπὶ τὸν χρηματίζοντα αὐτῷ Λόγον διὰ τὴν ὑπερβολὴν τῆς δόξης τῶν θεωρουμένων ἐκλάβοι· διδάσκει [εἰ] δ' οὖν αὐτὸν πρῶτον καὶ μόνον ἀληθινὸν Θεὸν ἡγεῖσθαι τοῦτον, ὃν αὐτὸς ἐπεκαλεῖτο λέγων, «Κύριος, Κύριος ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός.» Πρόσχες γὰρ ἐπιμελῶς τῷ «ἀληθινός» παραπλησίως εἰρημένῳ τῷ «Ἵνα γιγνώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν[4]», ὑπὸ τοῦ αὐτοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις εἰρημένῳ· ταῦτα δ' οὐκ ἂν ἐχώρησεν

1. Ἐξ. 34, 5-7. 2. Ἀριθ. 14, 17-18. 3. Ἐξ. 33, 15. 4. Ἰω. 17, 3.

ὁ πᾶς λαὸς πρὸς ὅν, οἷα δὴ εἰσαγόμενον, ὑπὸ τοῦ χρηματίζοντος ἐλέγετο, «Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ·[1]» ἐδέοντο γὰρ οὗτοι στοιχειώδους εἰσαγωγῆς ἔτι τῆς περὶ Θεοῦ μοναρχίας οὐχ οἷοί τέ πως ὄντες τὰ περὶ Πατρὸς καὶ Υἱοῦ δόγματα διαρθροῦν, ἅτε ἔναγχος τῆς Αἰγυπτίων πολυθέου πλάνης ἀφεστηκότες. Τὸ δὲ «Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ» λέγοιτ' ἂν ἐκ προσώπου τοῦ Θεοῦ Λόγου ὁμοίως τῷ, «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν· καὶ ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί.[2]» Ὡς γ' οὖν ὁ ἑωρακὼς αὐτὸν ἑώρακε τὸν Πατέρα, κατὰ τό, «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα τὸν πέμψαντά με·[3]» τὸν αὐτὸν τρόπον ὁ αὐτοῦ ἀκούων τοῦ ἐν αὐτῷ Πατρὸς ἤκουε λέγοντος τό, «Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ.»

Ταῦτα δ' ἡμῖν ὡς ἐν τηλικούτοις εἴρηται παραστῆσαι βουλομένοις, ὅτι δὴ ἀναμφιλέκτως οὔτε ὁ τῶν ὅλων Θεός, οὔτε ἀγγελική τις δύναμις ἦν ἡ χρηματίζουσα τῷ Μωϋσεῖ, αὐτὸς δὲ ὁ θεῖος Λόγος, ὃν ἀκριβῶς πεπιστεύκαμεν μετὰ τὸν τῶν ὅλων Πατέρα καὶ Κύριον δεύτερον εἶναι τῶν ἁπάντων Θεόν τε καὶ Κύριον· ὥσπερ δὴ καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης σαφέστερον ἡμᾶς παιδεύει λέγων· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος· καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· καὶ Θεὸς ἦν ὁ Λόγος·[4]» πολλῆς δ' ἂν γένοιτο καὶ οὐχὶ τῆς παρούσης σχολῆς σαφηνίζειν τίς ἄρ' εἴη ὁ τόπος καὶ ἡ πέτρα περὶ ὧν εἶπεν ὁ Κύριος, «Ἰδοὺ τόπος παρ' ἐμοὶ καὶ στήσῃ ἐπὶ τῆς πέτρας·[5]» ἀλλ' ὁ μὲν Ἀπόστολος τὴν πέτραν ἐδήλωσεν εἰπών, «Ἡ πέτρα δὲ ἦν ὁ Χριστός.[6]» Οὐκ ἄλλον δὲ τῆς πέτρας ὄντα καὶ τὸν τόπον ὑπολαμβάνω τὸν αὐτὸν τυγχάνοντα τῷ ἀπαντήσαντι τῷ Ἰακὼβ ἔνθα γέγραπται, «Ἐξῆλθεν δὲ ὁ Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν. Καὶ ἀπήντησε τόπῳ[7]» ἔνθα καὶ ἰδὼν ἐν ὁράματι τὴν κλίμακα καὶ τὸν ἐπ' αὐτῆς ἐστηριγμένον Κύριον, διυπνισθείς φησιν, «Ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ·[8]» καὶ πάλιν εἶπεν· «Ὡς φοβερὸς ὁ τόπος οὗτος, οὐκ ἔστι τοῦτο ἀλλ' ἢ οἶκος τοῦ Θεοῦ· καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.[9]» Ἀλλὰ καὶ τί τὸ πρόσωπον τοῦ Θεοῦ Λόγου, ὃ μὴ δύναται Μωϋσῆς ὁ νόμος, ἅτε ἀνθρώπινος καὶ σωματικώτερος ὤν, θεωρεῖν· τίνα τε τὰ ὀπίσθια αὐτοῦ, ἃ μόνον χωρεῖν οἷός τε ἦν ὁ τυπικὸς καὶ τῶν νοητῶν συμβολικῶς (κὸς) νόμος· πῶς τε εἴρηται τό, «Σκεπάσω τῇ χειρί μου ἐπὶ σέ», καλύμματος καὶ σκέπης ἐπιτιθεμένου τῷ νόμῳ, ὡς διὰ τοῦτο τὸ κάλυμμα τὰ μὲν ὀπίσω δύνασθαι ὁρᾶν, οὐκέτι δὲ τὰ προηγούμενα καὶ διαφέροντα· ἰδίᾳ κατὰ καιρόν, ᾧ μέλει τῆς τούτων ἐρεύνης, ἐπιστήσας εἴσεται.

---

1. Δευτ. 32, 39. 2. Ἰω. 10, 30, 38. 3. Ἰω. 14, 9. 4. Ἰω. 1, 1. 5. Ἐξ. 33, 21. 6. Α' Κορ. 10, 4. 7. Γεν. 28, 10-11. 8. Γεν. 28, 16. 9. Γεν. 28, 17.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ἐκ τῶν Ἀριθμῶν τῆς γ' τοῦ Βαλαὰμ προφητείας.

«Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν· καὶ ὑψωθήσεται ἡ Γὼγ βασιλεία, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ· Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξαν μονοκέρωτος αὐτῷ· ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύει ἐχθρόν. Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε, ηὐλόγηνται· καὶ οἱ καταρώμενοί σε, κεκατήρανται.[1] Χριστός ἐστιν ὁ ἐκ σπέρματος Ἰσραὴλ τὸ κατὰ σάρκα γεννηθείς, καὶ κυριεύσας ἐθνῶν πολλῶν· ποῖον γὰρ ὑπῆρξεν ἔθνος ἀγνοῆσαν τὴν ὑπ' αὐτὸν δουλείαν, εἰς πᾶσαν τὴν γῆν ἐξελθόντος τοῦ λόγου τῶν μαθητῶν αὐτοῦ, καὶ εἰς τὰ σπέρματα τῆς οἰκουμένης τῶν ῥημάτων αὐτῶν; Παρὰ γ' οὖν πλείστοις καὶ αὐτῶν τῶν βαρβάρων πολλοὺς ἔστιν ἰδεῖν διὰ τῆς εἰς αὐτὸν πίστεως ἐπὶ τὴν τοῦ ἑνὸς Θεοῦ γνῶσιν ἐληλυθότας, καὶ ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας παντοίας μέχρι καὶ θανάτου κολάσεις ὑπομείναντας. Πέρας ἔχουσα τοίνυν καὶ αὕτη σαφῶς ἡ προφητεία ἐπὶ τοῦ ἡμετέρου Σωτῆρος ἀποδείκνυται· ἢ παραστήτω τις ἄλλος ἐπιδεικνὺς ἐπὶ τίνα ἂν ταῦτα ἀναφέροιτο· καθ' ἡμᾶς δὲ πρόδηλον, ὡς καὶ αὔξεται ὁσημέραι τοῦ Σωτῆρος ἡμῶν ἡ νοητὴ βασιλεία τε καὶ δεσποτεία παρὰ ταῖς ὑποδεξαμέναις τὸν λόγον αὐτοῦ ψυχαῖς· ὑψώθη δὲ κατὰ τὴν παρουσίαν αὐτοῦ καὶ ἡ Γὼγ βασιλεία, ἣν ὑπειλήφασί τινες εἶναι τὴν Ῥωμαίων ἡγεμονίαν, ἄλλοι δὲ τροπικῶς τὴν κατὰ τὸ Εὐαγγέλιον ἐπουράνιον πολιτείαν, καὶ τὴν τῶν νοητῶν δογμάτων θεωρίαν, διὰ τοῦτο Γώγ, ὅπερ ἑρμηνεύεται *δόγματα*, σημαίνεσθαι ἐξειλήφασιν· ἀλλὰ καὶ ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ῥητῶς μὲν ὅτε χρηματισθεὶς ὁ Ἰωσὴφ ἐξ Αἰγύπτου παραλαβὼν τὴν Μαριὰμ ἅμα τῷ παιδὶ Ἰησοῦ ὑπέστρεψεν εἰς γῆν Ἰσραὴλ πληρουμένης τῆς τε νῦν καὶ τῆς ἐν Ὡσηὲ κατὰ τὸ Ἑβραϊκὸν καὶ τὴν Ἀκύλου ἑρμηνείαν προφητείας φασκούσης, «Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου·[2]» καὶ κατὰ διάνοιαν δέ, ὁπηνίκα ἐκ τῆς νοητῆς Αἰγύπτου καὶ τῶν τῇδε τόπων ἐπὶ τοὺς οὐρανοὺς ἅμα λαμβάνων αὐτὸν ὁ Πατὴρ ὡδήγησεν· ἡ δὲ λεγομένη «δόξα μονοκερώτων» ἐν τῷ Σωτῆρι τὴν ἐν αὐτῷ θεότητα τῆς πατρικῆς αἰνίττεται μοναρχίας.

Μετὰ ταῦτα εἴρηται, «ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ·» ὅσα γὰρ ὑπὸ τὴν διδαχὴν αὐτοῦ γέγονεν ἔθνη, ταῦτα πρότερον μερὶς τυγχάνοντα τῶν ἐχθρῶν αὐτοῦ, μετὰ τὴν εἰς αὐτὸν πίστιν ἐπιτήδεια ὥσπερ εἰς βρῶσιν ἑαυτῷ κατεσκεύασε· τὰ μὲν πάχη, τοῦτ' ἔστι πᾶν συμπεφυκὸς αὐτοῖς ὑλικὸν καὶ γήϊνον, λεπτύνων καὶ ἐξιχνεύων, καρποὺς

---

1. Ἀριθ. 24, 7-9. 2. Ὡσ. 11, 1.

δὲ τροφίμους διὰ τῆς ἑαυτοῦ γεωργίας αὐτοῖς ἐμποιῶν. Ταῦτα δὲ εἰργάσατο τοῖς νοητοῖς καὶ λογικοῖς βέλεσι, τὸν πάλαι τῶν ἐθνῶν ἄρχοντα ἐχθρὸν ὄντα ἑαυτοῦ κατατοξεύσας, τουτέστι τὸν διάβολον. Τὰ δ' ἀπὸ τοῦ «Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων», σχεδὸν αὐτοῖς ῥήμασι καὶ ὑπὸ τοῦ Ἰακὼβ ἐν ταῖς περὶ τοῦ Ἰούδα προφητείαις εἴρηται· ἅτινα ὁποῖον ἔχει νοῦν κατὰ τὰ ὑποπεσόντα ἡμῖν ἐκθέμενοι οὐ παλιλλογήσομεν· δῆλον δὲ τυγχάνει ὅπως ἡμεῖς οἱ τὸν Χριστὸν εὐλογοῦντες τοῦ Θεοῦ ηὐλογήμεθα· κἂν γὰρ βδελύσσοιντο ἡμᾶς ὡς καὶ τὸν πάλαι τοῦ Θεοῦ λαὸν οἱ Αἰγύπτιοι, ὅμως πληροῦταί γε καὶ ἐφ' ἡμῖν τό, «καθ' ὅσον δὲ ἐταπείνουν αὐτούς, τοσούτῳ πλείους ἐγίνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα·[1]» καὶ σαφὲς τίνα τρόπον τὴν κατάραν εἰλήφασιν οἱ ἐξαρχῆς αὐτὸν καταρασάμενοι διὰ τοῦ, «Σταύρου, σταύρου αὐτόν·[2]» κατάρας γὰρ ἦν ὁ σταυρός, κατὰ τό, «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.[3]» Ἀλλ' ὁ μὲν τὴν αὐτῶν ὑπομείνας κατάραν ὑπὸ τοῦ Πατρὸς ὑπερύψωται· οἱ δὲ πρὸς αὐτοῦ τοῦ Θεοῦ καταραθέντες ἐπίμονον εἰς αἰῶνα εἰλήφασιν ὄλεθρον· ὃν εἰ ἐπ' ἀκριβές τις ἐπεξίοι, δυνάμεως Θεοῦ κατόψεται μέγεθος, εἰς ἔτι νῦν μετιούσης τοὺς ἅπαξ πρὸς αὐτοῦ κατηραμένους. Ταῦτα εἰς τὸ «Καὶ οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται.»

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Ἐκ τῆς δʹ τοῦ Βαλαὰμ προφητείας.

«Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει ἡγεμόνας Μωάβ, καὶ προνομεύσει πάντας υἱοὺς Σήθ.[4]» Ὁ τοῦ Θεοῦ Λόγος «κενώσας ἑαυτὸν καὶ μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος[5]», ἄστρον οὐ μικρὸν οὐχὶ τῷ Ἰακὼβ ἀνέτειλεν, ἀλλ' ἐκ τοῦ Ἰακώβ· ἀπὸ γὰρ τοῦ σωματικοῦ λαοῦ τῶν ἐκ περιτομῆς ἀρξάμενος, πᾶσιν ἐπέλαμψε τοῖς ἔθνεσι· μεταναστάς τε ἐπ' ἐκείνων, οὐ μικροὺς πολέμους διεχειρίσατο, καθαίρων «τὰς ἀντικειμένας δυνάμεις, καὶ τὰ πνευματικὰ τῆς πονηρίας[6]», οὓς καταγωνισάμενος προνομὴν ἐποιήσατο εἰς τὸν αὐτοῦ κλῆρον, ἀπολαβὼν ὅσα πρότερον ὑπ' ἐκείνους ἐτύγχανεν ἔθνη· περὶ ὧν ὁ Πατὴρ αὐτῷ κατεπηγγείλατο εἰπών· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[7]»

ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

Ἐκ του Δευτερονομίου. Μωϋσῆς ἐστιν ὁ λέγων·

«Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμέ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ᾐτήσω παρὰ Κυρίου

1. Ἐξ. 1, 12. 2. Πρβλ. Ἰω. 19, 15. 3. Γαλ. 3, 13. 4. Ἀριθ. 24, 17. 5. Φιλιπ. 2, 7. 6. Πρβλ. Ἐφ. 6, 12. 7. Ψαλμ. 2, 8.

τοῦ Θεοῦ σου ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντες, Οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἁμάρτωμεν. Καὶ εἶπεν Κύριος πρός με· Ὀρθῶς πάντα, ὅσα ἐλάλησαν· προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ· καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅτι ἂν ἐντείλωμαι αὐτῷ. Καὶ ὁ ἄνθρωπος ὃς ἂν μὴ ἀκούσῃ πάντα ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτῶν.[1]» Καὶ τί μᾶλλον ἔχοι τις ἐκ τοῦ Ἰσραὴλ κατὰ Μωϋσέα προφήτην, τοῦτ' ἔστι νομοθέτην, τοῦ τῶν ἀνθρώπων γένους ἀναδεδειγμένον ἐπιδεῖξαι, ἢ μόνον Ἰησοῦν τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν, ὃς τῆς Καινῆς Διαθήκης τοῦ κατὰ τὸ Εὐαγγέλιον βίου νομοθέτης ἅπασιν ἀναπέφανται τοῖς ἔθνεσι, κατὰ τὴν ἐν ψαλμῷ φήσασαν προφητικὴν εὐχήν· «Κατάστησον, Κύριε, νομοθέτην αὐτοῖς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν;[2]» Οὗτος δὲ καὶ ἐλυτρώσατο τῆς νοητῆς Αἰγύπτου, καὶ τῆς ἐν αὐτῇ πλινθοποιίας, τῆς τε πικρᾶς ὑπὸ τὸν νοητὸν Φαραὼ δουλείας τοὺς δι' αὐτοῦ προ(σ)εληλυθότας τῷ τῶν ὅλων Θεῷ· καὶ πάντα δὲ ἁπλῶς τὰ σωματικῶς ὑπὸ Μωϋσέως γεγονέναι ἱστορούμενα κατὰ τὸν πνευματικὸν νόμον ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν διεπράξατο. Ἐλήλυθεν ἄρα καὶ ὁ διαβόητος ἔτι καὶ νῦν παρά τε Σαμαρεῦσι καὶ Ἰουδαίοις, ὃν καὶ Μωϋσῆς προεθέσπισε προφήτης, περὶ οὗ προδιεμαρτύρατο ὁ Θεὸς λέγων· «Καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐκδικήσω ἐξ αὐτοῦ.» Ἐκδεδίκηταί γ' οὖν τὸ αἷμα πάντων τῶν ἀπὸ Ἄβελ μέχρι Ζαχαρίου τοῦ φονευθέντος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου[3], ἀπὸ τῆς γενεᾶς τῆς κατὰ Σωτῆρος ἐπισυστάσης, καὶ μάλιστα τῶν τολμησάντων ἀφεῖναι κατ' αὐτοῦ τὴν «Σταύρου, σταύρου αὐτόν[4]» φωνήν, «Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν·[5]» ὅπερ καὶ παραυτίκα γέγονε, τοῦ Θεοῦ, καθὼς προεῖπεν, ἐκδικήσαντος τὸ αἷμα τοῦ Χριστοῦ ἔκ τε αὐτῶν ἐκείνων καὶ τῶν τέκνων αὐτῶν, ἅμα τε μετελθούσης αὐτοὺς τῆς δίκης, ὡς ἐξ ἐκείνου εἰς δεῦρο μηδ' ὅλως ἆραι κεφαλὴν τὸ πᾶν ἔθνος δυνηθῆναι, πληρωθείσης καὶ ἑτέρας προφητείας Ἀμὼς φασκούσης, «Οἶκος Ἰσραὴλ πέπτωκεν, οὐκέτι προσθήσει τοῦ ἀναστῆναι·[6]» ὅπερ καὶ ὁ Ἀπόστολος τῷ πνεύματι προϊδών, ἀνεφώνησεν εἰπών, «Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.[7]»

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Τῆς Ὠδῆς.

«Εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ

---

1. Δευτ. 18, 15-19. 2. Ψαλμ. 9, 21. 3. Πρβλ. Ματθ. 23, 35. 4. Πρβλ. Ἰω. 19, 6. 5. Ματθ. 27, 25. 6. Ἀμ. 5, 1. 7. Α' Θεσ. 2, 16.

ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ.[1]» Καὶ τίνι ἄλλῳ προσκυνήσειν τοῖς ἀγγέλοις αὐτοῦ προστάττοι ἂν τὸ θεῖον Πνεῦμα ἢ τῷ Χριστῷ, οὗ σαφῶς ἐπὶ τῇ παρουσίᾳ ηὐφράνθη μετὰ τοῦ λαοῦ αὐτοῦ τὰ ἔθνη τοῦ τῶν δικαίων πατριαρχῶν καὶ προφητῶν χοροῦ· περὶ ὧν ἐθνῶν αὖθις ἐπὶ τῆς αὐτῆς ᾠδῆς ὡς πρὸς ἕτερον λαὸν ἀποτεινόμενος ὁ Θεός φησιν, «Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις· κἀγὼ παραζηλώσω αὐτοὺς οὐκ ἐπ' ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.[2]» Καὶ πρόδηλόν γε ὅτι μετὰ τὴν ἐκείνων ἀποβολὴν «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς παρ' ἐκείνοις σοφούς· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο, καὶ τὰ ἀγενῆ, καὶ τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ πρότερον παρ' ἐκείνοις ὄντα καταργήσῃ·[3]» ὅτι δὴ πρότερον ἐκ τῶν αὐτοῦ Μωϋσέως χρόνων εἰδώλοις λατρεύοντες, καὶ τὸν Θεὸν παροργίζοντες καὶ παραζηλοῦντες, ἐλθόντα αὐτοῦ τὸν Χριστὸν οὐκ ἐδέξαντο· ἀλλὰ τὰ ἔθνη γε δι' αὐτοῦ τὸν Πατέρα καὶ Θεὸν τῶν ὅλων ἐπιγνόντα κατὰ τὴν ἐν χερσὶ προφητείαν εὐφρανθήσεται μετὰ τοῦ τῶν ἁγίων λαοῦ αὐτοῦ· τὸν Χριστὸν δὲ καὶ ἐνίσχυσαν πάντες οἱ υἱοὶ τοῦ Θεοῦ, οἵ τε πρότερον τὰ περὶ αὐτοῦ προφητεύσαντες, καὶ ὅσοι μετὰ τὴν παρουσίαν αὐτοῦ τὸ πνεῦμα τῆς υἱοθεσίας χωρήσαντες, ἐπὶ πᾶσαν αὐτὸν ἐκήρυξαν τὴν οἰκουμένην. Τὰ μὲν δὴ ἀπὸ τῆς Πεντατεύχου τοσαῦτα· μετίωμεν δὲ καὶ ἐπὶ τὰς ἑξῆς Γραφάς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ἀπὸ τῆς τοῦ Ἰησοῦ γραφῆς.

«Καὶ ἐγεννήθη ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχώ, καὶ ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ προσελθὼν Ἰησοῦς, εἶπεν, Ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων: Καὶ εἶπεν αὐτῷ, Ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα. Καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ, Δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; Καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν, Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, τόπος ἅγιός ἐστι.[4]» Καὶ τίς ἂν ἄλλος εἴη ὁ ἀρχιστράτηγος δυνάμεως Κυρίου, ἢ ὁ Χριστὸς τοῦ Θεοῦ, ὁ πάσης ἄρχων ἁγίας καὶ πνευματικῆς τοῦ Θεοῦ στρατιᾶς; Ὅρα δὲ μὴ εἰ καὶ ὁ αὐτὸς ὁ καὶ τῷ Μωϋσεῖ διὰ τοῦ ἀγγέλου χρηματίσας ἐν τῷ ὄρει ἀπὸ τῶν πρὸς τὸν Ἰησοῦν λόγων ὑποφαίνεται· ἅπερ γὰρ τούτῳ νῦν, ταῦτα καὶ Μωϋσεῖ ὁμοίως ἀρχομένῳ τῆς θεωρίας πρὸς τοῦ Κυρίου διὰ τοῦ ἀγγέλου εἴρηται κατὰ τό, «Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου», καὶ τὰ ἑξῆς. Πολυώνυμος δέ τις ὑπάρχων ὁ

1. Δευτ. 32, 43. 2. Δευτ. 32, 21. 3. Α' Κορ. 1, 27. 4. Ἰησ. Ν. 5, 13-16.

Χριστὸς τοῦ Θεοῦ, νῦν «Ἀρχιστράτηγος δυνάμεως Κυρίου» χρηματίζει· ὡς καὶ ἐν Ἡσαΐᾳ, «μεγάλης βουλῆς Ἄγγελος·» ἐν τῷ, «Καὶ θελήσουσιν εἰ ἐγένοντο πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος.[1]» Εὕροις δ' ἂν καὶ ἐν τῷ Μαλαχίᾳ «Ἄγγελον διαθήκης[2]» αὐτὸν ὀνομαζόμενον, ἔνθα λέγεται, «Καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ Ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε.[3]»

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Ἐκ τῆς α΄ τῶν Βασιλειῶν. Τῆς εὐχῆς Ἄννας.

«Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν· αὐτὸς κρινεῖ ἄκρα γῆς, καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας Χριστοῦ αὐτοῦ.[4]» Ὁ καταβὰς ἐκ τῶν οὐρανῶν Κύριος ὁ τοῦ Θεοῦ Λόγος, αὐτὸς πάλιν ἀναβέβηκεν εἰς οὐρανούς· καὶ ἀναβὰς ἐβρόντησεν τῇ θείᾳ ἑαυτοῦ δυνάμει τὸ εὐαγγελικὸν κήρυγμα, ὡς ἐξάκουστον αὐτὸ γενέσθαι ἐν ὅλῳ τῷ κόσμῳ· αὐτὸς δὲ κρινεῖ ἄκρα γῆς καὶ τοὺς μέχρι τούτων οἰκοῦντας, ὡς πᾶσαν εἰληφὼς τὴν κρίσιν παρὰ τοῦ Πατρός· ἀλλὰ καὶ ἔδωκεν ἰσχὺν τοῖς ἑαυτοῦ μὲν μαθηταῖς, ἀποστόλοις τε καὶ προφήταις, ἡμῶν δὲ βασιλεῦσι, καὶ ὕψωσε τὸ κέρας τοῦ Χριστοῦ αὐτοῦ, ἤτοι τοῦ λαοῦ, μετοχῇ τοῦ Χριστοῦ οὕτως ὀνομαζομένου, ἢ οὗ ἀνείληφεν ἀνθρωπίνου, οὗ κέρας ἦν ἡ θεότης ὑψωθεῖσα κατὰ τὸν ἱερὸν Ἀπόστολον· καὶ ἐν ὀγδοηκοστῷ δὲ ὀγδόῳ ψαλμῷ σαφῶς τὸ παραπλήσιον τῷ ἐνθάδε περὶ τοῦ Χριστοῦ ὁ Θεός φησιν, «Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.[5]»

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

«Καὶ ἦλθεν ἄνθρωπος Θεοῦ πρὸς Ἡλεί, καὶ εἶπεν, Τάδε λέγει Κύριος, Κύριος·[6]» καὶ ἐν τοῖς ἑξῆς· «Καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει· καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστόν, καὶ διελεύσεται ἐνώπιον Χριστοῦ μου πάσας τὰς ἡμέρας· καὶ ἔσται πᾶς ὁ περισσεύων ἐν οἴκῳ ἥξει προσκυνῶν αὐτῷ ὀβολοῦ ἀργυρίου, καὶ ἐν ἄρτῳ ἑνί, λέγων, Παράρριψόν με ἐπὶ μίαν τῶν ἱερατείων σου φαγεῖν ἄρτον.[7]» Οὐδεὶς ἄλλος ἢ μόνος ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου Ἰησοῦς Χριστὸς ὁ Σωτὴρ ἡμῶν, ὃν «ἔχομεν ἀρχιερέα μέγαν», κατὰ τὸν Ἀπόστολον, «διεληλυθότα τοὺς οὐρανούς[8]», πάντα τὰ ἐν τῇ καρδίᾳ τοῦ Πατρὸς πεποίηκεν «ὑπήκοος αὐτῷ γενέσθαι μέχρι καὶ

---

1. Ἡσ. 9, 5-6. 2. Μαλ. 3, 1. 3. Μαλ. 5, 1. 4. Α΄ Βασ. 2, 10. 5. Ψαλμ. 88, 25. 6. Α΄ Βασ. 2, 27. 7. Α΄ Βασ. 2, 35-36. 8. Ἑβρ. 4, 14.

θανάτου·[1]» ὅθεν καὶ ἀναστήσας αὐτὸν ὁ Πατήρ, οἰκοδόμησεν αὐτῷ οἶκον πιστόν, τὴν ἐκ λογικῶν καὶ ζώντων καὶ πιστῶν ὡς ἀληθῶς λίθων συνεστῶσαν Ἐκκλησίαν·[2] τούτῳ δὲ καὶ ἔρχονται προσκυνεῖν οἱ πιστεύσαντες εἰς αὐτόν, ὀβολοῦ ἀργυρίου μὴ ἀποστρεφομένου (όμενοι), μήτε σωματικῶς τὴν τὸν κοδράντην εἰς τὴν τῶν δεομένων ἐπικουρίαν συνεισφέρουσαν χήραν[3], μήτε μὴν κατὰ διάνοιαν τὴν ἐπὶ μόνην (η) τῇ πίστει ἐρηρεισμένην ψυχήν, ἢ τὴν κατὰ δύναμιν τῶν νοητῶν αὐτῆς ὑπαρχόντων συνεισφέρουσαν τὰ εἰς τὴν τῶν λοιπῶν οἰκοδομήν τε καὶ ὠφέλειαν συμβαλλόμενα· τά γ' οὖν «μωρὰ τοῦ κόσμου ἐξελέξατο» καὶ τὰ ἀσθενῆ καὶ πτωχά, καὶ «τὰ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα[4]» μὴ ὑπερφρονῶν, μηδὲ τὰς τοιάσδε ψυχάς· ἀλλ' οἷα φιλάνθρωπος Θεοῦ Λόγος καὶ ταύτας ἀποδεχόμενος τῆς προθυμίας, ἃς καὶ κρίσει θείᾳ κατὰ τὴν ἀξίαν ἐν διαφόροις μοναῖς τῶν ἱερατείων αὐτοῦ κατατάσσει, τοῦ παρ' ἑαυτοῦ ἄρτου τῆς ἀϊδίου ζωῆς καταξιῶν αὐτάς. Τὸ δὲ «Καὶ διελεύσεται ἐνώπιον Χριστοῦ μου πάσας τὰς ἡμέρας[5]», περὶ τῶν ἁγίων τῶν ἐν τῇ Ἐκκλησίᾳ εἴρηται, χριστῶν καὶ αὐτῶν προσαγορευομένων, κατὰ τό, «Μὴ ἅψησθε τῶν χριστῶν μοῦ·[6]» τούτοις γὰρ πρὸς τοῦ Σωτῆρος ἐλέγετο καὶ ἐν τῷ Εὐαγγελίῳ, «Ἰδού, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.[7]» Πλείονος δὲ σαφηνείας δεομένων τῶν τόπων, τούτοις ὡς οἷόν τε ἦν διὰ βραχέων εἰρημένοις ἀρκεσθησόμεθα.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Βασιλειῶν β'. Ὁ Κύριος διὰ Νάθαν τῷ Δαυὶδ μετὰ πολλὰ καὶ ταῦτά φησιν·

«Καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. Καὶ ἂν ἔλθῃ ἀδικία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν, καὶ ἐν ἀφαῖς υἱῶν ἀνθρώπων· τὸ δὲ ἔλεός μου οὐ μὴ ἀποστήσω ἀπ' αὐτῶν, καθὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα ἐκ προσώπου μου. Καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου· καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα.[8]» Τούτοις τὰ παραπλήσια καὶ ἐν ὀγδοηκοστῷ ὀγδόῳ εἴρηται ψαλμῷ· ἣν δ' ἂν Ἰουδαίοις ἄξιον ἀπορῆσαι κατὰ τοὺς τόπους, διὰ τίνα ἄρα αἰτίαν φήσουσιν τὸν Θεόν, ἤτοι τὸν Δαυίδ, ἢ τὸν ἐξ

1. Φιλιπ. 2, 8. 2. Πρβλ. Α' Πέτρ. 2, 5. 3. Πρβλ. Μάρκ. 12, 42. 4. Α' Κορ. 1, 27, 28. 5. Α' Βασ. 2, 35. 6. Ψαλμ. 104, 15. 7. Ματθ. 28, 20. 8. Β' Βασ. 7, 12-16.

αὐτοῦ βασιλεύσαντα Σολομῶντα· περὶ οὗ, ὡς εἰκός, ὑπολήψονται λέγειν τὴν προφητείαν υἱὸν πρωτότοκον θήσειν ἐπαγγέλλεσθαι, ἐν μὲν τῷ ψαλμῷ εἰρηκότα, «Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σύ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς·[1]» ἐν δὲ τῷ μετὰ χεῖρας κεφαλαίῳ, «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.» Καὶ μὴν κατ' οὐδὲν διενηνοχέναι τῶν λοιπῶν προφητῶν φήσειέ τις τὸν Δαυίδ, ὃς καὶ ἐξομολογεῖσθαι διὰ τὴν τοῦ Οὐρίου ἐδεῖτο λέγων, «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα·[2]» ἢ τὸν Σολομῶνα, ὃν καὶ ἐκκλῖναι ἀπὸ τοῦ Θεοῦ καὶ εἰδώλοις διὰ γυναικῶν ἐπιθυμίας προσκεκυνηκέναι ἡ ψιλὴ διδάσκει τῆς Γραφῆς ἱστορία· πῶς δὲ τοῦ Δαυὶδ ἢ τοῦ Σολομῶνος ἡ βασιλεία ἕως αἰῶνος «ἐνώπιον ἔστη τοῦ Θεοῦ, καὶ ὁ θρόνος ἀνωρθωμένος εἰς τὸν αἰῶνα», κατὰ τὴν φάσκουσαν ἐνταῦθα προφητείαν, καὶ κατὰ τὴν ἐν τῷ ψαλμῷ ὧδέ πως περιέχουσαν, «Ὤμοσα Δαυὶδ τῷ δούλῳ σου. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου·[3]» καὶ μεθ' ἕτερα φάσκουσαν, «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου.[4]» Καὶ πάλιν· «Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.[5]» Τὰ παραπλήσια δ' ἂν εὕροις καὶ ἐν τῷ Ἱερεμίᾳ, ἔνθα εἴρηται, «Ὅτι τάδε λέγει Κύριος· Οὐκ ἐξολοθρευθήσεται τῷ Δαυὶδ ἀνὴρ καθήμενος ἐπὶ θρόνου οἴκου Ἰσραήλ· καὶ τοῖς ἱερεῦσι καὶ τοῖς Λευίταις οὐκ ἐξολοθρευθήσεται ἀνὴρ ἐκ προσώπου μου, ἀναφέρων ὁλοκαυτώματα, καὶ θύων θυσίαν καὶ ποιῶν θυμίαμα πάσας τὰς ἡμέρας.» Ταῦτα γὰρ εἰ συνεξετάζοι τις τῇ τε παρούσῃ τῶν Ἰουδαίων καταστάσει καὶ ταῖς κατ' αὐτοὺς ἱστορίαις ἀπὸ τῆς Ἐζεκίου καὶ Ἰεχονίου βασιλείας, καθ' οὓς ἡ ἐκ Δαυὶδ περιεγράφη τῶν Ἰουδαίων βασιλεία ἐν τῷ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας καιρῷ, μεθ' ὃν οὐδαμῶς ἤρχθησαν ἢ ἐβασιλεύθησαν ὑπὸ τῶν ἐκ Δαυὶδ καταγόντων τὸ γένος εἰς ἔτι, μηδαμῶς ἁρμόζει ἤτοι τῷ Δαυὶδ ἢ καὶ τῷ Σολομῶνι τὰ λελεγμένα, ὡς ἐξ ἀνάγκης ἃ μὴ θέμις ψευδῆ διελέγχεσθαι συμβαίνειν τὴν μεθ' ὅρκων τοῦ Θεοῦ πρόρρησιν· εἴ γε μὴν ἀναφέροιμεν τὸ λεγόμενον τοῦ Δαυὶδ σπέρμα ἐπὶ τὸν ἐξ αὐτοῦ κατὰ σάρκα γενόμενον Χριστόν, σαφὲς πῶς εἰς τὸν αἰῶνα τοῦτο τὸ σπέρμα, τοῦτ' ἔστιν ὁ Χριστός, διαμενεῖ, καὶ πῶς ὁ θρόνος αὐτοῦ καὶ ἡ πνευματικὴ βασιλεία ἕως αἰῶνος ἐνώπιον ὑπάρχει τοῦ Πατρός, ἀνορθούμενος ὑπ' αὐτοῦ καὶ ἀνοικοδομούμενος κατὰ γενεὰν καὶ γενεὰν ἐν ταῖς τῶν πιστευόντων ἐπ' αὐτὸν ψυχαῖς. Τούτου δὲ τοῦ ἀποδεδομένου ἡμῖν σπέρματος Δαυὶδ διαμενεῖ ὁ θρόνος, ὡς ὁ τῆς

---

1. Ψαλμ. 88, 27-28. 2. Ψαλμ. 50, 6. 3. Ψαλμ. 88, 4-5. 4. Ψαλμ. 88, 36-37. 5. Ψαλμ. 88, 30.

δικαιοσύνης ἥλιος ἐναντίον τοῦ Πατρός, καὶ ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ· διὸ πρὸς αὐτὸν ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐν ἑτέρῳ ψαλμῷ λέλεκται· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.[1]» Ὁ Χριστὸς δὲ καὶ οἶκον τὴν Ἐκκλησίαν οἰκοδόμησε τῷ Πατρὶ ἐκ λίθων ζώντων καὶ νοερῶν, ἁγίων καὶ ἐναρέτων ψυχῶν, ναὸν ἐγείρας πολὺ κρείττονα καὶ διαφέροντα τῆς ὑπὸ Σολομῶνος προσκαίρου καὶ μηκέθ' ὑπαρχούσης οἰκοδομῆς. Τούτῳ δὲ καὶ ὁ Ἀπόστολος μαρτυρεῖ προσήκειν τήν, «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν[2]», φωνήν, ἐντεῦθεν αὐτὴν εἰληφὼς ἐν τῇ πρὸς Ἑβραίους συντάξει, ἔνθα φησίν· «Τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε·[3]» καὶ πάλιν, «Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν.» Τὰ δ' ἀπὸ τοῦ, «καὶ ἂν ἔλθῃ ἀδικία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν», περὶ τοῦ εἰς Χριστὸν πιστεύσαντος λαοῦ εἴρηται· ἐπεὶ καὶ σῶμα Χριστοῦ ἡ Ἐκκλησία αὐτοῦ χρηματίζει, κατὰ τὸν Ἀπόστολον.[4] Ὅτι δὲ περὶ τῶν πεπιστευκότων εἰς αὐτὸν τὰ τῆς ἐπισκοπῆς εἴρηται, ἐπίστησον ἐπιμελῶς λελεγμένῳ πληθυντικῶς τῷ, «Τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτῶν·» σαφῶς καὶ ἐν τῷ ψαλμῷ τὰ παραπλήσια τοῖς ἐνθάδε περὶ τῶν υἱῶν εἴρηται τοῦ προφητευομένου, ἐν τῷ «Καὶ ἐὰν ἐγκαταλείπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν, ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν.[5]» Ὅρα δὲ πῶς ῥάβδους ἀνδρῶν καὶ ἀφὰς υἱῶν ἀνθρώπων τοὺς κατὰ καιρὸν ὠνόμασεν ὁ λόγος διωγμούς· πλὴν πολλαὶ τοῦ Θεοῦ αἱ παρακλήσεις, καὶ αἱ διὰ τῶν Γραφῶν παραμυθίαι, μὴ ἀπαυδᾶν ἡμῖν ἐπιτρέπουσαι ἐπὶ τοῖς καθ' ἡμῶν ἐνεργουμένοις κατὰ καιροὺς διωγμοῖς· ὡς γὰρ ἐπισκέψεσθαι διὰ ῥάβδου τὸν τοῦ Χριστοῦ προεῖπε λαὸν ἁμαρτόντα, οὕτω καὶ τὸ μὴ ἀποστήσειν αὐτοῦ τὸ ἔλεος προϋπέσχηται εἰπών, «Τὸ δὲ ἔλεός μου οὐ μὴ ἀποστήσω ἀπ' αὐτῶν, καθὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα·» ζητήσει δ' ἐπὶ τίνας ἦν πρὸ τοῦ ἐξ ἐθνῶν λαοῦ τὸ τοῦ Θεοῦ ἔλεος, ὅπερ παντελῶς ἀπ' αὐτῶν ἀπέστησας· οὗ τὸ ὅμοιον ποιήσειν ὑπισχνεῖται κατὰ τὸν τοῦ Χριστοῦ λαόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

«Καὶ ἐλάλησε Δαυὶδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης.[6]» Εἶτα ἐν τοῖς ἑξῆς· «Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος

---

1. Ψαλμ. 44, 7-8. 2. Ἑβρ. 1, 5. 3. Ἑβρ. 1, 5. 4. Κολ. 1, 24. 5. Ψαλμ. 88, 31-34. 6. Β' Βασ. 22, 1.

ὑποκάτω τῶν ποδῶν αὐτοῦ.[1]» Καὶ πάλιν μετὰ ταῦτα, «Ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν· λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου· οἱ υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι· οἱ υἱοὶ ἀλλότριοι ἀπορριφήσονται· καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν.[2]» Ταῦτα εἴρηται σχεδὸν αὐτοῖς ῥήμασι καὶ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ, εὐκαιρότερον δ' ἂν ἐξετάζοιτο, ἐπειδὰν ἀπὸ τῶν Ψαλμῶν τὰς ἐκλογὰς ἀναλεγώμεθα· νῦν μέντοιγε παρασημειούμεθα αὐτὸ μόνον, ὡς ὅτι τὸ μέν, «Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη» νοοῖτ' ἂν περὶ τῆς ἐξ οὐρανῶν καταβάσεως τοῦ Χριστοῦ· τὸ δέ, «Ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ,» ἐκ προσώπου αὐτοῦ λέλεκται περὶ τῶν ἐκ περιτομῆς μὴ πεπιστευκότων εἰς αὐτόν, περὶ ὧν καὶ ἐν Ἡσαΐᾳ φησίν, «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα.[3]» Καὶ ὅτι τὸ μέν, «Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν», καὶ τό, «Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου», περὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας προφητεύεται· τὸ δέ, «Υἱοὶ ἀλλότροι ἐψεύσαντό μοι», περὶ τῶν ἀθέων αἱρέσεων τὰ ψευδῆ περὶ αὐτοῦ τοῦ Σωτῆρος καὶ τοῦ Θεοῦ τῶν ὅλων ἀναπεπλακότων, οὓς καὶ «ἀπορριφήσεσθαί» φησιν ὁ λόγος «ἀποσφαλέντας τῶν συγκλεισμῶν ἑαυτῶν», τουτέστιν ἀποπεπτωκότας τῶν ὑπούλων καὶ ἀποκεκρυμμένων αὐτῶν ψευ(δο)δοξημάτων.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Ἐκ τῆς γ' τῶν Βασιλειῶν.

«Καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαυὶδ τῷ πατρί μου· ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς, εἰ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσει σοι;[4]» Τὰ παραπλήσια τούτοις καὶ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων ὑπὸ τοῦ Σολομῶνος εἴρηται ἐν τῇ πρὸς τὸν Θεὸν εὐχῇ.[5] Σαφῶς οὖν καὶ ἐνθάδε προφητεύεται ὁ Θεὸς κατοικήσειν μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς· ὃ καὶ αὐτὸ πέρας εἴληφε καθ' ἡμᾶς ἐπὶ τῇ Χριστοῦ γενομένῃ παρουσίᾳ, καθ' ἣν ὁ Θεὸς Λόγος ἐνανθρωπήσας συνδιέτριψε τῷ γένει τῶν ἀνθρώπων.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ἐκ τῆς α' τῶν Παραλειπομένων. Ὁ Κύριος διὰ Νάθαν πρὸς τὸν Δαυὶδ μεθ' ἕτερα καὶ ταῦτα λέγει.

«Καὶ ἔσται ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ,

---

1. Β' Βασ. 22, 10. 2. Β' Βασ. 22, 44-46. 3. Ἡσ. 65, 2. 4. Γ' Βασ. 8, 26-27. 5. Πρβλ. Β' Παρλ. 6, 17.

ὃς ἔσται ἐκ τῆς κοιλίας σου· καὶ ἑτοιμάσω τὴν βασιλείαν σου· αὐτὸς οἰκοδομήσει μοι οἶκον· καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ· ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· καὶ τὸ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ, ὡς ἀπέστησα ἀπὸ τῶν ἔμπροσθέν σου· καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ αὐτοῦ ἕως αἰῶνος, καὶ ὁ θρόνος αὐτοῦ ἀνωρθωμένος ἕως αἰῶνος.[1]» Καὶ ταῦτα, ὅμοια ὄντα τοῖς ἐκ τῆς δευτέρας τῶν Βασιλειῶν προεκτεθείσης, σημειωσάμενοι, διὰ τὸ μὴ πολλὴν εἶναι τὴν τούτων πρὸς ἐκεῖνα παραλλαγὴν ἀρκεσθησόμεθα τοῖς εἰς ἐκεῖνα εἰρημένοις.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ἐκ τῆς β' τῶν Παραλειπομένων.

«Καὶ νῦν, Κύριε ὁ Θεὸς Ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαυίδ, ὅτι ἀληθῶς κατοικήσει ὁ Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς, εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι.[2]» Καὶ εἰς ταῦτα εἰρηκότες ἅπαξ ὅτε τὰ ἐκ τῆς γ' τῶν Βασιλειῶν ἐξεθέμεθα, νῦν οὐ δευτερώσομεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ἐκ τοῦ Ἔζρα. Ὁ Ζοροβάβελ ἐν τῇ δημηγορίᾳ ταῦτά φησιν.

«Ἄνδρες, οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες; μεγάλη ἡ γῆ καὶ ὑψηλὸς ὁ οὐρανός· καὶ ταχὺς τῷ δρόμῳ ὁ ἥλιος· ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ πάλιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν ἡμέρᾳ μιᾷ· οὐχὶ μέγας ὃς ταῦτα ποιεῖ, καὶ ἡ ἀλήθεια μεγάλη, καὶ ἰσχυρὰ παρὰ πάντα; πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ καὶ ὁ οὐρανὸς αὐτὴν εὐλογεῖ· καὶ πάντα τὰ ἔργα σείεται καὶ τρέμει· καὶ οὐκ ἔστι μετ' αὐτοῦ οὐδ' ἓν ἄδικον· ἄδικος ὁ οἶνος· ἄδικος ὁ βασιλεύς· ἄδικοι αἱ γυναῖκες· ἄδικοι οἱ υἱοὶ τῶν ἀνθρώπων· καὶ ἄδικα τὰ ἔργα αὐτῶν πάντα τὰ τοιαῦτα· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια· καὶ ἐν τῇ ἀδικίᾳ αὐτῶν ἀπολοῦνται· καὶ ἡ ἀλήθεια μένει εἰς τὸν αἰῶνα, καὶ ἰσχύει εἰς τὸν αἰῶνα, καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ οὐκ ἔστι παρ' αὐτῇ λαβεῖν πρόσωπα οὐδὲ διαφορά· ἀλλὰ τὰ δίκαια ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν· ἀπέχεται καὶ τοῖς εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς· καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐθὲν ἄδικον· καὶ αὐτῆς ἡ ἰσχὺς καὶ τὸ βασίλειον· καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλειότης πάντων τῶν αἰώνων· εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας.[3]» Ἐπεὶ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, Λόγος ὢν τοῦ Θεοῦ, φησί, φέρεται εἰρηκώς, «Ἐγώ εἰμι ἡ ἀλήθεια[4]», εἰκότως τὰ προκείμενα παρατεθεί-

---

1. Α' Παρλ. 17, 11-14. 2. Β' Παρλ. 6, 17-18. 3. Α' Ἔσδρ. 4, 34-40. 4. Πρβλ. Ἰω. 14, 6.

μεθα περὶ τῆς ἀληθείας δηλοῦντα, ὡς ἄρα ὑπόστασίν τινα παρὰ τὸν Πατέρα καθ' ἑαυτὴν ἔχει· «Μένει γάρ, φησίν, ἡ ἀλήθεια καὶ ἰσχύει εἰς τὸν αἰῶνα, καὶ ζῇ καὶ κρατεῖ· καὶ οὐκ ἔστι παρ' αὐτῇ λαβεῖν πρόσωπα», καὶ τὰ ἑξῆς, οἷς ἐπιφέρει περὶ τοῦ Πατρὸς Θεοῦ τυγχάνοντος καὶ αὐτοῦ τοῦ Θεοῦ Λόγου καὶ τῆς ἀληθείας, «εὐλογητὸς ὁ Θεὸς τῆς ἀληθείας», ᾧ καὶ αὐτοὶ προσθήσομεν τό, Ἀμήν.

Ἀλλὰ γὰρ ταῦτα καὶ ἀπὸ τῆς τοῦ Ἔζρα Γραφῆς· ἀπό γε μὴν τῆς Ἐσθὴρ οὐδ' ἓν εὕρομεν περὶ τοῦ προκειμένου· μετὰ δή τοι τὰς ἀπὸ τῶν ἱστορικῶν Γραφῶν ἐκλογὰς μετίωμεν ἐπὶ τὰ στιχήρη, ὅτι δὴ ταῦτα τοῖς χρόνοις τῶν λοιπῶν προφητειῶν ἡγεῖται· τούτων δὲ πρῶτα ἴδωμεν τὰ ἀπὸ τῶν Ψαλμῶν.

ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΕΦΑΛΑΙΑ ΕΝ ΤΩ͂ Β' ΤΩΝ ΠΕΡΙ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΡΟΦΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ

Ἀπὸ τῶν Ψαλμῶν.

α'. *Πρώτου ψαλμοῦ περὶ τοῦ ἀνεπιλήπτου βίου τοῦ Χριστοῦ· καὶ περὶ τῆς ἐπ' ἄκρον ἀρετῆς πολιτείας αὐτοῦ.*
β'. *Περὶ τοῦ πάθους τοῦ Χριστοῦ, καὶ τῆς οὐρανίου βασιλείας αὐτοῦ, καὶ τῆς πρὸς αὐτὸν περὶ τῶν ἐθνῶν τοῦ Πατρὸς ἐπαγγελίας.*
γ'. *Περὶ τοῦ πάθους καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Χριστοῦ.*
δ'. *Περὶ τῆς δι' αὐτοῦ πᾶσιν ἀνθρώποις ἐπισπαρείσης θεογνωσίας.*
ε'. *Περὶ τοῦ θανάτου τοῦ Χριστοῦ, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, καὶ ὡς τῶν ἐθνῶν νομοθέτης ἀνείρηται.*
ς'. *Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας.*
ζ'. *Περὶ τοῦ ἀνεπιλήπτου βίου τοῦ Χριστοῦ.*
η'. *Περὶ τῆς ἐξ οὐρανῶν καθόδου τοῦ Χριστοῦ, καὶ τῆς ἐπὶ τὰ ἔθνη καὶ τὸν ἀγνῶτα λαὸν καταστάσεως αὐτοῦ, τῆς τε τῶν Ἰουδαίων ἀντιλογίας.*
θ'. *Περὶ τοῦ τῶν ἀποστόλων εἰς πᾶσαν τὴν οἰκουμένην κηρύγματος, καὶ περὶ τοῦ Χριστοῦ ὡς περὶ νυμφίου.*
ι'. *Περὶ τοῦ Χριστοῦ ὡς περὶ βασιλέως.*
ια'. *Περὶ τοῦ Χριστοῦ πάλιν ὡς περὶ βασιλέως.*
ιβ'. *Περὶ τῶν κατὰ τὸ πάθος τοῦ Χριστοῦ, καὶ περὶ τῶν ἀποστόλων αὐτοῦ, καὶ τῆς τῶν ἐθνῶν εἰς τὸν Θεὸν ἐπιστροφῆς, καὶ περὶ γενεᾶς ἑτέρας καὶ λαοῦ ἥξοντος.*
ιγ'. *Περὶ τῆς εἰς οὐρανοὺς ἀναλήψεως αὐτοῦ.*
ιδ'. *Περὶ τοῦ Χριστοῦ καὶ τῆς ἀναστάσεως αὐτοῦ.*
ιε'. *Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀγαπητοῦ, καὶ τῆς συντριβῆς τοῦ προτέρου λαοῦ καὶ τῆς Ἱερουσαλήμ.*
ις'. *Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ.*
ιζ'. *Περὶ τῶν κατὰ τὸ πάθος τοῦ Χριστοῦ.*
ιη'. *Ὡς διὰ τοῦ Θεοῦ Λόγου τὰ σύμπαντα δεδημιούργηται.*
ιθ'. *Ὡς ἀντὶ θυσιῶν καὶ τῆς πάλαι τυπικῆς λατρείας τὸ σῶμα τοῦ Χριστοῦ ὑπὲρ ἁπάντων προσενήνεκται.*
κ'. *Περὶ τοῦ προδότου Ἰούδα καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ.*
κα'. *Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀγαπητοῦ, καὶ ὡς Θεὸς βασιλεύς, καὶ ὡς Χριστὸς ὁ αὐτὸς ἀναγορεύεται.*
κβ'. *Περὶ τῆς ἀναλήψεως τοῦ Χριστοῦ, καὶ τῆς τῶν ἐθνῶν κλήσεως.*

κγ'. Περὶ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τοῦ Χριστοῦ ὡς περὶ ἀνθρώπου.
κδ'. Περὶ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, καὶ τοῦ ἐλέγχου τῶν ἐκ περιτομῆς.
κε'. Περὶ τοῦ προδότου Ἰούδα.
κς'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ βασιλέως.
κζ'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀνθρώπου, καὶ περὶ Πατρὸς καὶ Υἱοῦ, καὶ δύο διαθηκῶν.
κη'. Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, καὶ τοῦ τῶν ἀποστόλων Εὐαγγελίου, καὶ περὶ τῶν ἐθνῶν.
κθ'. Περὶ τῶν κατὰ τὸ πάθος τοῦ Χριστοῦ, καὶ τῆς ἀποβολῆς τοῦ Ἰουδαίων λαοῦ.
λ'. Περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, καὶ περὶ τῆς ἡξούσης γενεᾶς.
λα'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ βασιλέως, καὶ περὶ τῆς ἐξ αἰῶνος καὶ εἰς ἄπειρον βασιλείας αὐτοῦ, καὶ τῆς τῶν ἐθνῶν ὑποταγῆς.
λβ'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀνδρὸς καὶ υἱοῦ ἀνθρώπου.
λγ'. Περὶ τῆς ἐπιφανείας τοῦ Χριστοῦ.
λδ'. Περὶ τοῦ αἰωνίου θρόνου τοῦ Χριστοῦ, καὶ ὡς ἐκ σπέρματος ἔσται Δαυίδ· καὶ περὶ τῶν κατὰ καιροὺς διωγμῶν τῆς Ἐκκλησίας.
λε'. Περὶ τῆς τῶν ἐθνῶν κλήσεως καὶ τοῦ Χριστοῦ.
λς'. Περὶ τῆς ἐξ οὐρανῶν τοῦ Λόγου ἀποστολῆς· καὶ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ ἐρημίας τοῦ προτέρου λαοῦ.
λζ'. Περὶ τοῦ προδότου, καὶ τῆς κατὰ τοῦ Χριστοῦ ἐπιβουλῆς.
λη.' Περὶ δύο Κυρίων Πατρὸς καὶ Υἱοῦ, καὶ περὶ τῆς πρὸ αἰῶνος οὐσιώσεως τοῦ Χριστοῦ, καὶ τῆς ἀϊδίου ἀρχιερωσύνης αὐτοῦ καὶ τοῦ πάθους.
λθ'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀνδρός.
μ'. Περὶ τοῦ Χριστοῦ ὡς περὶ λίθου· καὶ περὶ τοῦ Ὡσαννᾶ.
μα'. Περὶ τῆς Χριστοῦ βασιλείας, καὶ ὡς ἔσται ἀπὸ Δαυίδ.
μβ'. Περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως.
μγ'. Περὶ τῆς ἐξ οὐρανῶν καθόδου τοῦ Χριστοῦ.
μδ'. Περὶ τῆς ἐξ οὐρανῶν ἀποστολῆς τοῦ Θεοῦ Λόγου.
με'. Ὡς διὰ τοῦ Θεοῦ Λόγου τὰ σύμπαντα δεδημιούργηται.

ΛΟΓΟΣ Β΄.

Περιγράψαντες τὰς ἀπὸ τῶν ἱστορικῶν Γραφῶν περὶ τοῦ Σωτῆρος ἡμῶν μαρτυρίας, ἑξῆς ἐκείναις τὰς ἀπὸ τῶν στιχηρῶν ἐν δευτέρᾳ ταύτῃ συντάξει τῶν Ἐκλογῶν ἀπανθισάμενοι προσθήσομεν· ὅτι δὴ ταῦτα τοῖς χρόνοις τῶν λοιπῶν προφητειῶν ἡγεῖται. Καὶ δὴ πρώτας τὰς ἀπὸ τῆς βίβλου τῶν Ψαλμῶν ἐπισκεψώμεθα.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ψαλμοῦ α΄.

«Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.[1]» Καὶ τίνα ἄν τις ἔχοι ἀποδεικνύναι εἰς τοσαύτην ἐξέσω (ἐξαίσιον;) ἀρετὴν ἐληλακότα ὡς ἐν μηδενὶ τρόπῳ ἧς δηποτοῦν περιπεσεῖν ἁμαρτίας, ὅπερ σημαίνειν μοι δοκεῖ τό, «Οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν», καὶ τό, «Οὐκ ἔστη ἐν ὁδῷ ἁμαρτωλῶν», τό τε «Ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισε·» δι' ὧν δηλοῦσθαι νομίζω τὸ πάντῃ ἄγευστον ἁμαρτίας τοῦ μακαριζομένου· τὸ γὰρ μὴ μόνον ἐν τοῖς τοιοῖσδε μὴ πορευθῆναι, μηδ' ὡσπερεὶ βαδίσαντα προκόψαι, ἀλλὰ γὰρ μηδὲ καθεσθῆναι, μηδὲ μὴν ὅλως ἐπιβῆναι τὴν ἀρχήν, μηδὲ στῆναι ἐν αὐτοῖς, πῶς οὐ θαυμαστόν τι χρῆμα καὶ σπάνιον τυγχάνει; Παρίσταται δὲ μᾶλλον τῇ διανοίᾳ παρατατικῶς εἰρημένα τὰ τοῦ δηλουμένου ἀνδρὸς ἐγκώμια· οὔτε γὰρ ἐπορεύθη, φησίν, οὔτ' ἔστη, οὔτ' ἐκάθισεν ἐν τοῖς τοιοῖσδε τῆς κακίας εἴδεσι, δι' ὧν ἐμφαίνεται ἡ ἐκ τοῦ ἀεὶ καὶ διὰ παντὸς ἐνάρετος τοῦ μακαριζομένου κατάστασις. Πολλοὺς μὲν οὖν τοὺς ἐκ προσοχῆς καὶ ἀσκήσεως κατωρθωκότας ἴδοι ἄν τις, οὐδένα γε μὴν τοιοῦτον ὁποῖον ὁ ψαλμὸς διαγράφει· εἰ δὲ θεωρήσειέ τις ὁπηλίκον ἐστὶν τὸ πρὸς πάντα εὐροεῖν καὶ κατὰ Θεὸν εὐοδοῦσθαι ἐν μηδενὶ σφαλλόμενον, μηδ' ἀποπίπτοντα τοῦ κατ' ἀρετὴν σκοποῦ, ὡς κατὰ τοῦτο λέγεσθαι ἐν τῷ ψαλμῷ τό, «Καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται·[2]» ἔτι δὲ εἰ κατανοήσειεν ὁποῖόν ἐστι τὸ ἀνακεκρᾶσθαι τινὰ ὁμοδοξοῦν ἔχοντα τὸ ἴδιον αὐτοῦ θέλημα τὸ τοῦ Κυρίου νόμῳ, τό τε μελετᾶν ἐν αὐτῷ μὴ μόνον δι' ὅλης ἡμέρας ἀλλὰ καὶ διὰ τῆς νυκτὸς ἐγρηγορόσι τοῖς τῆς διανοίας ὀφθαλμοῖς εἰς αὐτὸν ἐνορῶντα, καὶ κατ' αὐτὸν οὐ μόνον τοῖς μεθ' ἡμέραν ἔργοις τε καὶ λόγοις, ἀλλὰ καὶ ταῖς κατὰ τὸν ὕπνον ἐνθυμήσεσι καὶ φαντασίαις ἐνεργοῦντα, εἴσεται τὸ μέγεθος τοῦ ταῦτα κατωρθωκέναι πρὸς

---

1. Ψαλμ. 1, 1-2. 1. Ψαλμ. 1, 3.

τοῦ θείου Πνεύματος μαρτυρουμένου. Ἀλλ' εἰ καὶ πᾶσαν ὁμολογουμένως τὴν ἀνθρωπείαν ὑπερακοντίζει φύσιν τὰ λελεγμένα, ἑνὶ δ' οὖν ἀνδρὶ μόνῳ ἐφαρμόζοι ἂν τῷ γενομένῳ ἐκ σπέρματος Δαυὶδ τὸ κατὰ σάρκα Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ καὶ Σωτῆρι ἡμῶν, ᾧ μόνῳ πρὸς τοῦ ἐν Ἡσαΐᾳ θείου Πνεύματος μεμαρτύρηται, «ὅτι μὴ ἁμαρτίαν ἐποίησε, μηδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[1]» Τὸ δ' ἐπιδεδεγμένον τῆς ἐκδοχῆς παρίστησιν ἡ κατὰ τὸ Ἑβραϊκὸν ἔντευξις ἐπιτετηρημένως οὕτως ἔχουσα· «Μακάριος ὁ ἀνήρ», μετὰ τῆς ἄρθρου προσθήκης· καὶ ἔπρεπέν γε τὸν κατὰ σάρκα τοῦ Σωτῆρος ἡμῶν χρηματίσαντα πατέρα Δαυίδ, ἐπαγγελίαν εἰληφότα περὶ τοῦ ἐκ σπέρματος αὐτοῦ τεχθήσεσθαι τὸν Χριστόν, τούτῳ τὴν ἀπαρχὴν τῆς ἑαυτοῦ προφητείας ἀναθεῖναι. Ὅτῳ δὲ φίλον διαγνῶναι τὸ ἀκριβὲς τῆς ἐπὶ τὸν Σωτῆρα τῶν ἐν τῷ ψαλμῷ λεγομένων ἀναφορᾶς, τοῖς εἰς αὐτὸν ὑπομνηματισαμένοις ἐντυχὼν εἴσεται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ψαλμοῦ δευτέρου.

«Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[2]» Ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι καὶ ταύτην πεπληρῶσθαι τὴν προφητείαν οἱ τοῦ Πέτρου καὶ Ἰωάννου τὰ κατ' αὐτοὺς παράδοξα διηγουμένων ἀκούσαντες ἐμαρτύρησαν. Εὐχαριστήσαντες γὰρ τοῖς ἐφ' οἷς ἤκουον θαυμασίοις τοῖς προεκτεθεῖσι ῥητοῖς ἐπήγαγον λέγοντες· «Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸ αὐτὸ ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ.[3]» Οὐ μόνοι δὲ ἄρα οἱ κατ' ἐκεῖνο καιροῦ ἐπιβουλεύσαντες τῷ Σωτῆρι ἡμῶν συνήχθησαν κατ' αὐτοῦ, ἀλλὰ καὶ οἱ καθεξῆς ἐξ ἐκείνου καὶ δεῦρο βασιλεῖς καὶ ἄρχοντες, ὅλα τε ἔθνη καὶ λαοί, διὰ τοῦ βλασφημεῖν αὐτὸν καὶ ἐπιβουλεύειν αὐτοῦ τῇ διδασκαλίᾳ. Πεπεῖσθαι δὲ χρὴ μὴ μόνον τοὺς ἐν ἀνθρώποις ὁρατοὺς βασιλεῖς καὶ ἄρχοντας ἐπιβεβουλευκέναι αὐτῷ, πολὺ δὲ μᾶλλον τοὺς νοητοὺς καὶ ἀοράτους ἄρχοντας τοῦ αἰῶνος τούτου, οἳ καὶ τότε ἐνήργησαν καὶ εἰς ἔτι νῦν ἐνεργοῦσι, τά τε ἔθνη καὶ τοὺς κενὰ καὶ εἰς μάτην τὸν τοῦ Θεοῦ νόμον μελετήσαντας λαοὺς τοὺς ἐκ περιτομῆς, οὐ μόνον κατὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ βουλευσαμένους, ἀλλὰ δι' αὐτοῦ καὶ κατὰ τοῦ πέμψαντος αὐτὸν Πατρός· περὶ ὧν ἁπάντων ἐν τῷ ψαλμῷ ἐπιφέρεται τό, «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.[4]» Οἷς ἑξῆς αὐτὸς ὁ Χριστὸς τὴν μετὰ τὸ πάθος

1. Ἡσ. 53, 9. 2. Ψαλμ. 2, 1-2. 3. Πράξ. 4, 27. 4. Ψαλμ. 2, 4-5.

γεγενημένην περὶ αὐτὸν οἰκονομίαν παιδεύων ἡμᾶς φησιν, «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.[1]» Οὐ χρὴ μέντοιγε κατὰ τὰς Ἰουδαίων χαμαιπετεῖς ὑπολήψεις τὴν τοῦ Χριστοῦ βασιλείαν ὁμοίαν ταῖς τῶν ἀνθρώπων ἡγεῖσθαι ἐπὶ τὸ Σιὼν ὄρος σωματικὸν συστησομένην· πρός γ' οὖν τὸν ἐρωτήσαντα αὐτὸν εἰ βασιλεὺς τυγχάνει, ἀπεκρίνατο λέγων, «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου·[2]» ὅθεν δὴ καὶ βασιλείαν οὐρανῶν ἐπήγγελτο τοῖς πεπιστευκόσιν εἰς αὐτόν, καὶ τὸ Σιὼν δὲ ὄρος ἐπουράνιον ὑπάρχειν ἐδίδαξεν οὐ μόνος ὁ Ἀπόστολος, ἀλλὰ καὶ πλεῖσται ἄλλαι προφητεῖαι. Ὁ γ' οὖν Μιχαίας προειπὼν ὡς ἄρα διὰ τὰς ἀσεβείας τοῦ προτέρου λαοῦ, «Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ[3]», ἑξῆς περὶ ἑτέρας Σιὼν καὶ Ἱερουσαλὴμ ὁμοίως ἐπιφέρει, λέγων· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ἥξουσιν ἐπ' αὐτῷ λαοί, καὶ πορεύσονται ἔθνη πολλά, ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ.[4]» Περὶ τούτου ἄρα εἴρηται καὶ ἐνθάδε ὑπὸ τοῦ ὄρους τοῦ Χριστοῦ, «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ·» ὑπὸ τίνος δὲ κατεστάθη; δῆλον ὅτι ὑπὸ τοῦ φήσαντος πρὸς αὐτὸν Πατρὸς τό· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε·[5]» καὶ τό· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[6]» Καὶ ὅτι γε ἀληθὴς ἡ προφητεία καὶ ἀψευδὴς ἡ ὑπόσχεσις, πάρεστι διαγνῶναι ἀπὸ τῶν ἐν οὕτω βραχεῖ χρόνῳ προσεληλυθότων ἐκ παντὸς ἔθνους τῇ διὰ τοῦ Σωτῆρος ἡμῶν θεοσεβείᾳ· ἢ λεγέτωσαν οἱ πρὸς τὴν ἐνέργειαν ἀντιβλέπειν ἀναιδῶς τολμῶντες, τίνι ἂν ἔχοιεν ἐφαρμόζειν μὴ παραδεχόμενοι ταῦθ' οὕτως ἔχειν τὴν προφητείαν; Δαυὶδ μὲν γὰρ τὸν βασιλέα, περὶ οὗ ταῦτά τινες ᾠήθησαν λέγεσθαι, οὐχ οἷοί τε ἂν εἶεν παραστῆσαι τοιάδε τινὰ πεπονθότα, ὡς ἀρχόντων καὶ βασιλέων, ἐθνῶν τε καὶ λαῶν ἐπιβεβουλευκότων αὐτῷ· πότε δὲ ἢ καὶ ἐπὶ πηλίκοις ἀνδραγαθήμασι εἶπεν ὁ Κύριος τῷ Δαυίδ, «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε;» Πῶς δὲ καὶ τό, «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς», λέγοιτ' ἂν ὡς πρὸς αὐτὸν σαφῶς περιορισθείσης αὐτοῦ τῆς βασιλείας ἐπὶ μόνον τὸν Ἰσραὴλ καὶ τοὺς τῆς Ἰουδαίας ὅρους; Διὰ τί δὲ καὶ οὐ προσίενται τὸν ἐληλυθότα Χριστόν, ἀποκρινέσθωσαν· ἆρά γε ἐπειδὴ πέπονθεν, ἕτερον τοίνυν προσδοκᾶν αὐτοὺς ἀνάγκη μηδὲν τοιοῦτον ὁποῖον οὗτος πεισόμενον; Καὶ πῶς ἂν πληρωθεῖεν αἱ προφητεῖαι πλεῖστα ὅσα παθεῖν τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ ἐν ἑτέροις μὲν πλείοσιν, οὐχ ἥκιστα δὲ

---

1. Ψαλμ. 2, 6-7. 2. Ἰω. 18, 36. 3. Μιχ. 3, 12. 4. Μιχ. 4, 1-2. 5. Ψαλμ. 2, 7. 6. Ψαλμ. 2, 8.

καὶ ἐν τῷ μετὰ χεῖρας προλέγουσαι ψαλμῷ; Ἆρα δὲ χρὴ νομίζειν ἀθεεὶ τὴν περὶ τοῦ τῶν ὅλων Θεοῦ διδασκαλίαν ἐνεσπαρκέναι τοῦτον τῇ οἰκουμένῃ· ἔστι δὲ κἂν ἐπινοῆσαι ἀνθρωπίνην ὁρμὴν καὶ ψιλὴν τοῦ τυχόντος ἐπιβολὴν τοσοῦτον ἰσχῦσαί τε καὶ δυνηθῆναι, ὡς διὰ μόνης τῆς αὐτοῦ διδασκαλίας ἄνευ θεότητος συνεργούσης παντοδαπὰς ἀκροατῶν διαθεῖναι ψυχὰς περὶ τὸν τῶν ὅλων Θεὸν ταῦτα πεῖσαι πάλαι πρότερον, καὶ εἰσέτι νῦν πείθειν καταλιπεῖν μὲν ἔθη πάτρια, βίον τε ἄθεσμον, καὶ ἀνήμερον, καὶ ἀκόλαστον, θεοσεβείᾳ δὲ μόνῃ προσέχειν, καὶ ταύτην οὐ μόνον τῆς ὑπαρχούσης οὐσίας, ἀλλὰ καὶ δι' αὐτοῦ τοῦ πᾶσι περιποθήτου ζῆν προτιμᾶν; Ἀλλ' οὐκ οἴομαί τινα τῶν κἂν μετρίως εὐγνωμονεῖν ἐθελόντων μὴ οὐχὶ συνομολογεῖν τὰ τηλικαῦτα μετὰ συνεργούσης θείας καὶ ὑπὲρ ἀνθρώπων δυνάμεως διὰ τοῦ Σωτῆρος ἡμῶν γεγονέναι· ἐξ ὧν ὁμοῦ μὲν καὶ ἡ θεότης ἀποδείκνυται τοῦ ἐνανθρωπήσαντος Κυρίου, ὁμοῦ δὲ καὶ τὰ τεκμήρια σαφῶς παρίσταται τοῦ εἰληφέναι αὐτὸν ὑπὸ τοῦ Πατρὸς «τὰ ἔθνη κληρονομίαν, καὶ τὴν κατάσχεσιν αὐτοῦ τὰ πέρατα τῆς γῆς», ἀκολούθως τῇ μετὰ χεῖρας προφητείᾳ. Ὅλα δὲ τὰ κατὰ τὸν ψαλμὸν διηγεῖσθαι οὐ τοῦ παρόντος τυγχάνει καιροῦ, μάλιστα ὅτε πληρεστάτης ἤδη τετύχηκε διηγήσεως.

ΚΕΦΑΛΑΙΟΝ Γ'.
Ψαλμοῦ γ'.

Καὶ τὸν τρίτον ψαλμὸν ἐπὶ τὸν Χριστὸν ἐκλαμβάνειν εὐχερές, ἀκολούθως τοῖς πρὸ αὐτοῦ διδάσκοντα τὰ περὶ τῆς κατ' αὐτοῦ ἐπιβουλῆς διὰ τοῦ, «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; [1]» καὶ τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ, ἃ καὶ δηλοῦται διὰ τοῦ, «Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.[2]» Ἁρμόσειε δ' ἂν τῷ Χριστῷ καὶ ἕκαστος τοῦ ψαλμοῦ στίχος τῆς προσηκούσης τυχὼν ἐξηγήσεως· ἔχει δὲ λόγον καὶ τὸ τρίτον αὐτὸν τεταγμένον τὰ περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου θεσπίζειν ἀκολούθως ταῖς πρὸ αὐτοῦ προφητείαις· ὁ μὲν γὰρ πρῶτος, καθὼς ἀποδεδώκαμεν, τὸν ἄληπτον βίον καὶ τὴν ἄνευ ἁμαρτίας αὐτοῦ πολιτείαν διδάσκει· ὁ δεύτερος τὰ κατὰ τὸ πάθος· τούτοις τοιγαροῦν καὶ ὁ τρίτος ἑξῆς τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ θεσπίζει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.
Ψαλμοῦ η'.

Τοῦ ὀγδόου ψαλμοῦ τὰ μὲν πρῶτα ἀπὸ τοῦ, «Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ [3]», περὶ τῆς ἐξ

1. Ψαλμ. 3, 2. 2. Ψαλμ. 3, 6. 3. Ψαλμ. 8, 1.

ἐθνῶν κλήσεως ἔοικε προφητεύεσθαι· διὸ καὶ ἐπιγέγραπται «ὑπὲρ τῶν ληνῶν·» ληνῶν νοουμένων τῶν ἀνὰ τὴν οἰκουμένην Ἐκκλησιῶν, ἐν αἷς τῆς ἀληθινῆς ἀμπέλου τοῦ Χριστοῦ, καὶ τῶν ὡσπερεὶ κλημάτων αὐτοῦ τῶν ἱερῶν ἀποστόλων, οἱ λογικοὶ βότρυες πιεζόμενοι τὸν ἀπὸ τῶν μαθημάτων αὐτῶν νοερὸν καὶ πάσης εὐφροσύνης ποιητικὸν οἶνον παρέχουσιν· ἄλλως γὰρ οὐ δυνατὸν σωματικαῖς ληνοῖς ἐφαρμόσαι τὰ ἐν τῷ ψαλμῷ λεγόμενα· ἐπεὶ μηδ' ὅλως ὡς ἐν ἑτέροις ἤτοι περὶ ἀμπέλου μεταρθείσης ἐξ Αἰγύπτου, ἢ περὶ ἀμπελῶνος Κυρίου Σαβαώθ, ἤ τινων τοιούτων, διάνοιάν τινα τὰ τῆς λέξεως περιέχει. Τὰ δ' ἀπὸ τοῦ, «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν[1]», καὶ τὰ ἑξῆς, ἐπὶ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ μετείληπται, ἔνθα τῷ· «Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ[2]», ἐπιφέρεται τό· «Νῦν δὲ οὐδέπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον.[3]» Εἴποι δ' ἄν τις μὴ μόνον διὰ τὸ πάθημα τοῦ θανάτου, ἀλλὰ καὶ δι' αὐτὴν τὴν ἐνανθρώπησιν αὐτοῦ ἠλαττῶσθαι αὐτὸν βραχύ τι παρ' ἀγγέλους· «Ὅτε, ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ ἴσα Θεῷ εἶναι, ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών[4]», καὶ ἐπὶ τοσοῦτον ἠλάττωσεν, ὡς ἀντὶ τῆς ἐν μορφῇ Θεοῦ δόξης λεχθῆναι περὶ αὐτοῦ τό· «Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλ' ἦν τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·[5]» ἀνθ' ὧν ἀμειβόμενος ὁ Πατήρ, «δόξῃ καὶ τιμῇ ἐστεφάνωσεν αὐτόν·[6] ὑπερυψώσας καὶ χαρισάμενος αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵν' ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.[7]» Καί· «Κατέστησε δ' αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ·[8]» ὅπερ καὶ αὐτὸ τῷ μὲν τοῦ Σωτῆρος ἡμῶν ἁρμόζοντα (ζοιτο) προσώπῳ διὰ τὸν ἐν αὐτῷ τὸν Θεὸν Λόγον, οὐκέτι δὲ καὶ τῷ τυχόντι, εἴ γε ἐν τοῖς τοῦ Θεοῦ ἔργοις καὶ τοὺς οὐρανοὺς καταριθμεῖν ἔθος τοῖς ἱεροῖς λόγοις, κατὰ τό, «Καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί.[9]» Πρὸς τούτοις· «Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης·[10]» δι' ὧν ἔοικεν ἀλληγορικώτερον δηλοῦσθαι τῶν ἀλογωτέρων καὶ τὸν τρόπον κτηνῶν δευτέρων ψυχῶν, ἢ καὶ δυνάμεων ἀντικειμένων, ἡ ὑπὸ τὸν ζυγὸν καὶ τὴν τοῦ λόγου δουλείαν ὑποταγή.

1. Ψαλμ. 8, 5-6. 2. Ψαλμ. 8, 7. 3. Ἑβρ. 2, 8-9. 4. Φιλιπ. 2, 6-7. 5. Ἡσ. 53, 2-3. 6. Ἑβρ. 2, 7. 7. Φιλιπ. 2, 9-11. 8. Ψαλμ. 8, 7. 9. Ψαλμ. 101, 26. 10. Ψαλμ. 8, 8-9.

ΚΕΦΑΛΑΙΟΝ Ε'.
Ψαλμοῦ θ'.

Ἡ τοῦ ἐνάτου ψαλμοῦ ἐπιγραφὴ τοιαύτη τίς ἐστιν· «Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων. Ψαλμὸς τῷ Δαυίδ.[1]» Ἀνθ' ὧν ὁ Σύμμαχος ἐκδέδωκεν, «Ἐπινίκιον περὶ τοῦ θανάτου τοῦ υἱοῦ. Ἆσμα τοῦ Δαυίδ.» Ὥσπερ δ' οὖν καὶ μᾶλλον ἔοικεν ἔχειν τὸ Ἑβραϊκὸν τοῦτον περιέχοντα τὸν τρόπον· «Λαμανασσὴ ἀλμαὺθ βὲν μασμωρὰ Δαυίδ.» Καὶ καλόν γε τοῖς ἐκ περιτομῆς αὐτῷ χρωμένοις ἀπορῆσαι περὶ ποίου θανάτου, ἢ περὶ τοῦ τίνος υἱοῦ ὁ ψαλμὸς εἴρηται τῷ Δαυίδ· ἡμῖν μὲν γὰρ σαφῶς φαίνεται περὶ τοῦ πάθους τοῦ Σωτῆρος προφητεύεσθαι· τοῦτο δὲ καὶ τοὺς Ο' νενοηκότας ἀπορρητότερον ἠνίχθαι· ὁ μέντοι γε Ἀκύλας καὶ αὐτὸς ἐμφαίνων μέγα τι ἀνδραγάθημα κατὰ τὸ πάθος γεγονὸς τοῦ Σωτῆρος ἐξέδωκεν εἰπών, «Τῷ νικοποιῷ νεανιότητος τοῦ υἱοῦ. Μελῴδημα τοῦ Δαυίδ.» Καὶ ὅλα δὲ τὰ ῥητὰ τοῦ ψαλμοῦ τις ἐπιτηρήσας ἐφαρμόσειεν ἂν τῷ Χριστῷ, πένητα καὶ πτωχὸν ἑαυτὸν ὀνομάζοντος, καὶ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ προφητεύοντος, ἐν τῷ, «Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου· ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών·[2]» ποίας δὲ Σιών, μικρῷ πρόσθεν ἡμῖν δεδήλωται· καὶ περὶ τῶν ἐθνῶν δὲ τῶν δι' αὐτοῦ σωθησομένων, ὡς περὶ πτωχῶν καὶ πενήτων ἐν αὐτῷ τινα προφητεύεται, ἐν οἷς ἐστι καὶ τό, «Κατάστησον, Κύριε, νομοθέτην αὐτοῖς· γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν.[3]» Ἔνθα καὶ ἐπιστῆσαι ἄξιον, ὡς οὐχ ὑπόκεινται τὰ ἔθνη τῷ Μωϋσέως νόμῳ· καὶ προσακτέον γε τοῖς ἐκ περιτομῆς τὸ ῥητὸν ἐγκαλοῦσι τοῖς ἐξ ἐθνῶν διὰ τὸ μὴ βιοῦν κατὰ τὸν Μωϋσέως νόμον, δεικτέον τε ὡς ἄρα ἕτερόν τινα παρὰ Μωϋσέα νομοθέτην ἔσεσθαι τῶν ἐθνῶν ὁ προφητικὸς ἐπίσταται λόγος, ὡς ἐν εὐχῇ φάσκων τό, «Κατάστησον, Κύριε, νομοθέτην αὐτοῖς», δῆλον δ' ὅτι τοῖς ἔθνεσιν· ἐπιφέρει γ' οὖν τούτῳ τό, «Γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν», ὡσεὶ ἔλεγεν, ἀναλαμβανέτω τὰ ἔθνη γνῶσιν καὶ ἐπιστήμην τῆς λογικῆς αὐτῶν οὐσίας διὰ τοῦ μέλλοντος αὐτοῖς καθίστασθαι νομοθέτου· οὗτος δ' ἂν εἴη ὁ Χριστός, ὁ τὴν κοινὴν νομοθετήσας ἡμῖν διαθήκην τῷ λέγειν· «Ἐρρέθη τοῖς ἀρχαίοις τάδε τινά, ἐγὼ δὲ λέγω τάδε·[4]» ὃς καὶ θείᾳ καὶ ἀρρήτῳ δυνάμει κρατῦναι τοὺς ἑαυτοῦ νόμους οὐκ ἐπὶ ἕν τι ἔθνος ἢ δεύτερον, οὐδ' ἐπὶ μέρος τι τῆς ὅλης οἰκουμένης, ἀλλ' οὐδὲ ἐπ' ὀλίγον τινὰ δεδύνηται χρόνον, ἀλλ' ὡς ἔστιν ἐξ αὐτῆς παραλαβεῖν τῆς ἐνεργείας εἰς τὸ διηνεκὲς καὶ ἐπὶ πάντα τὰ ἔθνη. Εἰ δὲ μὴ προσίοιτό τις ταῦθ' οὕτως ἔχειν, δεικνύτω τίνα ἂν ἄλλον ἔχοι λέγειν παρὰ τὸν Σωτῆρα καὶ Κύριον

---

1. Ψαλμ. 9, 1. 2. Ψαλμ. 9, 14-15. 3. Ψαλμ. 9, 21. 4. Πρβλ. Ματθ. 5, 21-44.

ἡμῶν Ἰησοῦν Χριστόν, ἀκολούθως τῇ μετὰ χεῖρας προφητείᾳ νομοθέτην ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ κατασταθέντα τοῖς ἔθνεσι, διδάσκαλον γεγενημένον ἅπασιν ἀνθρώποις τῆς εἰς τὸν τῶν ὅλων Δημιουργὸν εὐσεβείας.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ψαλμοῦ ια'.

Ἐπεὶ ἐν τῷ ἑνδεκάτῳ ψαλμῷ ὁ Κύριός φησιν· «Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος· θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ·[1]» ἐξετάζομεν μὴ περὶ Χριστοῦ προσώπῳ τὰ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ διδάσκοντι καὶ ταῦτα ἂν ἁρμόζοι, τοιάνδε διάνοιαν ἔχοντα· ἕνεκα τῶν ἐν ταλαιπωρίᾳ κακίας γεγονότων ἐθνῶν, πτωχῶν ὀνομαζομένων ψεκτῶς διὰ τὸ ἐστερῆσθαι τοῦ κατὰ Θεὸν πλούτου, κενώσας ἑαυτόν, ἀναδεξάμενός τε μέχρι καὶ θανάτου[2] τὸν ὑπὲρ αὐτῶν ἀγῶνα, νῦν ἀναστήσομαι, καὶ δὴ λαβὼν τὴν κατὰ πάντων ἐξουσίαν παρὰ τοῦ Πατρός, πάντας τοὺς εἰς ἐμὲ πιστεύσαντας θήσομαι εἰς σωτηρίαν, καὶ παρρησιάσομαι ἐν αὐτῷ, ἤτοι τῷ Πατρί, ἢ τῷ πεπραγμένῳ μοι ἐπὶ σωτηρίᾳ τῶν τοσούτων ἀνδραγαθημάτων. Καὶ ἡ μὲν τοῦ ῥητοῦ τοιαύτη τις ἂν εἴη διάνοια· τὰ μέντοι γε πρῶτα τοῦ ψαλμοῦ, «Σῶσόν με, ὁ Θεός», περιέχοντα «ὅτι ἐκλέλοιπεν ὅσιος[3]», καὶ τὰ ἑξῆς, τὸν καιρὸν καθ' ὃν πέπονθεν ὁποῖός τις ὑπῆρχε δηλοῖ· «Ἐκλελοίπει γὰρ ὅσιος» τότε, καὶ «Ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων· μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ·[4]» καὶ τὰ τούτοις δὲ ἑξῆς ἅπαντα κατ' ἐκεῖνον πεπλήρωτο τὸν χρόνον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ψαλμοῦ ιε'.

«Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.[5]» Ὅτι δὲ καὶ ταῦτα εἰς πρόσωπον ἀναφέρεται Χριστοῦ μαρτυρεῖ ὁ Πέτρος ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι, δι' ὧν ταῦτά φησιν· «Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον εἰς ὑμᾶς ἀπὸ Θεοῦ δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς

---

1. Ψαλμ. 11, 6. 2. Πρβλ. Φιλιπ. 2, 7-8. 3. Ψαλμ. 11, 2. 4. Ψαλμ. 11, 2-3. 5. Ψαλμ. 15, 8-11.

αὐτοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρὸς ἀνόμων προσπήξαντες ἀνείλατε· ὃν ὁ Θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Δαυὶδ γὰρ λέγει, Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.[1]» Εἶτά τινα μεταξὺ εἰπών, ἐπιφέρει ταῦτα κατὰ λέξιν· «Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυίδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἕως τῆς ἡμέρας ταύτης· προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός, ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.[2]» Τοῦ δὴ Πέτρου τοίνυν ἀποδεδωκότος εἰς τὸν Σωτῆρα τὴν τῆς προφητείας ἑρμηνείαν, παρέσται τῷ μὴ πάρεργον τὴν τούτων ἔρευναν ποιουμένῳ, ἤτοι ἐπ' αὐτῷ πᾶσαν τὴν ἐν τῷ ψαλμῷ λέξιν ἀκολούθως ἐφαρμόζειν οἷς καὶ ὁ Πέτρος ἐξείληφεν, ἢ τοῖς ὑφ' ἑτέρων εἰς τὸν ψαλμὸν ὑπομνηματισθεῖσιν ἐντυχεῖν· ἡμῖν γὰρ ὁ σκοπὸς οὐδὲν πλεῖον τῶν εἰρημένων λέγειν εἰς τοὺς τόπους ἐπιτρέπει.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ψαλμοῦ ιϛ'.

Καὶ τὸ λεγόμενον ἐν ἑκκαιδεκάτῳ ψαλμῷ, «Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπισκέψω νυκτός, ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία[3]», ὡς ἀπὸ Χριστοῦ φωνῆς τυγχάνον ἐσημειωσάμεθα, ἐπεὶ μὴ ἄλλως ἀνθρωπείᾳ φύσει τοῦτο φάσκειν ἁρμόττει· καὶ πάντες δὲ οἱ ἐν τῷ ψαλμῷ λόγοι τῷ ἐνορῶντι ἀκριβῶς αὐτοὺς ἐπὶ τὸν Σωτῆρα ἀναφέρεσθαι δύναται.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ψαλμοῦ ιζ'.

Ἐπεὶ καὶ τὸν ἑπτακαιδέκατον ψαλμὸν οὐκ ἐξ ἄλλου τινὸς λέγεσθαι νομιοῦσιν οἱ ἐκ περιτομῆς ἢ τοῦ Δαυίδ, διὰ τὸ καὶ τὴν ἐπιγραφὴν αὐτοῦ τοῦτο δοκεῖν ἐμφαίνειν, θλίψομεν αὐτοὺς οὐ δυναμένους σῴζειν ἐπ' αὐτοῦ τό, «Ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ, καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν· λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν.[4]» Ποίων γὰρ ἐθνῶν εἰς κεφαλὴν καταστάντα τὸν Δαυὶδ ἔχοιεν παραστῆσαι, ἢ ποῖος οὗτος λαός, ὃν οὐκ ἐγνώκει μὲν αὐτὸς πρότερον, ὅμως δὲ

1. Πράξ. 2, 22-25. 2. Πράξ. 2, 29-31. 3. Ψαλμ. 16, 3. 4. Ψαλμ. 17, 44-46.

ἐδούλευσεν αὐτῷ εἰς ἀκοὴν ὠτίου ὑπακούσας αὐτῷ· τίνες δὲ καὶ οἱ ψευσάμενοι αὐτῷ υἱοὶ ἀλλότριοι λεγόμενοι, καὶ οἱ παλαιωθέντες καὶ χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν; Ἀλλ' ἡμῖν οὐδ' ὅλως τι τῶν ἐν τῷ ψαλμῷ λεγομένων προσκόψει ἐκ προσώπου τοῦ Χριστοῦ, τοῦ κατασταθέντος εἰς κεφαλὴν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, καὶ ταύτην ἐκλαμβάνουσι τὴν προφητείαν θεωροῦσί τε αὐτὴν ἐναργῶς πεπληρωμένην· ἦμεν γάρ, ἦμεν ἀληθῶς «ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας[1]», καὶ διὰ τοῦτο μὴ ἄξιοι τῆς τοῦ λόγου τοῦ Θεοῦ γνώσεως· ἀλλὰ «νῦν γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ[2], ἡμεῖς οἱ ποτὲ ὄντες μακρὰν ἐγενήθημεν ἐγγύς[3]», καὶ ἐδουλεύσαμεν τῷ πάλαι μὴ γνόντι ἡμᾶς, καὶ εἰς ἀκοὴν ὠτίου ὑπηκούσαμεν αὐτῷ, παραδεξάμενοι τὸν τῆς καινῆς Διαθήκης αὐτοῦ λόγον, ὃν διέθετο πρὸς ἡμᾶς. Θαυμασίως δὲ μετὰ τό, «λαός, ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι», καὶ τὴν περὶ ἡμῶν κλῆσιν τὰ περὶ τῆς προτέρας Συναγωγῆς ἐκτίθεται διὰ τοῦ, «Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι», ἰσοδυναμοῦν τῷ, «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν·[4]» οὗτοι δὲ καὶ ἐπαλαιώθησαν χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν, καὶ μὴ παραδεξάμενοι τὸν Χριστὸν τοῦ Θεοῦ, ὃς ἀποδοκιμασθεὶς ὑπ' αὐτῶν κατεστάθη ὑπὸ τοῦ Πατρὸς εἰς κεφαλὴν τῶν δουλευσάντων, καὶ εἰς ἀκοὴν ὠτίου ὑπακουσάντων αὐτῷ ἐθνῶν, κατὰ τὴν ἑτέρωθι φάσκουσαν προφητείαν, «Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.[5]» Οἶμαι δὲ καὶ τὰ περὶ τῆς θεότητος καὶ τῆς εἰς ἀνθρώπους καταβάσεως αὐτοῦ ἐν τοῖς πρώτοις δηλοῦσθαι τοῦ ψαλμοῦ· ἅπερ οὐ τῆς ἐν παρέργῳ καὶ παραδρομῇ δέοιτ' ἂν ἐξηγήσεως ἀπορρητότερον εἰρημένα· οἷά ἐστιν ἀπὸ τοῦ, «Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ ἐπέβη ἐπὶ Χερουβὶν καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων·[6]» καὶ ὅσα τούτοις παραπλησίως ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον ἀναφέρεται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ψαλμοῦ ιη'.

«Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.[7]» Ζητοῦμεν τίνων εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος, καὶ τὰ ῥήματα ἕως τῶν περάτων τῆς οἰκουμένης, ὡς μὴ καταλελεῖφθαι λόγοις παρά τισι καὶ λαλιὰς παρ' οἷς οὐκ ἠκούσθησαν καὶ αἱ τούτων φωναί· ἀλλ' οὐκ ἂν ἔχοι τις ἑτέρους ἐπιδεῖξαι τῶν ἱερῶν ἀποστόλων, εἰς οὓς ἡ προφητεία πεπλήρωται διαβοήτου τῆς

1. Ἐφ. 2, 12. 2. Γαλ. 4, 9. 3. Ἐφ. 2, 13. 4. Ἡσ. 1, 2.
5. Ψαλμ. 117, 22. 6. Ψαλμ. 17, 10-11. 7. Ψαλμ. 18, 4-5.

περὶ τοῦ Χριστοῦ διδασκαλίας αὐτῶν εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν γενονομένης, ὅτε ἐνεπιδημοῦντες τῷ βίῳ μετὰ τῆς συνεργούσης αὐτοῖς δυνάμεως θείας ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκήρυσσον τὴν εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πίστιν· περὶ οὗ μετὰ τὴν πρόρρησιν τοῦ τῶν ἀποστόλων αὐτοῦ κηρύγματος ἑξῆς ὁ λόγος διδάσκει, ὡς ἄρα «ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·[1]» ἡλίου νοουμένου τῆς θεότητος, εἰς ἣν τὴν ἑαυτοῦ μονὴν καὶ τὴν οἱονεὶ κατασκήνωσιν ἔθετο, ἢ καὶ ὅπερ ἐκ τῆς Παρθένου ἔλαβε σῶμα, ὅπερ ἦν ὡσπερεὶ σκήνωμα τῆς ἐν αὐτῷ καταμενούσης θείας δυνάμεως· οὗτος δὲ καὶ «ὥσπερ νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἠγαλλιάσατο ὡς γίγας δραμεῖν ὁδόν·[2]» οἷα γάρ τις νυμφίος διὰ τὴν αὐτοῦ νύμφην τὴν Ἐκκλησίαν ἐκ τῶν πατρικῶν διαναστὰς κόλπων, καὶ ὁποῖά τις γίγας ἀνδρεῖος καὶ ἰσχυρὸς τὸν ἀγῶνα τὸν προκείμενον αὐτῷ δαθλήσας, νικήσας τε καὶ καταγωνισάμενος τοὺς ἀντιπάλους, ἠγαλλιάσατο τὴν αὐτοῦ σύζυγόν τε καὶ νύμφην ἀπολαβών· γεγένηται δὲ αὐτοῦ καὶ «ἡ ἔξοδος ἀπ' ἄκρου τοῦ οὐρανοῦ·[3]» καὶ πάλιν· «Τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου αὐτοῦ·[4]» ἐπεὶ «μὴ δ' εἷς ἄλλος ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου·[5]» καὶ πάλιν· «Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν[6]», κατὰ τὸν ἱερὸν Ἀπόστολον· ἀλλὰ «Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ·[7]» περὶ ἧς καὶ αὐτὸς εἶπεν τό, «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;[8]» Εὐχερῶς δ' ἄν τις ἑαυτῷ τούτοις ἀναλόγως ἐξεργάσεται τὰ κατὰ τὸν τόπον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ψαλμοῦ ιθ'.

Τὸ ἐν τῷ ἐννεακαιδεκάτῳ ψαλμῷ λεγόμενον, «Νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ[9]», ἐμφαίνει πως τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἐκ τοῦ θανάτου σωτηρίαν· αὐτῷ γὰρ εἴρηται καὶ τό, «Ἀγαλλιασώμεθα ἐν τῷ σωτηρίῳ σου·[10]» καὶ ὅλα δὲ τὰ κατὰ τὸν τόπον ἐφαρμοσθείη ἂν αὐτῷ τῆς προσηκούσης τυχόντα ἐξηγήσεως.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ψαλμοῦ κ'.

Τὸ μέν· «Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς[11]», καὶ τὰ ἑξῆς, εἴποι ἄν τις ἐπὶ τὸν Δαυῒδ ἀναφέρεσθαι δύνασθαι· τό γε μέν, «Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν

---

1. Ψαλμ. 18, 6. 2. Ψαλμ. 18, 6. 3. Ψαλμ. 18, 7. 4. Ψαλμ. 18, 7. 5. Ἰω. 3, 13. 6. Ἐφ. 4, 10. 7. Ψαλμ. 18, 7. 8. Λουκ. 12, 49. 9. Ψαλμ. 19, 7. 10. Ψαλμ. 19, 6. 11. Ψαλμ. 20, 2.

εἰς αἰῶνα καὶ εἰς αἰῶνα αἰῶνος[1]», οὐκέτι τῷ Δαυὶδ ἁρμόζει διὰ τὸ καὶ τὴν τελευτὴν αὐτοῦ ἐμφαίνεσθαι καὶ τὸν χρόνον τῆς ζωῆς αὐτοῦ, ἧς οὐ πολὺν χρόνον ἐτῶν περιωρίσθαι. Εἴη ἂν οὖν ὁ Χριστὸς ὁ βασιλεὺς ὑπὸ τοῦ Πατρὸς βασιλεύειν ἐπὶ Σιὼν ὄρος τὸ ἐπουράνιον καταστάς· ὃς καὶ ζωὴν ᾐτήσατο τὸν Πατέρα οὐχὶ ἑαυτῷ, αὐτὸς γὰρ ἦν ἡ ζωή, ἀλλὰ πᾶσι τοῖς εἰς αὐτὸν πιστεύσουσι·[2] καὶ ἔδωκεν αὐτῷ ὡς πάντας δύνασθαι τοὺς εἰς αὐτὸν πιστεύσαντας μεταβαίνειν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν τὴν αἰώνιον[3], καὶ εἰς μακρότητα τῶν παρὰ Θεῷ ἡμερῶν, αἵ εἰσιν εἰς αἰῶνα καὶ εἰς αἰῶνα αἰῶνος· καὶ τὰ λοιπὰ δὲ τὰ ἐν τῷ ψαλμῷ ὡς περὶ τῆς τοῦ βασιλέως δόξης λεγόμενα, οὐ μικρὰ ὄντα, ἁρμόττοι ἂν τῷ Χριστῷ μᾶλλον ἢ τῷ Δαυίδ, τῆς ἀξίας τυχόντα σαφηνείας.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ψαλμοῦ κα'.

Σαφῶς ἀνωμολόγηται παρὰ πᾶσι τοῖς ὑγιῶς εἰς Χριστὸν πεπιστευκόσιν, ὡς ἡ καταρχὴ τοῦ μετὰ χεῖρας ψαλμοῦ τοῦτον ἔχουσα τὸν τρόπον, «Ὁ Θεός μου, ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;[4]» ὑπ' αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους εἴρηται· τοῦτο γὰρ ἐδήλου καὶ ἡ ἐπὶ τοῦ σταυροῦ φωνὴ ἡ, «Ἐλωεί, Ἐλωεί, λαμὰ σαβαχθανεί;[5]» Ἀλλὰ γὰρ πρὶν ἀρξώμεθα ἐν τῷ ψαλμῷ προφητείαν ὡς ἐπ' αὐτὸν μεταλαμβάνειν, πευσόμεθα τῶν τὴν περιτομὴν αὐχούντων, τίς ἂν εἴη ὁ φάσκων τὰ ἐν τῷ ψαλμῷ· οὐχ ὁ τυχὼν γάρ τις εἶναι φαίνεται τά τε ἄλλα καὶ ταῦτα λέγων, «Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ· καὶ ἐπιφέρων διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε·[6]» καὶ πάλιν· «Οὐκ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἐπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου· παρὰ σοῦ ὁ ἔπαινός μου· ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν.[7]» Ἐπὶ τούτοις δὲ καὶ τὰ ἄλλα τὰ ἐν τῷ ψαλμῷ λεγέτωσαν, εἰ ἔχοιέν τινι τῶν ἁγίων ἀνδρῶν ἐφαρμόζειν· τίνα γὰρ τοιοῦτον γενόμενον οἷον προδιέγραψεν ὁ λόγος, «Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισαν;[8]» ἢ περὶ τίνος· «Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν, λέγοντες, Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν;[9]» τίνα δὲ μόσχοι πολλοὶ καὶ ποταποὶ τὴν φύσιν, «Κύνες τε καὶ ταῦροι πίονες περιεκύκλωσαν· ἤνοιξάν τε στόμα ἐπ' αὐτόν, ὡς λέων ἁρπάζων καὶ ὠρυ-

---

1. Ψαλμ. 20, 5. 2. Πρβλ. Ἰω. 11, 25. 3. Ἰω. 5, 24. 4. Ψαλμ. 21, 2. 5. Ματθ. 27, 46. 6. Ψαλμ. 21, 10-11, 23. 7. Ψαλμ. 21, 25-26. 8. Ψαλμ. 21, 8. 9. Ψαλμ. 21, 8-9.

όμενος;[1]» καὶ ἐπὶ τούτοις· «Τίνα ἡ συναγωγὴ τῶν πονηρευομένων περιέσχεν· καὶ περιέσχεν οὕτως, ὡς καὶ ὀρύξαι αὐτοῦ χεῖρας καὶ πόδας, καὶ πάντα αὐτοῦ ἐξαριθμῆσαι τὰ ὀστᾶ, διαμερίσασθαί τε ἑαυτοῖς αὐτοῦ τὰ ἱμάτια, βάλλοντας κλῆρον ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ;[2]» Τοιαῦτα γάρ τινά φησι τὸ ἐν τῷ ψαλμῷ πρόσωπον, ὃ καὶ μετὰ τὸ τοσαῦτα παθεῖν ἐπιφέρει λέγων, «Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε·[3]» λυέτωσαν δὲ ταῦθ' ἅμα καὶ τὰ λοιπὰ τοῦ ψαλμοῦ διηγούμενοι, μάλιστα ἀπὸ τοῦ, «Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς· καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν[4]», μέχρι τοῦ, «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.[5]» Παριστάτωσαν γὰρ τὴν τότε μὲν μὴ ὑπάρχουσάν πω γενεάν, ἥξειν δὲ εἰς μέλλοντα χρόνον προφητευομένην· καὶ τὸν πρότερον μὲν μηδέπω ὄντα λαόν, τεχθήσεσθαι δὲ ἐν τοῖς μετέπειτα χρόνοις προορώμενον· λεγέτωσάν τε τί ἂν εἴποιεν περὶ τῆς διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν συστάσης ἐκ πάντων τῶν ἐθνῶν Ἐκκλησίας· ἆρα γὰρ ἐπὶ τοῖς τοσούτοις πλήθεσι τῶν διὰ τοῦ Χριστοῦ τὸν τῶν ὅλων Θεὸν ἐπεγνωκότων οὐκ ἂν ὁμολογήσαιεν πεπληρῶσθαι τό, «Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς·» καὶ τό, «Προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν;» Ἀλλὰ γὰρ ὥρα τοῖς εὐγνωμονεῖν ἐθέλουσιν, οὐκ ἐπ' ἄλλου τινὸς ἢ ἐπὶ μόνου τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογεῖν πεπληρῶσθαι τὴν προφητείαν, οὗ κατὰ τὴν παρουσίαν αὐτοῦ καὶ ἡ τῶν ἐθνῶν ἐπιστροφὴ γίγνεσθαι ἤρξατο, παραγενομένης τῆς προφητευθείσης γενεᾶς, καὶ τοῦ λαοῦ τοῦ τεχθήσεσθαι οὐ μόνον ἐνταῦθα προδηλουμένου, ἀλλὰ καὶ ἐν ἑκατοστῷ πρώτῳ ψαλμῷ, διὰ τοῦ, «Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον.[6]» Οὗτος δέ ἐστι περὶ οὗ καὶ ἐν ιζ' εἴρητο, «Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.[7]» Τοῦτον οὖν τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν, σάρκα ἀναλαβόντα καὶ δι' αὐτὴν «σκώληκα» χρηματίσαντα, «Ὄνειδός τε ἀνθρώπων γενόμενον καὶ ἐξουδένωμα λαοῦ, πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισαν[8]», μάλιστα κατὰ τὸν καιρὸν τοῦ πάθους, ὅτε τῶν ἐν τῇ προφητείᾳ τέλος ἰσχόντων οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν καὶ ἐμυκτήριζον λέγοντες, «Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν·[9]» τότε δὲ καὶ «Ἐλάλησαν ἐν χείλεσι καὶ ἐκίνησαν κεφαλὴν[10]» ἑαυτῶν κατ' αὐτοῦ· αὐτοῖς ῥήμασιν εἰπόντες τό, «Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν·[11]» αὐτὰ γὰρ δὴ ταῦτα κατὰ τὸ πάθος εἰρη-

1. Ψαλμ. 21, 13-14. 2. Πρβλ. Ψαλμ. 21, 17-19. 3. Ψαλμ. 21, 23. 4. Ψαλμ. 21, 28. 5. Ψαλμ. 21, 32. 6. Ψαλμ. 101, 19. 7. Ψαλμ. 17, 44-45. 8. Ψαλμ. 21, 7-8. 9. Λουκ. 23, 35. 10. Ψαλμ. 21, 8. 11. Ψαλμ. 21, 9.

σθαι ἐπ' αὐτῷ ἐν τοῖς Εὐαγγελίοις ἀναγέγραπται. Τούτῳ οὖν καὶ μόνῳ πρὸς τὸν Πατέρα λέγειν ἁρμόζει «Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ.[1]» Πλὴν ἐπὶ τούτοις ὁ λόγος ἡμᾶς παιδεύει, ὡς ἄρα καὶ δυνάμεις πονηραί τινες καὶ θηριώδεις ἐνήργησαν τὴν κατ' αὐτοῦ ἐπιβουλήν, δι' ἃς καὶ ἔφασκε, «Περιεκύκλωσάν με μόσχοι πολλοί· ταῦροι πίονες περιέσχον με·[2]» καὶ περὶ τῆς ἐπισυστάσης δὲ κατ' αὐτοῦ ἐκ περιτομῆς Συναγωγῆς φησιν, ὅτι «Ἐκύκλωσάν με κύνες πολλοί· συναγωγὴ πονηρευομένων περιέσχον με· οὗτοι δὲ καὶ ὤρυξαν οὐ μόνον «τὰς χεῖρας αὐτοῦ, ἀλλὰ καὶ τοὺς πόδας·[3]» ἤ, κατὰ τὸν Ἀκύλαν, «ᾔσχυναν», φήσαντα, «ᾔσχυναν χεῖράς μου καὶ πόδας μου·» ὃ καὶ ἀληθῶς ἐτελέσθη, ὅτε κρεμάσαντες αὐτὸν ἐπὶ τοῦ ἰκρίου ἥλοις αὐτοῦ τάς τε χεῖρας καὶ τοὺς πόδας περιέπειραν· καὶ καλόν γε εἰ ἀπαιτοίη τις ἀπὸ Γραφῆς παραστῆσαι, ὡς ἄρα καὶ σταυρὸν ὑπομεῖναι ὁ Χριστὸς προείρητο, μετὰ καὶ ἄλλων τῶν τούτου παραστατικῶν καὶ τὸ «Ὤρυξαν», καὶ μᾶλλον τό, «ᾔσχυναν χεῖράς μου καὶ πόδας μου», παραθέσθαι· οἷς ἑξῆς ἐπιφέρεται τό, «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον·[4]» ὅπερ ὁ μὲν Ἀκύλας οὕτως ἐξέδωκεν, «Μερίσουσιν ἱμάτιόν μου ἑαυτοῖς, καὶ ἐπὶ ἔνδυσίν μου βαλοῦσι κλῆρον·» ὁ δὲ Σύμμαχος, «Διενέμοντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ περὶ ἐσθῆτός μου ἐλάγχανον·» ὃ καὶ αὐτὸ ἅμα τε τῷ πάθει πεπλήρωται, ὅτε οἱ σταυρώσαντες αὐτὸν «λαβόντες τὰ ἱμάτια αὐτοῦ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου, διὸ καὶ εἶπαν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται·[5]» οἷς ἐπιφέρει λέγων ὁ εὐαγγελιστής, «Ἵνα ἡ Γραφὴ πληρωθῇ, τὸ Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[6]» Καὶ ταῦτα μὲν ἡ προφητεία περὶ αὐτοῦ τὸ Ἑβραϊκὸν ὡσεὶ *ἐννᾶ* περιέχει· ᾧ ἀκολούθως ἐπιφέρεται καὶ ἐν τῷ ψαλμῷ ὥσπερ δὴ καὶ ἐν τοῖς Εὐαγγελίοις, τὸ «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου·[7]» ὅπερ τοιοῦτόν τί μοι δηλοῦν ἔοικεν· Σῶσον δή, εὐλογημένος, ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, τοῦ Πατρὸς καὶ Θεοῦ τῶν ὅλων.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ψαλμοῦ ρλα'.

Ὤμοσε Κύριος τῷ Δαυὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτόν, Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.[8]» Καὶ πάλιν,

---

1. Ψαλμ. 21, 10-11. 2. Ψαλμ. 21, 13. 3. Ψαλμ. 21, 17. 4. Ψαλμ. 21, 19, 5. Ἰω. 19, 23-24. 6. Ἰω. 19, 24. 7. Ματθ. 21, 9. 8. Ψαλμ. 131, 11.

«Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυίδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Τοὺς ἐχθρούς σου ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.[1]» Καὶ ἐνταῦθα σαφῶς τῷ Δαυὶδ μεθ' ὅρκου ὑπὸ τοῦ Θεοῦ ἐπαγγελία περὶ τοῦ Χριστοῦ δίδοται, ὡς ἂν ἐκ σπέρματος αὐτοῦ γενηθήσεσθαι μέλλοντος, καὶ καθέξοντος αὐτοῦ τὸν θρόνον. Πολλῆς δ' ἐξετάσεως χρήζοι ἂν τὰ κατὰ τοὺς τόπους, ἐπεὶ μὴ δοκῇ σωματικῶς ὁ Χριστὸς ἐπὶ τὸν θρόνον τοῦ Δαυὶδ καὶ τὴν βασιλείαν αὐτοῦ κεκαθικέναι, ἃ καὶ ὑπερθησόμεθα διὰ τὸ μὴ τῆς παρούσης εἶναι πραγματείας παρὰ τὸν προκείμενον σκοπὸν κατατρίβειν τὴν σχολὴν ἐπὶ τὴν τοῦ ψαλμοῦ διήγησιν· εὐγνωμόνος δέ τοι χρὴ μὴ ἀπὸ μιᾶς Γραφῆς, εἰ μὴ εἴη δυνατὴ κατὰ τὸ σωματικὸν ἐφαρμόζειν τῷ Χριστῷ, τὰ πολλαχῇ σαφῶς περὶ αὐτοῦ εἰρημένα παρακρούεσθαι· ἑπομένους γε μὴν ἀληθεῖ λόγῳ, καὶ αὐτῇ τῇ θείᾳ παρισταμένους Γραφῇ, ἐφιστάναι προσήκει, ὃς ποτὲ μὲν αὐτὸν πτωχόν τινα καὶ εὐτελῆ καὶ ἄτιμον, μὴ ἔχοντα εἶδος μηδὲ κάλλος, ἐλεύσεσθαι προφητεύει, ἄλλοτε δὲ βασιλέα ἔντιμον αὐτόν φησιν· ὧν τὰ μὲν καὶ σωματικῶς ἀποπεπληρῶσθαι δύναται, τὰ δὲ κατὰ μόνον τὸν πνευματικὸν τῆς Γραφῆς νοῦν, ἤδη δέ τινα καὶ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν πληρωθήσεσθαι προσδοκητέον. Πλὴν καὶ βασιλεὺς Ἰουδαίων ἐχρημάτισεν ὁ Κύριος ἡμῶν κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν οὐχ ὡς ἔτυχε τοῦ Πιλάτου κελεύσαντος ἐπιγραφῆναι αὐτοῦ τῷ σταυρῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς τό, *Οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.*[2]

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Ψαλμοῦ ρμα΄.

Καὶ τὸ ἐνθάδε λεγόμενον, «Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῶς μοι[3]», ἔοικεν ἐκ προσώπου λέγεσθαι τοῦ Σωτῆρος· τίνα γὰρ ἄλλον ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷ αὐτῷ ὁ Θεός, ἢ τοῦτον; Ἐπεὶ καθὼς εἴρηταί που περὶ τῶν πάλαι δικαίων, ὡς ἄρα «Μαρτυρηθέντες οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, τοῦ Θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.[4]» Δῆλον δ' ὅτι αὐτὸν ὁρᾷ τὸ ῥητὸν ἀπὸ τοῦ καὶ τὰ κατὰ τὸ πάθος αὐτοῦ ἐν τῷ ψαλμῷ ἀκολούθως ταῖς ἄλλαις προφητείαις προσημαίνεσθαι· γέγραπται γοῦν, «Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου· ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι·[5]» καὶ πάλιν, «Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.[6]» Τούτοις ἑξῆς καὶ

---

1. Ψαλμ. 131, 17-18. 2. Ματθ. 27, 37. 3. Ψαλμ. 141, 8. 4. Ἑβρ. 11, 39-40. 5. Ψαλμ. 141, 3-4. 6. Ψαλμ. 141, 7.

περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ εὐχόμενός φησιν· «Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου·» οἷς ἐπιφέρει τό, «Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως ἀνταποδῷς μοι.[1]» Ὑπέμειναν οὖν τὸν Χριστὸν πάντες ἐκεῖνοι οἱ δίκαιοι ἕως οὗ ἀνταποδῷ αὐτῷ ὁ Πατήρ, ἀνθ' ὧν «ἐκένωσεν ἑαυτόν, ὑπήκοος αὐτῷ γενόμενος μέχρι θανάτου.[2]» Τίνα δὲ ἀνταποδῷ αὐτῷ ἢ «τὰ ἔθνη κληρονομίαν, καὶ τὴν κατάσχεσιν αὐτοῦ τὰ πέρατα τῆς γῆς·[3]» ἵν' ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε καὶ ὁ πᾶς Ἰσραὴλ σωθῇ, καὶ ὅλα δὲ τὰ ἐν τῷ ψαλμῷ ἐφαρμόσαι ἂν τῷ Χριστῷ, τὰ κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ, καθ' ἣν ἐπεβουλεύθη, περιέχοντα.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

Ψαλμοῦ ρμγ΄.

Ἐν μὲν τῷ μετὰ χεῖρας ψαλμῷ λέγεται, «Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι[4]», ἐν δὲ τῷ ιζ΄, «Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη.[5]» Ἐσημειωσάμεθα μὲν οὖν κἀκεῖ καὶ τὸ ῥητόν, καὶ ἐνταῦθα δὲ ταὐτὸν ποιοῦντες περὶ τοῦ Λόγου τοῦ Θεοῦ ταῦτα λέγεσθαι ὑπειλήφαμεν. Κλίνας γὰρ οὐρανοὺς τῷ κενῶσαι ἑαυτὸν τῆς ἐπουρανίου καὶ ἐν μορφῇ Θεοῦ δόξης, εἰς τὰ κατώτερα τῆς γῆς κατελήλυθε δι' ἣν ἀνεδέξατο ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας οἰκονομίαν· ὅθεν πρὸ τοῦ ἐκτεθέντος ῥητοῦ ἀποθαυμάσας ὁ λόγος φησί· «Κύριε, τί ἐστιν ἄνθρωπος ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτόν;[6]» Εἰς τοῦτο γὰρ κλίνας τοὺς λεγομένους οὐρανοὺς κατελήλυθεν ὁ τοῦ Θεοῦ Λόγος, ὡς ἂν γνωσθείῃ ἐνανθρωπήσας τῷ τῶν ἀνθρώπων γένει πρότερον ἀγνοούμενος αὐτῷ· καὶ οὐ περιεφρόνησεν παρ' οὐδὲν ἡγησάμενος τὸν γενόμενον υἱὸν ἀνθρώπου, τοῦτ' ἔστι πᾶσαν τὴν λογικὴν καὶ κατ' εἰκόνα Θεοῦ γενομένην ψυχήν· καὶ τὰ λοιπὰ δὲ τοῦ ψαλμοῦ πνευματικῶς ἐκλαμβάνων νοήσειας.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Ψαλμοῦ ρμζ΄.

Καὶ τό, «Ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ[7]», παρασημειώσασθαι ἔδοξεν, ὡς διδασκούσης καὶ ἐνταῦθα τῆς Γραφῆς ὡς ἄρα ὑπόστατόν τι πρᾶγμα ὁ τοῦ Θεοῦ Λόγος τυγχάνει, ἕτερος ὢν παρὰ τὸν ἀποστέλλοντα αὐτῷ Πατέρα· ὅρα δὲ πῶς ἑξῆς ἐπιφέρεται τό, «Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ·» ὃ καὶ αὐτὸ πεπληρωμένον ἔστιν ἰδεῖν μετὰ τὴν Χριστοῦ παρουσίαν, οὕτω ἐν σφόδρα βραχεῖ χρόνῳ διαδραμούσης, καὶ

---

1. Ψαλμ. 141, 8. 2. Φιλιπ. 2, 8. 3. Ψαλμ. 2, 8. 4. Ψαλμ. 143, 5. 5. Ψαλμ. 17, 10. 6. Ψαλμ. 143, 3. 7. Ψαλμ. 147, 4.

εἰς πᾶσαν τὴν γῆν ἐν οὐ πολλοῖς ἔτεσι μέχρι καὶ τῶν περάτων τῆς οἰκουμένης κεκρατηκυίας αὐτοῦ τῆς διδαχῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

Ψαλμοῦ ρμη΄.

Καὶ τὸ ἐνθάδε λεγόμενον, «Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν [1]», ἐν τοῖς περὶ τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεοῦ Λόγου μαρτυρίοις ἀνελεξάξάμεθα, τὸν τοῦ Θεοῦ Λόγον, καὶ ὄνομα αὐτοῦ χρηματίζειν μεμαθηκότες κατά τινα προσηγορίαν τῶν περὶ αὐτοῦ ἐπινοιῶν· μετὰ γοῦν τὸ προειπεῖν, «Αἰνεῖτε τὸν Κύριον [2]», τάδε καὶ τάδε ἀκολούθως παρακελεύεται τὸ Πνεῦμα αἰνεῖν μετὰ τὸν Πατέρα, τὸ ὄνομα αὐτοῦ ἐπιλέγων, «Ὡς ἄρα αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.» Ὁ μὲν οὖν προστάττων καὶ ἐντελλόμενος εἴη ἂν ὁ τῶν ὅλων Θεὸς καὶ Πατήρ, ὁ δ' ὑπουργῶν ὁ τοῦ Θεοῦ Λόγος ἐξυπηρετούμενος τῷ πατρικῷ θελήματι πρὸς τὴν τῶν γενητῶν δημιουργίαν. Τηρητέον δ' ὅτι καὶ ἐν λβ΄ ψαλμῷ κατὰ λέξιν ἐμφέρεται τό, «Αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν· [3]» ἀλλ' ἐκεῖ μὲν περὶ τῆς γῆς καὶ τῶν κατοικούντων τὴν οἰκουμένην εἴρηται, ἐνθάδε δὲ περὶ τῶν ἐν οὐρανοῖς καὶ τῶν λεγομένων ἐν ὑψίστοις ἀγγέλων τε καὶ δυνάμεων, ἔτι τε ἡλίου καὶ σελήνης καὶ ἄστρων, καὶ πάντων τῶν ἑξῆς συγκατειλεγμένων, διδασκούσης ἡμᾶς τῆς θείας ἐν τούτοις Γραφῆς, ὡς ἄρα διὰ τοῦ Λόγου κατὰ τὸν ἱερὸν Ἀπόστολον «Ἐκτίσθη τὰ πάντα τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατά, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ ἐν αὐτῷ ἔκτισται· [4] καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.[5]»

Τοσαῦτα μὲν δὴ τὰ ὑπὸ τῶν Ψαλμῶν· μετρίαν δὲ καὶ αὐτάρκη τοῦ λόγου περιγραφὴν εἰληφότος, ἐξ ἑτέρας ἀρχῆς τὰς ἀπὸ τῶν λοιπῶν στιχηρῶν καὶ ἑξῆς τὰς ἀπὸ τῶν προφητῶν ἐκλογὰς ποιησόμεθα.

---

1. Ψαλμ. 148, 5. 2. Ψαλμ. 148, 1. 3. Ψαλμ. 32, 9. 4. Κολ. 1, 16. 5. Ἰω. 1, 3.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ Γ' ΤΟΜΩ ΤΩΝ ΠΕΡΙ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΡΟΦΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ

Ἀπὸ τῶν Παροιμιῶν.

Περὶ τοῦ Θεοῦ Λόγου ὡς περὶ Σοφίας οὐσιωδῶς ὑφεστώσης καὶ πρὸ τῶν αἰώνων ὑπὸ τοῦ Θεοῦ κτισθείσης ἑτέρας τε παρ' αὐτὸν οὔσης, καὶ σὺν αὐτῷ τῶν ὅλων ἐπιμελόμενος. (;)
Περὶ τοῦ Χριστοῦ ὡς περὶ Υἱοῦ Βασιλέως καὶ περὶ τῶν ἀποστόλων αὐτοῦ.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἀνδρός, καὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως αὐτοῦ· καὶ τῆς τῶν ἐθνῶν κατακρατήσεως.

Ἀπὸ τοῦ Ἐκκλησιαστοῦ.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ πένητος σοφοῦ· καὶ περὶ τοῦ διαβόλου καὶ τοῦ Ἀντιχρίστου.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ πένητος σοφοῦ· καὶ περὶ τοῦ διαβόλου, καὶ περὶ τῆς Ἐκκλησίας.

Ἀπὸ τοῦ Ἄσματος.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ νυμφίου, καὶ τῆς τῶν ἁγίων Ἐκκλησίας ὡς νύμφης, καὶ περὶ τῶν ἐν τοῖς τόποις ἐπικεκρυμμένων μυστηρίων.

Ἀπὸ τοῦ Ἰώβ.

Περὶ τοῦ Χριστοῦ ὡς περιπατήσαντος ἐπὶ θαλάττης, καὶ τὸ μέγα κῆτος χειρωσαμένου.
Περὶ τῆς εἰς τὸν Ἅδην τοῦ Χριστοῦ καθόδου.
Περὶ τῆς τοῦ διαβόλου πρὸς τὸν Χριστὸν πάλης.

Ἀπὸ τοῦ Ὠσηέ.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ πάνθηρος.

Περὶ τῆς τοῦ Ἰσραὴλ ἀποβολῆς, καὶ τῆς τοῦ βασιλείου αὐτῶν καταπαύσεως, τῆς τε τοῦ Χριστοῦ ἐξ Αἰγύπτου μετακλήσεως.
Ὡς ὁ Θεὸς Λόγος Θεὸς ὀνομαζόμενος, Κύριον ὁμολογεῖ τὸν Πατέρα.

Ἀπὸ τοῦ Ἀμώς.

Ὡς ὁ Θεὸς Λόγος Κύριος ὀνομαζόμενος ἕτερον παρ' αὐτὸν εἶναι τὸν Πατέρα διδάσκει.
Περὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας τοῦ Χριστοῦ.

Ἀπὸ τοῦ Ἀβδειοῦ.

Ὡς ὁ Θεὸς Λόγος Κύριος καὶ Θεὸς ὀνομαζόμενος ἀκηκοέναι τινὰ παρὰ Κυρίου ὁμολογεῖ.

Ἀπὸ τοῦ Ἰωνᾶ.

Ὡς ἡ περὶ τὸν Ἰωνᾶν οἰκονομία τὸ πάθος τοῦ Χριστοῦ, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν σημαίνει.

Ἀπὸ τοῦ Μιχαία.

Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, ὡς περὶ Κυρίου.

Περὶ τῆς τοῦ προτέρου λαοῦ καὶ τῆς Ἰσραὴλ καὶ τοῦ Σιὼν ὄρους ἐρημίας, καὶ περὶ τῆς ἐπιφανείας τοῦ Χριστοῦ ὡς περὶ ὄρους, καὶ περὶ τῆς τῶν ἐθνῶν προσαγωγῆς· καὶ τοῦ καινοῦ νόμου τοῦ κατὰ τὴν καινὴν Διαθήκην.

Περὶ Βηθλεὲμ καὶ τῆς ἐν αὐτῇ τοῦ Χριστοῦ γενέσεως· καὶ ὡς πρὸ τῶν αἰώνων ὁ Χριστὸς ὑπῆρχεν.

Ἀπὸ τοῦ Σοφονίου.

Περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως.

Ἀπὸ τοῦ Ζαχαρία.

Ὡς ὁ Θεὸς Λόγος Κύριος παντοκράτωρ ὀνομαζόμενος ὑπὸ Κυρίου παντοκράτορος τοῦ Πατρὸς ἀπεστάλθαι λέγει.

Ὡς ὁ Θεὸς Λόγος Κύριος ὀνομαζόμενος ἥξειν ἐπὶ τὴν Ἱερουσαλὴμ προλέγει τὰ ἔθνη ἐπ' αὐτὸν καταφεύξεσθαι ἀπεσταλμένον ὑπὸ Κυρίου παντοκράτορος.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ Ἰησοῦ τοῦ Ἰωσεδέκ· καὶ ὅτι αὐτὸς ἀνὴρ Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ περὶ τῆς οἰκοδομῆς τῆς Ἐκκλησίας.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ Βασιλέως ἥξοντος ἐπὶ ὑποζυγίῳ καὶ πώλῳ, καὶ ὀλοθρεύσοντος τὸ πάλαι οἰκοῦν ἐν Ἱερουσαλὴμ τῶν Ἰουδαίων ἱππικόν τε καὶ ὁπλιτικόν· καὶ περὶ τῆς τῶν ἐθνῶν εἰρήνης.

Ὡς ὁ Θεὸς Λόγος Κύριος ὀνομαζόμενος, Κυρίου τοῦ Πατρὸς μέμνηται.

Περὶ τῶν λ' ἀργυρίων ἀνθ' ὧν ὁ Ἰούδας προὔδωκε τὸν Χριστὸν τοῖς Ἰουδαίων ἄρχουσιν, οὓς νῦν ὁ λόγος Χαναναίους καλεῖ· καὶ περὶ τῆς ἀποβολῆς αὐτῶν.

Περὶ τοῦ πάθους τοῦ Χριστοῦ· καὶ τοῦ τῶν ἀποστόλων ἐπ' αὐτῷ σκανδαλισμοῦ.

Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας.

Ἀπὸ τοῦ Ἀγγείου.

Περὶ τῆς τῶν Ἰουδαίων ἀποβολῆς, καὶ τῆς τῶν θυσιῶν αὐτῶν καθαιρέσεως τῶν τε τοῦ Χριστοῦ ἀνὰ πᾶσαν τὴν οἰκουμένην Ἐκκλησιῶν.

Περὶ τῆς καινῆς Διαθήκης, καὶ τοῦ νόμου τῆς ἀληθείας τοῦ Χριστοῦ ὡς ἀγγέλου Κυρίου παντοκράτορος.
Περὶ τῆς δευτέρας παρουσίας τοῦ Χριστοῦ ὡς περὶ ἀγγέλου τῆς Διαθήκης τοῦ Θεοῦ.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ ἡλίου δικαιοσύνης.

Ἀπὸ τοῦ Ἱερεμίου.

Περὶ τοῦ πάθους τοῦ Χριστοῦ ὡς περὶ ἀρνίου.
Περὶ τοῦ πάθους τοῦ Χριστοῦ, καὶ τοῦ τῶν Ἰουδαίων ἀφανισμοῦ, καὶ περὶ τῆς ἐρημώσεως τῆς Ἱερουσαλήμ.
Περὶ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς τῶν Ἰουδαίων δυσσεβείας, καὶ ὀνομαστὶ περὶ τοῦ προδότου Ἰούδα.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ Βασιλέως ἐκ σπέρματος Δαυίδ, καὶ τῆς εἰς αἰῶνας συστάσης ἐκκλησιαστικῆς ἱερουργίας.
Περὶ τῆς καινῆς Διαθήκης ἑτέρας παρὰ τὴν διὰ Μωϋσέως παλαιάν· καὶ περὶ τῶν κατὰ τὸ Εὐαγγέλιον νόμων.

Ἀπὸ τῶν Θρήνων.

Περὶ τοῦ πάθους τοῦ Χριστοῦ, καὶ τῆς τῶν ἐθνῶν κλήσεως.

Ἀπὸ τοῦ Βαρούχ.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ Θεοῦ ἐξ οὐρανῶν κατιόντος καὶ μετὰ ἀνθρώπων πολιτευσομένου.

Ἀπὸ τοῦ Ἐζεκιήλ.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ Δαυὶδ ἀναστησομένου ποιμένος, καὶ περὶ τῆς Καινῆς Διαθήκης.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ τοῦ Δαυὶδ ἀναστησομένου ποιμένος, καὶ περὶ τῆς καινῆς Διαθήκης.

Ἀπὸ τοῦ Δανιήλ.

Περὶ τοῦ Χριστοῦ ὡς περὶ λίθου· καὶ τῆς αἰωνίου βασιλείας αὐτοῦ.
Περὶ τοῦ Χριστοῦ ὡς περὶ Υἱοῦ Θεοῦ.
Περὶ τῆς τοῦ Χριστοῦ παρουσίας, ὡς περὶ Υἱοῦ ἀνθρώπου· καὶ περὶ τῆς αἰωνίου βασιλείας αὐτοῦ.
Περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων, καὶ ὡς ἐπὶ τοὺς χρόνους τοῦ Χριστοῦ συμπληροῦνται μεθ' οὓς προφητεύεται τὰ περὶ τοῦ παντελοῦς ὀλέθρου τοῦ Ἰουδαίων λαοῦ.

ΠΡΟΟΙΜΙΟΝ

Μετὰ δὴ τὰς ἀπὸ τῶν Ψαλμῶν ἐκλογὰς τὰς ἀπὸ τῶν λοιπῶν στιχηρῶν καὶ τῶν ἑξῆς προφητειῶν ἐν τρίτῳ τούτῳ συγγράμματι τῶν περὶ τοῦ Χριστοῦ Προφητικῶν Ἐκλογῶν, ὀγδόῳ ὄντι τῆς *Καθόλου στοιχειώδους εἰσαγωγῆς*, ἀναλεξώμεθα, προεπισημηνάμενοι ὅτι μήτε τὰ τῶν προφητῶν ἐπαληθεύειν δυνατόν, ἢν μὴ οὐχὶ τῆς εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστεως αὐτοῖς συμπαραλαμβανομένης, μήτε τὰ τῆς ἡμετέρας εἰς τὸν Χριστὸν πίστεως λογικώτερον κρατύνεσθαι, μὴ τῶν ἀνέκαθεν προφητῶν τὰς περὶ αὐτοῦ πιστουμένων ἀποδείξεις. Ὅθεν εἰκότως ἂν τις Ἰουδαίοις τε μὴ τὸν Χριστὸν παραδεξαμένοις, καὶ τοῖς τὰς προφητείας ἀθετοῦσι αἱρεσιώταις καὶ καταμέμψοιτο εἰς ἀσύστατα περιτρεπομένοις· οἱ μὲν γὰρ ὡς Θεοῦ τὰς προφητείας ἀποδεχόμενοι, ταύτας ψευδεῖς ἀπελέγχουσιν ἀτελεῖς αὐτὰς καταλείποντες, ὅτι μὴ τὰς εἰς τὸν Χριστὸν ἀποπληρωθείσας τῶν προφητειῶν ἐκβάσεις οἷοί τέ εἰσι παραδέξασθαι· οἱ δὲ τὸν Χριστὸν ὁμολογοῦντες ἀσύστατον καὶ ἀναπόδεικτον τὴν εἰς αὐτὸν πίστιν περιέπουσι, μὴ τοῖς θαυμασίοις τοῦ Θεοῦ προφήταις τὰ περὶ αὐτοῦ προμαρτυρομένοις συγχρώμενοι· ἡμεῖς γέ τοι· τὰς μέντοι προφητείας διὰ τῆς τοῦ Χριστοῦ παρουσίας, ταύτην δὲ διὰ τῶν προφητειῶν πιστούμενοι, τὸ φανὸν καὶ στερρὸν τῆς ἀληθείας ἀνεξελέγκτοις ἀποδείξεσι παριστῶμεν. Ταῦτα μὲν ὡς ἐν προοιμίῳ· ἴωμεν δὲ ἐπὶ τὸ προκείμενον.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀπὸ τῶν Παροιμιῶν.

Πᾶσα μὲν ἡ βίβλος τῶν Παροιμιῶν ἐκ προσώπου λέγεσθαι τῆς Σοφίας ἔοικε, πῇ μὲν τὸν ἠθικὸν ὑποτιθεμένης βίον, πῇ δὲ προσωποποιούσης ἑτέρων λόγους· καὶ ποτὲ μὲν αἰνίγματα προβαλλομένης, ποτὲ δ' αὖ περὶ αὐτῆς τινα διδασκούσης, καὶ τὰ περὶ τοῦ ἑαυτῆς ἐνθέου ἀξιώματος παιδευούσης. Τούτων δ' ἀναλεξόμεθα δι' ὧν μανθάνομεν ὅτι δὴ ζῷον θεῖον καὶ πάντη τὴν φύσιν ἐνάρετον ἡ Σοφία τυγχάνει, ἡ αὐτὴ οὖσα τῷ μετὰ τὸν πρῶτον Θεὸν δευτέρῳ τῶν ὅλων αἰτίῳ, τῷ τε «ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεῷ Λόγῳ [1]», καὶ τῇ διοικούσῃ καὶ οἰκονομούσῃ τὰ σύμπαντα, καὶ μέχρι τῶν ἐπὶ γῆς πραγμάτων φθανούσῃ προνοίᾳ τοῦ Θεοῦ, ἣ καὶ πρὸ πάσης οὐσίας τε καὶ ὑποστάσεως ἔκτισται, ἀρχὴ ὁδῶν οὖσα τῆς ὅλης δημιουργίας. Τὰ δὲ ῥητὰ ὡς ἐξ αὐτῆς τῆς Σοφίας τοῦτον λέλεκται τὸν τρόπον· «Ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Φόβος Κυρίου μισεῖ κακίαν, ὕβριν τε καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονη-

---

1. Ἰω. 1, 1

ρῶν, ἐμίσησα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια· ἐγὼ σύνεσις, ἐμὴ δὲ ἰσχύς. Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. Δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη. Βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν· τὰ δὲ ἐμὰ γεννήματα κρείσσω ἀργυρίου ἐκλεκτοῦ. Ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀναμέσον τρίβων δικαιώματος ἀναστρέφομαι· ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν· ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων· πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν, γεννᾷ με. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανόν, συμπαρήμην αὐτῷ, ἡνίκα ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν, ἐν τῷ τιθέναι αὐτὸν τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσονται στόμα αὐτοῦ· ἡνίκα ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα· ἐγὼ ἤμην, ᾗ προσέχαιρε καθ' ἡμέραν, εὐφραινόμην δὲ ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ· ὅτε εὐφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ εὐφραίνετο ἐν υἱοῖς τῶν ἀνθρώπων.[1]» Ταῦτα μὲν οὖν διδάσκει περὶ ἑαυτῆς ἡ Σοφία· τίς δέ ἐστιν αὕτη, ὁ ἱερὸς Ἀπόστολος παιδεύει λέγων, «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία·[2]» καὶ πάλιν, «Ὃς ἐγενήθη Σοφία ἡμῖν ἀπὸ Θεοῦ.[3]» Χριστὸς οὖν ἐστιν ὁ τὰ προειρημένα φάσκων· ἡ Σοφία καὶ Λόγος ἐστὶ Θεοῦ, δι' οὗ τὰ πάντα γεγένηται· «Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο·[4]» καί, «Ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατά, εἴτε ἀόρατα[5]», κατὰ τὸν Ἀπόστολον· ὅνπερ δὲ τρόπον κατά τινα ἐπίνοιαν Λόγος Θεοῦ χρηματίζει, καὶ καθ' ἑτέραν «ζωή,» καὶ πάλιν», «ἀλήθεια[6]» καὶ «φῶς ἀληθινόν[7]», καὶ τὰ λοιπὰ ὁπόσα φασὶν αὐτὸν αἱ θεῖαι Γραφαί, τὸν αὐτὸν δὴ τρόπον καὶ Σοφία προσηγόρευται, ὑπηρέτης τυγχάνουσα τοῦ Πατρὸς εἰς τὴν ὅλων πρόνοιάν τε καὶ οἰκονομίαν.

---

1. Παρμ. 8, 12-31. 2. Α' Κορ. 1, 24. 3. Α' Κορ. 1, 30. 4. Ἰω. 1, 1, 3. 5. Κολ. 1, 16. 6. Πρβλ. Ἰω. 14, 6. 7. Ἰω. 1, 9.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τῶν Παροιμιῶν.

«Ἐν φωτὶ υἱοῦ βασιλέως ζωή· οἱ δὲ προσδεκτοὶ αὐτῷ ὥσπερ νέφος ὄψιμον.[1]» Καὶ τίνος ἄλλου βασιλέως υἱοῦ ἐν φωτὶ ζωὴ τυγχάνει, ἢ ἐν τῷ τοῦ Θεοῦ Λόγῳ, υἱοῦ τυγχάνοντος τοῦ πάντων Βασιλέως Θεοῦ· αὐτὸς γάρ ἐστιν τὸ «Φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον·[2]» ἐν ᾧ φωτὶ ζωὴ τυγχάνει κατὰ τὸν φήσαντα τοῦ Εὐαγγελίου λόγον, «Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·[3]» τούτου δὲ καὶ οἱ προσδεκτοί, οὓς ἡγούμεθα εἶναι τοὺς ἀποστόλους αὐτοῦ καὶ μαθητάς, γεγόνασιν ὥσπερ «νέφος ὄψιμον» ἐπ' ἐσχάτου τῶν ἡμερῶν καὶ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, τὴν ἔρημόν ποτε γῆν καὶ ἄνυδρον, τουτέστι τὴν τῶν ἐθνῶν Ἐκκλησίαν, ἀρδεύσαντες τῷ πνευματικῷ τῆς εὐσεβοῦς διδασκαλίας αὐτῷ ὑετῷ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τῶν Παροιμιῶν.

«Τάδε λέγει ἀνὴρ τοῖς πιστεύουσι Θεῷ, καὶ παύομαι. Ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί. Θεὸς δ' ἐδίδαξέν με σοφίαν, καὶ γνῶσιν ἁγίων ἐγὼ ἔγνωκα. Τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ; τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ; τίς ἐκράτησε τῶν ἄκρων τῆς γῆς; τί ὄνομα αὐτῷ; ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ;[4]» Καὶ τίς ἂν εἴη ἄλλος ἀνὴρ ὁ ταῦτα φάσκων, ἢ ὁ ἐνανθρωπήσας Κύριος ἡμῶν, ἤτοι διὰ τὰς ἡμῶν ἀφροσύνας, ἃς εἰς ἑαυτὸν ἀνεδέξατο, ἢ διὰ τὴν «μωρίαν τοῦ κηρύγματος[5]», σοφωτέραν καὶ ἰσχυροτέραν οὖσαν τῆς τῶν ἀνθρώπων σοφίας; ἐνθάδε μὲν φάσκων, «ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων·» ἐν δὲ ξη' ψαλμῷ, «Σὺ ἔγνως τὴν ἀφροσύνην μου·[6]» φησὶν δὲ ὅτι, «Καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί», ὥσπερ ἐπ' ἀνδραγαθήματι λαμπρυνάμενος ἐπὶ τῷ μηδεμίαν ἐσχηκέναι φρόνησιν τῶν παρασυμβληθέντων τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὁμοιωθέντων αὐτοῖς ἀνθρώπων· ἢ ὧν τὴν σοφίαν ἐμώρανεν ὁ Θεὸς μηδὲν πλέον φρονούντων τὰ ἐπὶ τῆς γῆς, ὅσα πέφυκε σαρκῶν τε καὶ ὕλης οἰκεῖα· ὅθεν δὴ καὶ μεμαρτύρηνται ἐν τῇ γενεᾷ αὐτῶν φρόνιμοι εἶναι, τὸ (τῷ) μόνα τὰ ἐπὶ γῆς ζητεῖν καὶ διανοεῖσθαι ἐκ νεότητος ἐπὶ (ἔτι) τὰ πονηρά· ἀνθρωπεία μὲν οὐδαμῶς ἦν ἐν τῷ προειρημένῳ ἀνδρὶ φρόνησις, δῆλον δ' ὅτι καὶ θεία ὑπεράνθρωπος· δι' ὃ καὶ ἐπιφέρει λέγων, «Θεὸς δ' ἐδίδαξέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἐγὼ ἔγνωκα·» εἶτα ἐρωτηματικῶς φησι, «Τίς ἀνέβη εἰς τὸν οὐρανὸν

---

1. Παρμ. 16, 15. 2. Ἰω. 1, 9. 3. Ἰω. 1, 4. 4. Παρμ. 30, 1-4. 5. Α' Κορ. 1 ,21. 6. Ψαλμ. 68, 6.

καὶ κατέβη;» οἱονεὶ διεγείρων ἡμᾶς ἐπὶ ζήτησιν τοῦ τὰ τηλικαῦτα περὶ ἑαυτοῦ διδάσκοντος, περὶ οὗ καὶ τὰ ἑξῆς εἴρηται ἰδίας δεόμενα σχολῆς. Ὁ μὲν οὖν θεῖος Ἀπόστολος περὶ αὐτοῦ διδάσκων ἡμᾶς φησιν, «Ὁ καταβὰς εἰς τὰ κατώτερα μέρη τῆς γῆς, αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν·[1]» προτάξας τὸ κατεληλυθέναι αὐτόν, εἶτ' ἐπαναγαγὼν τὸ ἀνεληλυθέναι φησίν, ἔπειτα κατεληλυθέναι· ἐπείπερ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν εἰπὼν τῇ Μαριάμ, «Μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου·[2]» μετὰ ταῦτα ὤφθη τοῖς μαθηταῖς ἐπὶ ἡμέραις τεσσαράκοντα συναυλιζόμενος αὐτοῖς·[3] ἀνεληλυθὼς δηλαδὴ πρὸς τὸν Πατέρα, καὶ αὖθις δι' ἣν ἐπετέλει οἰκονομίαν κατεληλυθώς. Διὸ καὶ εἴρηται· «Ἀναβὰς εἰς ὕψος ἠχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκε δόματα ἐν ἀνθρώποις.[4]» Τίνα δὲ ταῦτα ἢ τὰ διὰ τοῦ ἁγίου Πνεύματος χαρίσματα, ἅπερ ἐξ οὐρανοῦ κατεβίβασε; Διὸ καὶ ἐνταῦθα παρὰ τῷ Ἀκύλᾳ εἴρηται· «Τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατεβίβασεν; Αὐτὸς δὲ καὶ ἐκράτησε τῶν ἄκρων τῆς γῆς, ὥστε εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν λόγον αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.[5]» Ὧ δὲ δέδοται λόγος γνώσεως, οὗτος εἴσεται ὅπως ἂν νοηθείη καὶ τὰ λοιπὰ τῶν κατὰ τὸν τόπον· προτρέπει δὲ ἡμᾶς ἐπὶ τὸ ζητῆσαι τί ὄνομα αὐτῷ τε καὶ τοῖς τέκνοις αὐτοῦ· πρὸς τοῦτο δ' ὑπακουσόμεθα ἐκ τῆς ἐνεργείας παρειληφότες, αὐτῷ μὲν ὑπάρχειν ὄνομα Ἰησοῦς, ὅπερ ἑρμηνεύεται *Θεοῦ σωτηρία*· ὃ καὶ οἱ κατὰ σάρκα προσήκοντες κατὰ τὸν τοῦ Γαβριὴλ χρηματισμὸν ἐπιτεθείκασιν αὐτῷ, ὑποθεμένου καὶ τὴν αἰτίαν τοῦ ἀγγέλου τῆς τοιαύτης προσηγορίας, «Αὐτὸς γὰρ σώσει, φησί, τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.[6]» Τὸ δὲ τῶν τέκνων αὐτοῦ ὄνομα, οἷς ἔλεγε, «Τεκνία, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι[7]», καὶ τῶν μετ' ἐκείνους ἐν ἁπάσαις ταῖς Ἐκκλησίαις υἱῶν τε αὐτοῦ καὶ υἱωνῶν καὶ ἀπογόνων, τί ἂν ἄλλο εἴη ἢ τὸ εὐλογημένον χριστιανὸν ὄνομα;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἀπὸ τοῦ Ἐκκλησιαστοῦ.

«Ἀγαθὸς παῖς πένης καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα, ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι. Ὅτι ἐξ οἴκου δεσμίων ἐξελεύσεται τοῦ βασιλεῦσαι, ὅτι καί γε ἐν βασιλείᾳ αὐτοῦ ἐγενήθη πένης. Εἶδον σύμπαντας τοὺς ζῶντας τοὺς περιπατοῦντας ὑπὸ τὸν ἥλιον μετὰ τοῦ νεανίσκου τοῦ δευτέρου, ὃς ἀναστήσεται ἀντ' αὐτοῦ. Οὐκ ἔστι περασμὸς τῷ παντὶ λαῷ τοῖς πᾶσιν, ὅσοι ἐγένοντο ἔμπροσθεν αὐτῶν· καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐν αὐτῷ, ὅτι καί γε

1. Ἐφ. 4, 10. 2. Ἰω. 20, 17. 3. Πρβλ. Πράξ. 1, 3. 4. Ἐφ. 4, 8. 5. Πρβλ. Ψαλμ. 18, 4. 6. Ματθ. 1, 21. 7. Ἰω. 13, 33.

τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.[1]» Ἐπεὶ Χριστὸς «σοφία Θεοῦ[2]» ὤν, δι' ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν, οἶμαι περὶ αὐτοῦ λέγεσθαι τό, «Ἀγαθὸς παῖς πένης καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα·» ὃν νομίζω εἶναι τὸν πεπαλαιωμένον ἡμερῶν κακῶν διάβολον· ὃς βασιλεὺς μέν ἐστι τῶν βασιλευομένων ὑπὸ τῆς ἐνεργουμένης ὑπ' αὐτοῦ ἁμαρτίας, ἄφρων γε μὴν διὰ τὸ ἐστερῆσθαι τῆς ἐναρέτου καὶ κατὰ Θεὸν φρονήσεως· ὁ δὲ προειρημένος «ἀγαθὸς καὶ σοφὸς παῖς, ἐξ οἴκου δεσμίων», ἤτοι τοῦ περιγείου τόπου, ἤτοι τῶν ἐν Ἅδῃ χωρίων, κατὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν προελθὼν Βασιλεὺς ὑπὸ τοῦ Πατρὸς ἐπὶ Σιὼν τὸ ἐπουράνιον ὄρος τοῦ Θεοῦ κατέστη[3], καὶ ἐν αὐτῇ τῇ βασιλείᾳ αὐτοῦ ἐγενήθη πένης, «οὐχ ἁρπαγμὸν ἡγούμενος τὸ εἶναι ἴσα Θεῷ[4]», ἀλλ' ἑαυτὸν ταπεινῶν καὶ τῆς ἀνωτάτω δόξης ὑποκαταβαίνων διὰ τοὺς μὴ χωροῦντας αὐτοῦ τὸν τῆς σοφίας πλοῦτον· τὸν δ' ἀντὶ τούτου λεγόμενον ἀναστήσεσθαι δεύτερον νεανίσκον, τὸν Ἀντίχριστον εἶναι ὑπολαμβάνω, μεθ' οὗ σύμπαντας τοὺς ὑπὸ τὸν ἥλιον ζῶντας καὶ περιπατοῦντας ἑωρακέναι φησὶν ὁ λόγος· τίνες δ' ἂν εἶεν οὗτοι, ἢ πάντες οἱ περιέποντες τὴν ὑπὸ τὸν ἥλιον λεγομένην «Ματαιότητα ματαιοτήτων;»

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐκ τοῦ Ἐκκλησιαστοῦ.

«Καί γε τοῦτο εἶδον σοφίαν ὑπὸ τὸν ἥλιον, καὶ μεγάλη ἐστὶ πρός με. Πόλις μικρὰ καὶ ἄνδρες ἐν αὐτῇ ὀλίγοι, καὶ ἔλθῃ εἰς αὐτὴν βασιλεὺς μέγας, καὶ κυκλώσει αὐτήν, καὶ οἰκοδομήσει ἐπ' αὐτὴν χάρακας μεγάλους· καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα καὶ σοφόν, καὶ διασώσει αὐτὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ ἄνθρωπος οὐκ ἐμνήσθη τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου. Καὶ εἶπα ἐγώ, Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν· καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ λόγοι αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι.[5]» Ἐπεὶ καὶ ἐνταῦθα ὁ μὲν τὰ τοῦ πολέμου ἐνεργῶν βασιλεὺς εἶναι λέγεται, ὁ δὲ διασῴζων τὴν ὑπὸ τούτου πολιορκουμένην πόλιν ἀνὴρ πένης καὶ σοφός· λεγομένου δὲ καὶ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ τοῦ, «Ἀγαθὸς πένης καὶ σοφὸς ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄφρονα», τὸν μὲν ἄφρονα βασιλέα τὸν διάβολον ἐξειλήφαμεν, τὸν δὲ πένητα καὶ σοφὸν τὸν δι' ἡμᾶς ἑαυτὸν κενώσαντα καὶ πτωχεύσαντα τοῦ Θεοῦ Λόγον· τούτου δὴ χάριν καὶ τὰ προκείμενα ἐσημειωσάμεθα, οὐκ ἄλλον εἶναι νομίζοντες τὸν ἐνθάδε διαγραφόμενον πολεμικὸν βασιλέα τοῦ ἐκεῖ λεγομένου βασιλέως ἄφρονος· ὡσαύτως δὲ τὸν ἐνταῦθα διασῴζοντα τῇ ἑαυτοῦ σοφίᾳ τὴν πολιουρκουμένην πόλιν τοῦ ἐκεῖ πένητος καὶ σοφοῦ, ὃν ἐλέγο-

1. Ἐκκλ. 4, 13-16. 2. Α' Κορ. 1, 24. 3. Πρβλ. Ψαλμ. 2, 6. 4. Φιλιπ. 2, 6. 5. Ἐκκλ. 9, 13-16.

μεν εἶναι τὸν Χριστόν· ὃς τὴν μικρὰν πόλιν, τουτέστι τὸν περίγειον τόπον συγκρίσει τοῦ παντὸς κόσμου βραχύτατον ὄντα, καὶ τοὺς ἐν αὐτῇ, ὡς ἐν παραθέσει τῆς τῶν λογικῶν ἁπάντων πληθύος ὀλίγους ὄντας ἐπὶ πάντα τὰ ἔθνη, ὡς σταγὼν ἐστιν ἀπὸ κάδου, ἐλυτρώσατο πολιορκουμένους ἀπὸ τῆς τοῦ διαβόλου βασιλείας, πάντοθεν τὸν περίγειον χῶρον καὶ τοὺς ἐν αὐτῷ κυκλοῦντος, οἰκοδομοῦντός τε ἐπ' αὐτὸν χάρακας μεγάλους, «τὰς ἀρχάς, καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας.[1]» Τοῦτον οὖν οὐκ ἄλλος τις ἢ μόνος καθεῖλεν ὁ πένης καὶ σοφὸς ἀνήρ, ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, κενώσας ἑαυτὸν καὶ δι' ἡμᾶς πτωχεύσας ἐν τῷ πλούτῳ τοῦ ἑαυτοῦ ἐλέους, καὶ καθελὼν διέσωσεν ἐν τῇ σοφίᾳ αὐτοῦ τὴν μικρὰν πόλιν, ὡς εἰκὸς τὴν Ἐκκλησίαν καθ' ἑτέραν ἐκδοχήν, καὶ τοὺς ἐν αὐτῇ ὀλίγους ὄντας· ἐπειδὴ «στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ διιόντες αὐτήν.[2]» Φασὶ δ' οἱ τὴν τηλικαύτην ὁρῶντες οἰκονομίαν τό, «Ἀγαθὴ σοφία ὑπὲρ δύναμιν·» δύναμιν δὲ δῆλον ὅτι τὴν τῶν πολεμίων· ἀλλὰ καί, «Ἄνθρωπος, φησίν, οὐκ ἐμνήσθη τοῦ ἀνδρὸς τοῦ πένητος ἐκείνου·» Θεὸς μὲν γὰρ ἦν ὁ διὰ τῶν προφητῶν μνημονεύων αὐτοῦ, καὶ προκηρύττων τὰ περὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας αὐτοῦ· τῶν δ' ὑπὸ τῆς σοφίας τῶν ἀρχόντων τούτου τοῦ αἰῶνος ἐνεργηθέντων οὐδὲ εἷς πώποτε ἐμνήσθη, ἐπεὶ μηδ' οἷοί τε ἦσαν εἰδέναι τὸ μυστήριον τὸ ἀποκεκρυμμένον πρὸ τῶν αἰώνων τῆς κατὰ τὴν ἐνανθρώπησιν οἰκονομίας τοῦ Λόγου τοῦ Θεοῦ. Πρὸς τούτοις λέγεται ὅτι «καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη·» καὶ γὰρ εὐδόκησεν ὁ Θεὸς «διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας·[3]» ἀλλὰ «καὶ οἱ λόγοι αὐτοῦ, φησίν, οὐκ εἰσὶν ἀκουόμενοι·» οὐ πάντων γάρ ἐστιν ἀκοῦσαι τῶν τοῦ Σωτῆρος λόγων, εἰ μὴ μόνον τῶν ἐχόντων ὦτα εἰς τὸ ἀκούειν· καὶ γὰρ τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ κεκαλυμμένον ἐστίν, πλὴν οὐ τοῖς αὐτοῦ μαθηταῖς, «τοῖς γὰρ ἀπολλυμένοις ἐστὶν κεκαλυμμένον.[4]»

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Τοῦ Ἄσματος τῶν ᾀσμάτων.

Ὅλον τὸ βιβλίον ὑπόθεσιν ἔχει νύμφης ἔρωτα πρὸς νυμφίον, ὁμολογούσης τετρῶσθαι τῇ πρὸς αὐτὸν ἀγάπῃ, καὶ αὐτοῦ πάλιν ὁμολογοῦντος αὐτὴν μόνην ἀπὸ πλειόνων ὑπάρχειν αὐτῷ τελείαν περιστερὰν[5] παρὰ τὰς λεγομένας βασιλίδας καὶ παλλακίδας καὶ νεάνιδας.[6] Οἱ μὲν οὖν ἐκ περιτομῆς μίαν εἶναι τῶν πεπιστευμένων παρ' αὐτοῖς δύο καὶ εἴκοσι θεοπνεύστων γραφῶν πεπεισμένοι καὶ ταύτην τὴν

---

1. Ἐφ. 6, 12. 2. Ματθ. 7, 14. 3. Α' Κορ. 1, 21. 4. Β' Κορ. 4, 3.
5. Πρβλ. Ἄσμ. 2, 10, 14. 5, 2. 6. Πρβλ. Ἄσμ. 6, 7-8.

Γραφήν, οὐκ οἶδ' εἰ ἔχοιεν ἄξιόν τι θείας ἐπιπνοίας λεγόμενον ἐν αὐτῇ παραστῆσαι, μὴ πλέον τι τῆς προχείρου ἐκδοχῆς κατὰ τοὺς τόπους φανταζόμενοι· ὁ δὲ δυνατὸς τὸ μὲν ἐπικείμενον καὶ ταύτῃ τῇ Γραφῇ κάλυμμα περιελεῖν, ἐπιστρέψαι δὲ πρὸς Κύριον ὅπερ ἐστὶ τὸ πνεῦμα, καὶ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν καὶ ἐν τούτοις δόξαν τοῦ Κυρίου κατοπτρίζεσθαι, θεωρήσει ἐν αὐτῇ τὰ κατὰ τὴν πνευματικὴν νύμφην, δῆλον δ' ὅτι τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, μυστήρια, καὶ τὰ λεγόμενα περὶ τοῦ τελείου τῆς τοιασδὶ νύμφης νυμφίου καὶ τῆς τῶν βασιλίδων αὐτοῦ καὶ παλλακίδων καὶ νεανίδων διαφορᾶς, καὶ ὅσα ἄλλα ἐναποκέκρυπται τῇ βίβλῳ ἀπορρητότερα μαθήματα, ἃ καὶ πληρεστάτης ἤδη σαφηνείας ἔτυχεν, οἷς ὁ φιλοπονώτατος τῶν θείων Γραφῶν ἐξηγητὴς ὑπεμνηματίσατο.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Ἀπὸ τοῦ Ἰώβ.

Ὁ Ἰὼβ ἐστιν ὁ φάσκων περὶ τοῦ Κυρίου μετὰ καὶ ἑτέρων, «Ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει· ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπὶ ἐδάφους ἐπὶ θαλάσσης·[1]» καὶ πάλιν, «Ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.[2]» Ἐπεὶ τοίνυν οὐκ ἔχεται τῆς περὶ τοῦ τῶν ὅλων Θεοῦ μεγαλονοίας τὸ ὑπολαμβάνειν αὐτὸν τὰ σύμπαντα πληροῦντα ἐπὶ θαλάσσῃ (ης) περιπατεῖν χωρούσης αὐτοῦ τὸ τοσοῦ (;) μέγεθος, λείπεται περὶ τοῦ λόγου ταῦτα νοεῖν· οὗ τῇ δυνάμει, τύπος αὐτοῦ τυγχάνων, ὁ τοῦ Ναυὴ Ἰησοῦς εἶπεν τῷ ἡλίῳ καὶ ἔστη κατὰ Γαβαὼν[3], ἀλλὰ καὶ κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ, ὡσπερεὶ θείᾳ τινὶ προστάξει, ὁ ἥλιος ἐπὶ πᾶσαν ἐσκότασεν τὴν γῆν.[4] Αὐτὸς δέ ἐστιν «ὁ τανύσας τὸν οὐρανόν, ὁ καὶ περιπατήσας ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης[5]», ὁπηνίκα ἐνανθρωπήσας ἀπετέλει τὰ παράδοξα, καθὼς ἐν τοῖς Εὐαγγελίοις ἱστόρηται. Εἰ δ' ὅλως ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον τὰ κατὰ τοὺς τόπους ἀναφέροι, τὸ ἑξῆς ἂν εἴη μὴ μόνα ἅπερ ἐξεθέμεθα ῥητὰ εἰς αὐτὸν ἐκλαβάνειν, ἀλλὰ καὶ πάντα τὰ ἐν τῇ περικοπῇ ὑπὸ τοῦ Ἰὼβ λεγόμενα· καὶ γὰρ καὶ τὸ μέγα κῆτος[6] μόνος αὐτὸς ἐχειρώσατο, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καὶ τὸν μέγαν ὡς ἀληθῶς δράκοντα τὸν διάβολον καταργήσας, ὃς πάλαι μὲν τὰς τῶν ἀνθρώπων ψυχὰς κατέπινεν ἰσχύσας, δίκην τοῦ τὸν Ἰωνᾶν καταπεπωκότος κήτους, χειρωθεὶς δ' ὕστερον ὑπὸ τοῦ καταπαλαίσαντος αὐτόν, προήγαγεν αὖθις οὓς πάλαι καταπεπώκει, ὁμοίως τῷ τὸν Ἰωνᾶν σῷον ἀποδεδωκότι θηρίῳ· πληρουμένης ἐν τούτῳ προφητείας φασκούσης, «Κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ

---

1. Ἰὼβ 9, 7-8. 2. Ἰὼβ 3, 8. 3. Πρβλ. Ἰησ. Ν. 10, 12. 4. Πρβλ. Ματθ. 27, 45. 5. Ἰὼβ 9, 8. 6. Πρβλ. Ἰων. 2, 1.

παντὸς προσώπου·[1]» ὃ καὶ λέγομεν διὰ τὸν τὸ λεγόμενον ἐνταῦθα μέγα κῆτος χειρωσάμενον Σωτῆρα καὶ Κύριον ἡμῶν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἀπὸ τοῦ Ἰώβ.

Ὁ Κύριος ἐν τῷ πρὸς τὸν Ἰὼβ χρηματισμῷ τὰ τῆς ἑαυτοῦ προνοίας καὶ οἰκονομίας ἔργα διεξιών φησι, «Καὶ συλλαβὼν γῆν πηλόν, ἔπλασας ζῷον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ τῆς γῆς; Ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονας δὲ ὑπερηφάνων συνέτριψας; Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν;[2]» Ταῦτα δέ φησιν ὁ Κύριος πρὸς τὸν Ἰὼβ περὶ ἑαυτοῦ, ὡς μηδενὸς ἑτέρου πλὴν αὐτοῦ μόνου δυναμένου τὰ τηλικαῦτα ἐνεργεῖν· τίς γάρ ἐστιν ὁ λαβὼν γῆν καὶ πλάσας ζῷον, ἢ ὁ Θεὸς ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς καὶ πλάσας τὸν ἄνθρωπον; Ἅμα δὲ διδασκόμεθα ἐντεῦθεν, ὡς ἄρα ὁ πλάσας τὸν ἄνθρωπον αὐτός ἐστιν ὁ καὶ εἰς τὰ κατώτερα τῆς γῆς καταβάς, καὶ εἰς τὴν λεγομένην καρδίαν αὐτῆς, ἥντινα νῦν ὑπολαμβάνω πηγὴν θαλάσσης ὠνομάσθαι· ἔτι δὲ καὶ ὁ ἐν ἴχνεσιν θαλάσσης περιπατήσας, ᾧ μόνῳ μετὰ φόβου ἠνεῴχθησαν αἱ τοῦ θανάτου πύλαι, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, ὃν καὶ οἱ πυλωροὶ τοῦ Ἅδου ἰδόντες ἔπτηξαν, ὁρῶντες τὸ νῖκος καὶ τὸ κέντρον, καὶ τὰς ὠδῖνας τοῦ θανάτου δι' αὐτοῦ καθαιρουμένας· τάχα δὲ τούτοις τοῖς πυλωροῖς τῶν ἐνθάδε λεγομένων πυλῶν τοῦ θανάτου ὑπό τινων θείων δυνάμεων ἐλέγετο κατὰ τὸν καιρὸν τοῦ πάθους καὶ τῆς εἰς τὸν Ἅδην τοῦ Σωτῆρος ἡμῶν καταβάσεως τό, «Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης·[3]» αἰώνιοι δὲ εἴρηνται πύλαι, ὡς ὑπολαμβάνω, διὰ τὸ ἐξ αἰῶνος μηδενὶ ἄλλῳ αὐτὰς ἀνεῖσθαι ἢ τούτῳ μόνῳ τῷ καὶ τοὺς πάλαι ποτὲ καταποθέντας ὑπὸ τοῦ θανάτου ῥυσαμένῳ καὶ ζωοποιήσαντι· περὶ οὗ ἐνθάδε μὲν εἴρηται τό, «Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ Ἅδου ἰδόντες σε ἔπτηξαν·» ἐν δὲ τῷ ρς' ψαλμῷ τό, «Ὅτι συνέτριψε πύλας χαλκᾶς[4], οὐκ ἄλλας οὔσας, ὡς οἶμαι, ἢ τὰς «τοῦ θανάτου, καὶ μοχλοὺς σιδηροῦς συνέτριψεν[5]», δῆλον δ' ὅτι τοὺς τῶν προειρημένων πυλῶν. Ταῦτα μὲν οὖν ἡμῖν ὡς ἂν μηδενὶ ἑτέρῳ ἢ τῷ Χριστῷ ἁρμόζοντα εἰς αὐτὸν ἐξείληπται· αὐτὸς γάρ ἐστιν ᾧ πᾶσαν τὴν κρίσιν ἔδωκεν ὁ Πατήρ, ὥστε αὐτὸν ἀφαιρεῖν μὲν ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονας δὲ ὑπερηφάνων συντρίβειν· εἰ δέ τις περὶ τοῦ τῶν ὅλων Θεοῦ οἰηθείη ταῦτα λέγεσθαι, ἐπιστησάτω εἰ εὐσεβές ἐστιν τὸν φάσκοντα, «Οὐχὶ

1. Ἡσ. 25, 8. 2. Ἰὼβ 38, 14-17. 3. Ψαλμ. 23, 7. 4. Ψαλμ. 106, 16. 5. Ψαλμ. 106, 16.

τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος [1]», οὗ «ὁ οὐρανὸς θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν [2]», τὸν ἐμπεριέχοντα τὰ πάντα Θεὸν τοῦτον φάσκειν, ἢ κἂν ἐννοεῖν ἐν ἴχνεσι θαλάσσης περιπεπατηκέναι· τί δὲ καὶ θαυμαστόν, ἢ ἄξιον τῆς ἀγενήτου φύσεως, ὥσπερ μέγα τι φάσκειν ἠνεῷχθαι αὐτῷ τὰς τοῦ θανάτου πύλας; ἆρα δὲ πρέποι ἂν τῷ τῶν ὅλων Θεῷ ὡς μέγα τι καὶ παράδοξον περὶ ἑαυτοῦ διεξέρχεσθαι τὸ τοὺς πυλωροὺς τοῦ Ἅδου ἰδόντας αὐτὸν ἐπτηκέναι; Ἀλλ' (οὐκ) οἶμαι ταῦτα περὶ αὐτοῦ λέγεσθαι, δύναταί γε μὴν ἐφαρμόζειν εὐσεβῶς καὶ ἀβιάστως ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον, τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἐνανθρωπήσαντα, καὶ θάνατον ὑπομείναντα, ἀναστάντα τε ἐκ νεκρῶν μετὰ θείας δυνάμεως καὶ τῆς δοθείσης αὐτῷ παρὰ τοῦ Πατρὸς ἐξουσίας.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τοῦ Ἰώβ.

Πάλιν ὁ Κύριος ἐν τῷ πρὸς τὸν Ἰώβ χρηματισμῷ περὶ τοῦ δράκοντος διαλεγόμενός φησιν, «Οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι; [3]» φησὶν ὅτι ὁ δράκων οὐκ ἄλλος ὢν τοῦ διαβόλου. Ὅρα οὖν εἰ ἄξιον ὑπολαμβάνειν τὸν τῶν ὅλων Θεὸν τοῦτο φάσκειν· ἁρμόζοι δ' ἂν μᾶλλον τῷ Κυρίῳ καὶ Σωτῆρι ἡμῶν, ᾧ μόνῳ ἡτοίμασται ὁ ὑπὸ μηδενὸς ἑτέρου νικηθείς, σχεδὸν δὲ τῶν πάντων ὑπερισχύσας διάβολος, ὅντινα μόνος αὐτὸς ὁ πάντων ἰσχυρότερος τοῦ Θεοῦ Λόγος ἐχειρώσατο κατὰ τό, «Ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι· [4]» ὃ καὶ χειρωσάμενος θαρσεῖν τοῖς ἑαυτοῦ μαθηταῖς παρακελεύεται λέγων, «Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.[5]»

Ταῦτα καὶ τὰ ἀπὸ τῶν μετὰ τοὺς ψαλμοὺς στιχηρῶν· λείπει τὰ ἀπὸ τῶν προφητικῶν Γραφῶν ἀναλέξασθαι, καὶ πρῶτά γε τὰ ἀπὸ τῶν δώδεκα.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἀπὸ τοῦ Ὠσηέ.

«Διότι ἐγώ εἰμι ὡς πάνθηρ τῷ Ἐφραΐμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα.[6]» Ἐπεὶ καὶ ἐν ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ προφήτου ὁ Κύριος περὶ ἑαυτοῦ φησιν τό, «Καὶ ἔσομαι ὡς πάνθηρ [7]», ἀναγκαῖον ἰδεῖν τὰ ἱστορούμενα [ἃ] περὶ τοῦ ζῴου· καὶ δὴ ἀπὸ τοῦ πρώτου τῶν Διδύμου Φυσικῶν ταῦτα παραθετέον.

Πάνθηρ τὸ ζῷον οὐ μόνον ἐστὶ κατὰ τὸ σῶμα εὔμορφον, καθάπερ ἀστερωπός, ἀλλ' ἐπεὶ πέφυκεν εὔπνους ὑπερβάλλει καὶ τῶν παρ'

1. Ἱερ. 23, 24. 2. Ἠσ. 66, 1. 3. Ἰὼβ 41, 2. 4. Ἰὼβ 3, 8. 5. Ἰω. 16, 33. 6. Ὠσ. 5, 14. 7. Ὠσ. 13, 7.

Ἰνδοῖς ἀρωμάτων ἐν εὐωδίᾳ· οὗτος ἕως οὗ οὐ πεπείνηκεν ἐν τῇ καταδύσει μένει, θέλων οἰκουρός τις εἶναι· ἐπὰν δὲ τροφῆς ἐπιθυμήσῃ μεταλαβεῖν, προελθὼν βαδίζει μόνον· τὰ δ' ἄλλα θηρία ἁλισκόμενα ὑπὸ τῆς εὐωδίας αὐτοῦ τῆς περὶ τὸ σῶμα ἀκολουθεῖ κηλούμενα· ὁ δὲ πλάγιος τοῖς ὀφθαλμοῖς τὸ ἐπιτήδειον αὐτῷ θηρίον αἱρεθῆναι περιβλέπει καὶ ἐπιπηδήσας ἔχει.

Τὰ μὲν δὴ περὶ τῆς φύσεως τοῦ ζῴου τοιαῦτα· ὅπως δ' ἐπὶ τὴν τοῦ θείου Λόγου δύναμιν καὶ τὴν ἐξ αὐτῆς ἀποπνέουσαν εὐωδίαν ταῦτα μεταφέροιτο, μακρὸν ἂν εἴη νῦν διηγεῖσθαι. Παραθετέον τὸ ῥητὸν πρὸς τοὺς ἐκ περιτομῆς κατά τινα δὴ διαβολὴν καὶ λοιδορίαν φάσκοντας ἐκ πάνθηρος γεγενῆσθαι τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὃ καὶ τάχα κατά τινα παράδοσιν μυστικώτερόν τι δηλοῦσαν παρειληφότες οὐκ ἐπιβάλλουσι τῇ διανοίᾳ, διὰ τὸ μὴ ἐφιστάναι τῇ προκειμένῃ τῆς προφητείας λέξει, ἐν ᾗ αὐτὸς ὁ Κύριος πάνθηρα ἑαυτὸν ὀνομάζει

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἀπὸ τοῦ αὐτοῦ.

«Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα ναοῦ σου οἰχήσεται· ὡς ὁ ἄρχων Σαλαμὼν ἐκ τοῦ οἴκου τοῦ Ἱεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, οὕτως ποιήσουσιν ὑμῖν οἶκος τοῦ Ἰσραὴλ ἀπὸ προσώπου κακιῶν ὑμῶν.[1] Διότι νήπιος Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα αὐτόν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. Καθὼς μετεκάλεσα αὐτούς, οὕτως ἀπῴχοντο ἐκ προσώπου μου.[2]» Ἀντὶ τοῦ, «καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ», δουλεύσας τῷ Ἑβραϊκῷ, «Ἐξ Αἰγύπτου μετεκάλεσα τὸν υἱόν μου», ἐξέδωκεν ὁ Ἀκύλας. Ἀναγκαίως δὲ τὸ ῥητὸν ἐσημειωσάμεθα, ἐπειδήπερ ὁ Ματθαῖος κατὰ λέξιν ἐκτίθεται τὴν προφητείαν σφόδρα ἀπηκριβωμένως πεπληρῶσθαι φήσας αὐτὴν ἐπὶ τοῦ Σωτῆρος ἡμῶν· «Χρηματισθεὶς ὁ Ἰωσὴφ παρέλαβε τὴν Μαριὰμ καὶ τὸν υἱὸν αὐτῆς· καὶ ὑπέστρεψεν ἐξ Αἰγύπτου εἰς γῆν Ἰσραήλ.[3]» Ὅρα γοῦν εἰ μὴ καὶ κατὰ τὸν Ἀκύλαν φήσαντα, «Ἐν ὄρθρῳ κατεσιωπήθη βασιλεὺς Ἰσραήλ, ὅτι παῖς Ἰσραήλ, καὶ ἠγάπησα αὐτόν, καὶ ἀπὸ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου·» σαφῶς γὰρ δηλοῦται ἡ ἀποβολὴ τῆς τοῦ Ἰσραὴλ βασιλείας, ἥτις μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας συστᾶσα ἐξ αὐτῆς ἀπερρίφη, καὶ κατεσιωπήθη· ὡς διὰ τοῦτο εἰρῆσθαι τό, «Ἐν ὄρθρῳ κατεσιωπήθη βασιλεὺς Ἰσραήλ·» ὄρθρον τὴν ἐπιφάνειαν καὶ τὴν τότε πρώτην εἰς πάντας ἀνθρώπους ἀνατολὴν τοῦ θείου Λόγου τῆς προφητείας ὀνομαζούσης «ἐν ὄρθρῳ·» δύναται καὶ περὶ τοῦ Ἡρώδου προθεσπίζεσθαι τό, «κατεσιωπήθη

1. Ὠσ. 10, 14-15. 2. Ὠσ. 11, 1-2. 3. Πρβλ. Ματθ. 2, 19-21.

βασιλεὺς Ἰσραήλ·» ὡς διὰ τὸν παραλογισμόν, ὃν πέπονθεν ὑπὸ τῶν μάγων ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν γενέσει, ἃ καὶ συμβέβηκεν διὰ τὴν τοῦ Πατρὸς περὶ τὸν ἴδιον παῖδα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀγάπην, ὡς καὶ ἐν ἄλλαις προφητείαις Ἰσραὴλ καὶ ἐνταῦθα προσαγορευόμενον· ὃν κατὰ καιρὸν μὲν ᾠκονομήσατο ἐπὶ τὴν Αἴγυπτον ἅμα τῷ Ἰωσὴφ καὶ τῇ μητρὶ ἀπᾶραι, ὅτε καὶ χρεία ἐκάλει τὸν ἐπιβουλεύοντα αὐτῷ βασιλέα, δῆλον ὅτι τὸν Ἡρώδην, κατασιωπηθῆναι· αὖθις δ' αὐτὸν τούτου τελευτήσαντος ἀνακαλεῖται ἀκολούθως τῇ μετὰ χεῖρας προφητείᾳ. Εἰ δ' ἐπὶ τὸν Ἰουδαίων λαὸν ταῦτά τις ἀναφέροι φάσκων περὶ τοῦ λαοῦ Ἰσραὴλ τοῦ ἐκ περιτομῆς ταῦτα εἰρῆσθαι, ἐπιστησάτω τῇ τοῦ λόγου ἀκολουθίᾳ· ταῦτα γὰρ λέγει προειπών, ὡς καὶ πρὸς αὐτὴν τὴν Ἱερουσαλὴμ τό, «Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου· καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται·» καὶ ἅπερ φησὶν ὁ τοιόσδε ἄρχων πέπονθε κατὰ τὸν ἐπελθόντα αὐτῷ πόλεμον, ἐν ᾧ μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, τὰ παραπλήσια καὶ ὑμῖν αὐτοῖς ποιήσω διὰ τὰς κακίας ὑμῶν, ὦ οἶκος τοῦ Ἰσραήλ, οἳ καὶ ἀπερρίφθησαν σὺν καὶ τῷ βασιλεῖ αὐτῶν, καὶ ταῦτά γε πάντα πεπόνθασι· «Διότι παῖς, φησίν, Ἰσραὴλ καὶ ἐγὼ ἠγάπησα αὐτόν· καὶ ἀπ' Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου.» Ποίαν γὰρ ἔχει ἀκολουθίαν ἡ λέξις ὁ βουλόμενος παραστησάτω· ἀλλ' ὥσπερ κατὰ μυρίας ἄλλας προφητείας Ἰακὼβ καὶ Ἰσραὴλ ὁ Χριστὸς προσαγορεύεται, τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν· ἐπεὶ οὖν, φησίν, οὗτος ὑπήκοός μοι γεγενημένος μορφὴν δούλου εἴληφεν καὶ γέγονεν παιδίον ἀγαπητὸν ἐμοί, πᾶσαν τὴν ἐμὴν ἐκτελέσας βουλήν, διὰ τοῦτο αὐτὸν μὲν ἀπὸ τῆς νοητῆς Αἰγύπτου, εἰς ἣν ἐνανθρωπήσας κατελήλυθεν, οἷα γνήσιον καὶ ἀγαπητὸν Υἱὸν ἀνεκαλεσάμην, ὑμᾶς δὲ τοὺς πρὸς οὓς ὁ λόγος σὺν καὶ τῇ βασιλείᾳ ὑμῶν ὀλέθρῳ καὶ ἀπωλείᾳ παραδώσω. Ταῦτα μὲν ἡ προφητεία· πρόδηλον δ' ὅπως ἀπὸ τῶν τοῦ Σωτῆρος ἡμῶν χρόνων πολιορκηθείσης τῆς Ἱερουσαλὴμ καθῃρέθη τε καὶ εἰς τὸ παντελὲς ἀπερρίφη ἡ μέχρι τότε συστᾶσα τῶν Ἰουδαίων βασιλεία, ὡς μετὰ τῶν ἄλλων καὶ ταύτην πεπληρῶσθαι τὴν προφητείαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Ἀπὸ τοῦ αὐτοῦ Ὠσηέ.

«Οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ· διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. Ὀπίσω Κυρίου πορεύσομαι.[1]» Ὁ αὐτὸς εἰπών, «Διότι Θεὸς ἐγώ εἰμι», ἐπιφέρει λέγων, «Ὀπίσω Κυρίου πορεύσομαι.» Τίς δ' ἂν ἄλλος εἴη Θεὸς ὀπίσω Κυρίου πορευόμενος, ἢ ὁ τοῦ Θεοῦ Λόγος τῷ τοῦ Πατρὸς ἑπόμενος βουλήματι; Ὃς καὶ διδάσκει μὴ δοκεῖν

1. Ὠσ. 11, 9-10.

αὐτὸν διὰ τὴν ἐνανθρώπησιν ψιλόν τινα ἄνδρα τῶν πάλαι δικαίων καὶ ἁγίων τινὶ παραπλήσιον γεγονέναι. Φησὶ δὲ μὴ εἰσελεύσεσθαι εἰς πόλιν, δηλῶν τὸ μὴ κοινῇ καὶ ἀνθρωπίνῃ κεχρῆσθαι πολιτείᾳ, ὅπερ ποιεῖν καὶ τοὺς μαθητὰς αὐτοῦ παιδεύει λέγων, «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε.[1]»

(Τοῦ Ἰωὴλ σαφὲς οὐδέν.)

ΚΕΦΑΛΑΙΟΝ ΙΓ′.

Ἀπὸ τοῦ Ἀμώς.

«Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός, καὶ οὐδ᾽ ὧς ἐπεστρέψατε πρός με, λέγει Κύριος.[2]» Καὶ ἐνθάδε αὐτὸς ὁ Κύριός φησιν ὡς περὶ ἑτέρου τό, «Καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα·» καὶ ἐν τῇ Γενέσει δὲ τετήρηκεν ἡ θεία Γραφὴ τὰ δύο πρόσωπα φήσασα, «Καὶ ἔβρεξε Κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ Κυρίου·[3]» ἐξ ὧν καταφανὴς ἡ περὶ Πατρὸς καὶ Υἱοῦ τυγχάνει τῆς ἐκκλησιαστικῆς πίστεως ὀρθοδοξία.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ′.

Τοῦ αὐτοῦ.

«Ἑτοιμάζου ἐπικαλεῖσθαι τὸν Θεόν σου Ἰσραήλ. Διότι, ἰδού, στερεῶν βροντήν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὁμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.[4]» Καὶ διὰ τούτων σαφῶς τὰ τῆς εἰς ἀνθρώπους ἐπιδημίας τοῦ Χριστοῦ προφητεύεται· ἐπὶ σχολῆς δ᾽ ἂν ἑκάστη λέξις ἀκριβεστέρας τύχοι σαφηνείας.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ′.

Τοῦ Ἀβδίου.

«Ὅρασις Ἀβδίου· Τάδε λέγει Κύριος ὁ Θεὸς τῇ Ἰδουμαίᾳ· Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν.[5]» Ἐπεὶ καὶ ἐνταῦθα Κύριος ὁ Θεὸς ἀκοὴν ἤκουσε παρὰ Κυρίου, εἰκότως ἐσημειωσάμεθα τὸν τόπον.

---

1. Ματθ. 10, 5. 2. Ἀμ. 4, 11. 3. Γεν. 19, 24. 4. Ἀμ. 4, 12-13. 5. Ὀβδ. 1, 1.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.
Ἀπὸ τοῦ Ἰωνᾶ.

Μερικὴν μὲν ἰδίως περὶ τοῦ Χριστοῦ προφητείαν οὐχ εὕρομεν ἐν τῷ προκειμένῳ· ἐπεὶ δὲ πρὸς τὴν αἰτοῦσαν τὸν Σωτῆρα σημεῖον γενεὰν οὐκ ἄλλο ἔφησεν αὐτῇ δοθήσεσθαι ἢ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου, ἐπαγαγὼν τό, «Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας·[1]» τούτου δὴ χάριν ἀναγκαίως καὶ ταύτην ἐν ταῖς περὶ Χριστοῦ μαρτυρίαις ἐσημειωσάμεθα τὴν Γραφήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.
Ἀπὸ τοῦ Μιχαία.

«Διότι, ἰδού, Κύριος Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρός.[2]» Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ταῦτα λέγεσθαι ὑπειλήφαμεν.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.
Τοῦ αὐτοῦ.

«Ἀκούσατε δὴ ταῦτα, οἱ ἡγούμενοι, οἴκου Ἰακώβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οἱ βδελυσσόμενοι κρῖμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις, οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν Κύριον ἐπανεπαύοντο, λέγοντες· Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά· διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.[3] Καὶ ἔσται ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν· καὶ ἥξουσιν ἐπ' αὐτὸ λαοί, καὶ πορεύσονται ἐπ' αὐτὸ ἔθνη πολλὰ καὶ ἐροῦσιν· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ· ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον λαῶν πολλῶν, καὶ ἐλέγξει λαὸν ἰσχυρὸν ἕως εἰς μακράν· καὶ κατακόψουσιν τὰς μαχαίρας αὐτῶν

1. Ματθ. 12, 40. 2. Μιχ. 1, 3-4. 3. Μιχ. 3, 9-12.

εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐκέτι ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐκέτι μὴ μάθωσι πολεμεῖν.[1]» Εἰπὼν ὁ λόγος ὡς ἄρα διὰ τὰς δυσσεβείας τοῦ Ἰουδαίων λαοῦ τὸ μὲν «Σιὼν ὄρος ὡς ἀγρὸς ἀροτριαθήσεται», ἡ δὲ πρότερον νενομισμένη πόλις ἁγία «Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται», ἑξῆς προφητεύει περὶ ἑτέρου ὄρους Κυρίου, ὅπερ ἐπὶ τοῦ τῆς προφητείας καιροῦ ὑφειστήκει μέν, οὐ μὴν καὶ ἐμφανὲς τοῖς τυχοῦσιν ὑπῆρχεν, ὡς ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν ἀναφανησομένου ὑπεράνω τε τῶν βουνῶν καὶ τῶν ὀρέων μετεωρισθησομένου· ἐπὶ τοῦτο δὲ τὸ καινὸν ὄρος ἥξειν ὁ λόγος προαγορεύει, οὐκέτι τὸν Ἰσραὴλ ἐκεῖνον, λαοὺς δὲ καὶ ἔθνη πολλὰ φάσκοντα, «Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου·» καὶ οὐ μόνον εἰς τὸ ὄρος Κυρίου, ἀλλὰ καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, ἕτερον ὄντα δῆλον ὅτι παρὰ τὸν ἐν Ἱερουσαλήμ· ταύτην γὰρ ἐρημωθεῖσαν ὡς ὀπωροφυλάκιον ἔσεσθαι μικρῷ πρόσθεν εἰρήκει· ἀκολούθως δὲ τῷ τὸ Σιὼν ὄρος καὶ τὴν Ἱερουσαλὴμ ἐρημωθήσεσθαι, ἕτερα δ' ἀντὶ τούτων ὀφθήσεσθαι, καὶ νόμος ἕτερος παρὰ τοῦ Μωϋσέως ἐξ ὄρους Χωρὴβ δεδομένος ἐξελεύσεσθαι ἐκ τοῦ καινοῦ ὄρους, ὁμωνύμως τῷ προτέρῳ Σιὼν καὶ αὐτοῦ ὀνομαζομένου, λέγεται· ἔτι δὲ καὶ λόγος Κυρίου μετὰ τοῦ καινοῦ νόμου εἴρηται ἐκ τῆς νέας Ἱερουσαλήμ, ἣν οἶκον τοῦ Θεοῦ Ἰακὼβ ἀνωτέρω προσεῖπεν, προελεύσεσθαι· ὁ λόγος ἐπὶ πάντα τὰ ἔθνη προελθὼν κρινεῖν ἀνὰ μέσον λαῶν πολλῶν καὶ ἐλέγξειν λαὸν ἰσχυρὸν προηγόρευται, τοσοῦτόν τε ὠφελήσειν διὰ τῆς ἰδίας κρίσεως καὶ τοῦ ἐλέγχου τοὺς ἐλεγχθησομένους, ὡς τῆς προτέρας μεταβαλόντας ἀγίας καὶ πολεμικῆς καταστάσεως τὸν ἤρεμον καὶ εἰρηνικὸν ἐπ. . . . . Ταῦτα μὲν ἡ προφητεία· σκοπεῖν δὲ πάρεστιν εἰμ. . . . . . τοῦ Σωτῆρος ἡμῶν παρουσίαν διὰ τοὺς οἰκοδομήσαντας.... τοῖς αἵμασι τῶν τε προφητῶν καὶ αὐτοῦ τοῦ Χριστοῦ καὶ τω. . . . . λων αὐτοῦ· οὓς ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ ὁ Ἰουδαίων ἀνεῖλε λ. . . . . διὰ τοὺς τὰ λοιπὰ ὅσα δὴ ἐν τῇ προφητείᾳ κατεῖλε. . . . . μελήσαντας τὸ Σιὼν ὄρος ὡς οὐδεπώποτε ἄλλοτε . . . . Ἱεσουσαλὴμ πεπολιόρκηται· ὧν μετὰ τὴν ἐρήσωσιν ἡ ἐπ . . . . . . καὶ τὸ Σιὼν ὄρος τὸ ἐπουράνιον τοῦ Θεοῦ· ὧν ἐτύγχανον τ . . . . σκιὰ καὶ τύποι καὶ παραδείγματα πᾶσι τοῖς εἰς τὸν . . . . Θεὸν διὰ Χριστοῦ προσεληλυθόσι πεφανέρωται.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ἀπὸ τοῦ αὐτοῦ.

«Καὶ σύ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθά, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐ(ν χιλι)άσιν Ἰούδα· ἐξ οὗ μοι ἐξελεύσεται Ἡγούμενος τοῦ εἶναι εἰς ἄρχο(ντα) ἐν τῷ Ἰσραήλ· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμε-

1. Μιχ. 4, 1-3.

ρῶν αἰώνων....[1]» Διὰ τούτων δείγματα περὶ τοῦ Χριστοῦ παρίσταται· ἓν μὲν τῆς (κα)τὰ Μαρκίωνα καὶ τοὺς λοιποὺς αἱρεσιώτας πλάνης ἑ. . . . . θάτερον δὲ τῆς κατὰ Ἀρτέμωνα καὶ τὸν Σαμοσατέ . . . . Ἐβιωναίων τε ὅσοι μὴ προεῖναι τῆς ἐνανθρωπήσεως . . . . ὑπειλήφασιν· τοὺς μὲν γὰρ μὴ ὁμολογοῦντας αὐτὸν. . . . . Θεὸν σαφῶς ὁ προφητικὸς διελέγχει λόγος τε . . . . ἄρα «αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς» καὶ «ἐξ ἡμερῶν α...». . . . . . . .νουσι· τοῖς δὲ κατὰ Μαρκίωνα καὶ τὰς λοιπὰς. . . . . .σεις πεπλανημένοις καὶ μὴ ὁμολογοῦσιν αὐτ.. . . . . ρ' καγένεσιν, μηδ' ὅτι ἔγνωστο ὑπὸ τῶν τοῦ δημιου . . . . . . ν παραθετέον τὸν προφητευόμενον τῆς γενέσεως. . . . . σαφῶς εἰς δεῦρο καὶ πρὸς αὐτῶν τῶν ἐπιχωρίων μολάγο. . . . . υ· ὡς ἂν ἐκ παραδόσεως τοῦ ἐν Βηθλεὲμ τόπου ἔνθα . . . . . . γεγέννηται· καὶ πρὸς αὐτῶν δὲ τῶν ἱερῶν εὐαγγελιστῶν . . . .τυρουμένου· καὶ Ἰουδαίοις δὲ προσακτέον τὸ ῥητόν. . . . . υσιν ὅς τίς ποτ' εἴη παραστῆσαι τὸν προφητευόμενον ὡς ἀτελῆ . . . . κατ' αὐτούς· δῆλον δ' ὅτι καὶ ψευδῆ διελέγχεσθαι τὴν θείαν . . . . πρόρρησιν· ὅ γε μὴν σωτήριος καὶ εὐαγγελικὸς τοῦ Χριστοῦ λόγος ἄρχων κατέστη τοῦ νοητοῦ Ἰσραήλ, κυρίως τοῦ ἐν κρυπτῷ Ἰουδαίου καὶ πάσης τῆς ἐναρέτου καὶ διορατικῆς ψυχῆς Ἰσραὴλ . . . . .ἐπινοουμένης.

(Τοῦ Ναοὺμ σαφὲς οὐδέν, καὶ τοῦ Ἀμβακούμ.)

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ἀπὸ τοῦ Σοφονίου.

«Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον· διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰσδέξασθαι βασιλεῖς.[2]» Καὶ διὰ τούτων οἶμαι δηλοῦσθαι τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Χριστοῦ· ἧς γενομένης τὰς πανταχοῦ συναγωγὰς τῆς ἐξ ἐθνῶν Ἐκκλησίας συστήσεσθαι προφητεύεται· ἴσως δ' ἂν καὶ τετ. . . . τῆς δευτέρας αὐτοῦ παρουσίας· καὶ τῆς καθόλου πάντων . . . . .κληφθείη τὰ κατὰ τὸν τόπον.

(Τοῦ Ἀγγαίου σαφὲς οὐδέν.)

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ἀπὸ τοῦ Ζαχαρία.

« . . . . . . παντοκράτωρ, Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ . . . . εύσαντα ὑμᾶς·[3]» εἶτ' ἐπιφέρει μετὰ βραχέα λέγων, «(γνώσε)σθε, ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με.[4]» Ὁ λέγων ἅ . . . . .

1. Μιχ. 5, 1. 2. Σοφ. 3, 8. 3. Ζαχ. 2, 12. 4. Ζαχ. 2, 15.

με Κύριός ἐστι παντοκράτωρ· ὡσαύτως δὲ καὶ ὁ ἀπὸ . . . . . .θερος ὢν τοῦ ἀποστελλομένου Κύριος ὠνόμασται παν . . . . εἰκότως οὖν ἡμῖν ἐν τοῖς περὶ Πατρὸς καὶ Υἱοῦ . . . . τὸ ῥητόν, ὅτι καὶ Κύριος παντοκράτωρ ὁ τοῦ Θεοῦ . . . . ὥσπερ καὶ Θεὸς διὰ τῶν προφητῶν ἐχρημάτισεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Τοῦ αὐτοῦ.

. . . «καὶ εὐφραίνου, θύγατερ Σιών, ὅτι ἰδού, ἐγὼ ἔρχομαι, καὶ . . . σκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται . . . ολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐ . . . λαόν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ . . γνώσῃ, ...παντοκράτωρ ἀπέσταλκέ με πρὸς σέ.[1]» Καὶ τίς . . . ὁ ταῦτα φάσκων καὶ ὁμολογῶν ἀπεστάλθαι ὑπὸ Παντοκράτορος, ἢ ὁ τοῦ Θεοῦ Λόγος ὑπὸ τοῦ Πατρὸς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων γένους ἀποσταλείς· ὃς τὰ προκείμενα . . . ἐπουράνιον Σιών· ἧς παράδειγμα τὸ ἐπὶ γῆς ὄρος ἐτύγ . . . καὶ πρὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ἀποτείνεται· προ. . . ενος αὐτῇ τὴν κλῆσιν τῶν δι' αὐτοῦ σωθησομέ . . . . . ὑπ' αὐτοῦ βασιλευθησομένων ἐν αὐτῇ.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ἀπὸ τοῦ αὐτοῦ.

«Καὶ . . . . τὸν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσω . . τοῦ Κυρίου, καὶ διάβολος ἑστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικει . . . αὐτῷ.[2]» Καὶ μετ' ὀλίγα· «Καὶ εἶπεν πρὸς τοὺς ἑστηκότας πρὸ τῆς . . . τοῦ αὐτοῦ, λέγων· Ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ· καὶ εἶπεν· Ἰδού, ἀφήρηκα τὰς ἀνομίας σου, καὶ ἐνδύσατε . . . . δήρη, καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.[3]» Καὶ πάλιν μετ' ὀλίγα λέλεκται πρὸς αὐτόν· «Ἄκουε δή . . . . ρεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου σου· διότι ἄνδρες τερατοσκόποι εἰσί, διότι, ἰδού, ἐγὼ ἄγω δοῦλόν μου Ἀνατολήν.[4]» Καὶ αὖθις μεθ' ἕτερα· «Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μέ, λέγων· Λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων.[5]» Καὶ μετὰ βραχέα· «Καὶ λήψῃ ἀργύριον καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ υἱοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, καὶ ἐρεῖς πρὸς αὐτόν· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἰδού, ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον Κυρίου, καὶ αὐτὸς λήψεται ἀρετήν, καὶ

---

1. Ζαχ. 2, 14-15. 2. Ζαχ. 3, 1. 3. Ζαχ. 3, 4-5. 4. Ζαχ. 3, 8. 5. Ζαχ. 6, 9-10.

καθιεῖται, καὶ ἄρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων. Ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομενοῦσιν.[1]» Ἐπεὶ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁ θαυμάσιος Ἀπόστολος Ἀρχιερέα Μέγαν ὠ(νόμασε) διεληλυθότα τοὺς οὐρανούς[2], ἀναφέροιτ' ἂν ἐπ' αὐτὸν εἰκότως ..... καὶ ὁ κατὰ τὴν προφητείαν τῇ τε αὐτῇ προσωνυμίᾳ καὶ τῷ αὐτῷ ἀξιώματι τετιμημένος· ταύτῃ τε......... ρηματίσας· τοῦτον δὴ οὖν ὁ Κύριος ἔδειξεν τῷ προφήτῃ....τιρυπώσῃ περιβεβλημένον, τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπὶ τὴν καθ' ἡμᾶς αἰχμαλωσίαν αἰνιττόμενος κάθοδον, καθ' ἥν........ῶν κηρύξαι αἰχμαλώτοις ἄφεσιν, οἷα δὴ τὰς ἡμετέρας εἰς ἑαυτὸν ἀναλαβὼν ἁμαρτίας ῥυπαροῖς κέχρηται παρ' ἡμῶν ἐνδύμασι· ταῦτα δ' ὁ Πατὴρ ἀποδύντα κελεύει τὰ τῆς θεότητος ἀναλαβεῖν θεῖα καὶ ἀξιοπρεπῆ τῆς κατ' οὐρανὸν ἀρχιερωσύνης ἐνδύματα. Τούτων δὲ καὶ κατὰ τὴν ἱστορίαν περὶ τ...τότε Ἰησοῦν τυπικῶς ὡς εἰκὸς γεγενημένων ἀφ' ἑτέρας ἀρχῆς ὁ λόγος πρός τε αὐτὸν τὸν ἄνδρα Ἰησοῦν καὶ τοὺς σὺν αὐτῷ ... (τε)ρατοσκόπους, ἡγοῦμαι δ' οὕτως τοὺς τῆς πνευματικῆς ...... ἠξιωμένους ὠνομάσθαι, φησίν, «Ἰδοὺ ἐγὼ ἄγω τὸν .... Ἀνατολήν.[3]» Καὶ ὑποκαταβὰς αὐτοῦ τοῦ Ἰησοῦ τοὺς στε(φάνους) τῇ κεφαλῇ ἐπιθείς, ἐπιφέρει λέγων·[4] «Τάδε λέγει Κύριος παντοκράτωρ· ἰδοὺ ἀνὴρ Ἀνατολὴ ὄνομα·» καὶ ὑποκάτ...... «ἀνατελεῖ καὶ οἰκοδομήσει τὸν οἶκον Κυρίου[5]» καὶ τάς.... καὶ τὰ ἐπὶ τὸν Χριστὸν ἀναφέροιτ' ἄν, τῆς προσηκούσης..(τυ)χόντα διηγήσεως· πλὴν καὶ τοῖς ἐκ περιτομῆς καὶ.......αλόν.....παραθέσθαι. ἐπεὶ μηδ' ὅλως προφήτην ἀπὸ τῆς.....περσου βασιλείας· καὶ τῶν τῆς προφητείας χρόνων.........ἐγηγερμένον ἔχοιεν ἐπιδεῖξαι, μή ὅτι γε Ἰωάννην καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Τίς δὴ οὖν ὁ προφητευόμενος ὥρα λέγειν.. εἰ δὲ λέγοιεν, ταῦτα εἰς τὸν Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ ἀναφέρεται, δεικτέον αὐτοῖς, ὅτι μηδαμῶς ἐκείνῳ τὰ λεγόμενα ἁρμόζει· πότε γὰρ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἀνατολή; διὰ τί δὲ καὶ ταύτης ἀξιοῦται τῆς προσηγορίας; πῶς δὲ ἁρμόσει αὐτῷ τό, «Καὶ καθιεῖται καὶ ἄρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ;» μάλιστα δὲ τό, «Καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ;» εἰ γὰρ αὐτὸς ἐτύγχανεν ὢν ὁ ἱερεὺς ὁ μέγας, τίς δ' ἂν εἴη ὁ ἐκ δεξιῶν αὐτοῦ, ἕτερος ὢν παρ' αὐτὸν ἱερεύς; σαφῶς δὲ ἕτερον παρ' ἐκεῖνον εἶναι διδάσκει τὸν λεγόμενον Ἀνατολήν· πρὸς γὰρ τὸν αὐτὸν Κύριον καὶ το(ὺς)..ἀμφ' αὐτοῦ(ὸν) φησὶν ὁ λόγος· «Ἄκουε δὴ Ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου· ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου Ἀνατολήν·» εἰ δὴ οὖν αὐτῷ ταῦτα εἴρηται, πῶς ἂν ἔτι χώραν ἔχει(οι) τὸ περὶ αὐτοῦ λέγεσθαι νομίζειν τό, «Ἰδοὺ ἀνὴρ ἀνατολὴν... αὐτῷ;»

---

1. Ζαχ. 6, 11-14. 2. Πρβλ. Ἑβρ. 4, 14. 3. Ζαχ. 3, 8. 4. Πρβλ. Ζαχ. 6, 11. 5. Ζαχ. 6, 12.

Σαφῶς δὴ διὰ τούτων δύο παρίσταται πρόσωπα· ἓν μὲν ᾧ τὸ θεῖον διαλέγεται, ἕτερον δὲ περὶ οὗ προφητεύει· ᾧ καὶ ἀναμφιλόγως ἀνάγοιτ' ἂν ἐπὶ τὸν Χριστὸν τὸν ἀληθῶς υἱὸν τοῦ . . . . . ἑρμηνεύεται ἰαὼ δικαιοσύνη· οὗτος δ' ἂν εἴη ὁ Πατήρ. . .τοὺς τῶν νικητηρίων περιτιθεὶς τῷ Χριστῷ στεφάνους. . . . . .καλεῖ· διὰ τὴν εἰς ἀνθρώπους ἀνατείλασαν αὐ . . . . διδασκαλίαν καὶ τὸν πρῶτον καὶ μέγαν ἀρχι . . . . .πρωτότοκον αὐτοῦ Λόγον· Θεὸν μὲν ὄντα καὶ Κύριον τῶν. . . . . . . .ων ἱερέα δὲ τῆς πρώτης καὶ ἀγενήτου θεότητος· . . . . .ωρ δὲ εἶναι αὐτόν φησιν οὗ ἀνείληφεν ἀνθρώπου, ἱερέως μεγάλου . . . . .αὐτοῦ χρηματίζοντος διὰ τὴν ἕνωσιν τῆς πρὸς τὸν Μονογενῆ τοῦ Θεοῦ. Πολλῆς δὲ τῶν κατὰ τὸν τόπον δεομένων ἐξ(ηγήσεως) ἱκανὰ καὶ ταῦτα ὡς πρὸς τὴν παροῦσαν ὑπόθεσιν.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Τοῦ αὐτοῦ.

«Χαῖρε. . . . .θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδού, ὁ βα. . . . .ἔρχεταί σοι δίκαιος καὶ σῴζων αὐτὸς πραῢς καὶ ἐπι . . . . . . ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραΐμ, καὶ ἵππον ἐξ Ἱερουσαλήμ, καὶ ἐξολοθρεύσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ θαλάσσης, καὶ ποταμῶν δι' ἐκβολὰς γῆς.[1]» Θυγάτηρ Σιών, ᾗ προστάσσει χαίρειν ὁ Λόγος πᾶσα ἡ τῆς νοητῆς καὶ ἐπουρανίου Σιὼν οἱ κατατυγχανει (;) ψυχή, ἢ (ἡ) καὶ ἐπὶ γῆς διὰ Χριστοῦ συστᾶσα ἐξ ἐθνῶν ἐκκλησία (ς)· ὁμοίως δ' αὖ πάλιν θυγάτηρ Ἱερουσαλήμ, ἡ συγγένειαν φέρουσα τῆς ἐπουρανίου Ἱερουσαλήμ· οἷά τις ἦν ἡ Παύλου λέγοντος, «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ ἡμῶν.[2]» Ταῖς δὴ οὖν τοιαύταις ψυχαῖς ὁ Λόγος (ἐπι)δημήσειν τὸν Χριστὸν τοῦ Θεοῦ προανακηρύττει ἐπιβεβηκότα ὑποζυγίῳ καὶ πώλῳ νέῳ· οὕτω τῆς ἀνθρωπείας φύσεως, ἣν ἐπιδημήσας (ἀνεί)ληφεν, νοουμένης· μεθ' ἧς ἐξωλόθρευσε πᾶσαν πολεμικὴν δύναμιν ἀπὸ πάσης ἐκκλησιαστικῆς καὶ φέρειν καρποὺς ἁγίους δυναμένης ψυχῆς, τοῦ Ἐφραΐμ εἰς καρποφορίαν μεταλαμβανομένου, καὶ εἰς ὅρασιν εἰρήνης κατὰ τὴν Ἑλλάδα γλῶτταν τῆς Ἱερουσαλήμ· καὶ δὴ ἐξολορθεύσας τοὺς πρότερον τῆς ἀνθρωπότητος ἐπικρατούσας (;) δαίμονας πονηρούς, ἐξ ἁπάντων τῶν πάλαι τούτοις ὑποχειρίων ἐθνῶν μυρίους ὅσους ὑπὸ τὸν εὐσεβῆ τῆς διδασκαλίας αὐτοῦ ζυγὸν ὑπηγάγετο. Ταῦτα μὲν κατὰ διάνοιαν· καὶ ῥητῶς δὲ ὁ Χριστὸς ἐνανθρωπήσας καὶ σωματικῶς τὰς περὶ αὐτοῦ προφητείας ἐπιτελῶν, καὶ ταύτῃ πέρας ἐπιτέθεικεν, ὅτε κατὰ τὸν εὐαγγελιστὴν εἶπεν τοῖς ἑαυτοῦ μαθηταῖς, «Πορευθέντες εἰς τὴν ἀπέναντι κώμην, εὑρήσετε ὄνον καὶ πῶλον δεδεμένην· λύσαντες οὖν

1. Ζαχ. 9, 9-10. 2. Γαλ. 4, 26.

αὐτὴν ἀγάγετε· καὶ ἐάν τις ὑμῖν εἴπῃ τί ποιεῖτε, ἐρεῖτε, ὁ Κύριος ἀπο (αὐτῶν) χρείαν ἔχει· καὶ ἀπελθόντες ἐκεῖνοι ἐποίησαν καθὼς προσέταξεν αὐτοῖς.[1]» Τούτων δ' οὕτως ἐχόντων, παραθετέον τὰ ῥητὰ τοῖς μόνως σωματικῶς καὶ Ἰουδαϊκῶς τὰ προκείμενα ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ γενήσεσθαι φανταζομένοις· δεικτέον τε αὐτὸ δὲ (;) ὅπως ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν παρουσίᾳ καὶ σωματικῶς περ αυτ... φεν μετὰ τῶν ἄλλων καὶ ἡ φάσκουσα προφητεία, «Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ καὶ ἵππον ἐξ Ἱερουσαλήμ.» Ἡ γοῦν τοῦ Χριστοῦ θεία καὶ οὐράνιος δύναμις ἀπορρήτῳ ἐνεργείᾳ μετὰ τὴν....τούτου ἐπιβουλήν· αὐτήν τε τὴν Ἱερουσαλὴμ σὺν καὶ τῇ προγ...... ἐν αἷς τῇ τυγχανούσῃ πολεμικῇ δυνάμει ἐξωλόθρευσε· τότ.....λαὸν τὸν ἐν αὐτῇ Ἐφραῒμ πολλάκις ὠνομασμένον.............. ἐντολήν· πληθύνοντα ἵππον ἐν τῇ Ἱερουσαλὴμ καὶ ἁρματ...... τικῶς διὰ τὰς ἐν τοῖς πολέμοις παρατάξεις τ....κατ.......γενομένους ἵππους· κτήνεσιν τοῖς ἀνοήτοις παρ' ὅμοια.......... οὓς ἐναργῶς πάντας ἡ παρουσία τοῦ Σωτῆρος ἡμῶν ἐξωλόθρευσ.... γοῦν τὴν σωτήριον παρουσίαν ἐξολοθρευθέντων ἐκείνων.....τυχὸν πλῆθος ἐξ ἁπάντων τῶν ἐθνῶν τὴν ἐν ταῖς ψυχαῖς...... κατεδέξαντο· τοῦ Θεοῦ κατάρξαντος καὶ κατακρατήσεως..... ἀγγελικοῦ ῥητοῦ τῆς οἰκουμένης ἁπάσης κατὰ τὴν...... ην τοῦ θείου Λόγου προφητείαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.
Τοῦ αὐτοῦ Ζαχαρία.

«Καὶ κατισχύσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι..... καυχήσονται, λέγει Κύριος.[2]» Πάλιν Κύριος ὁ τοῦ Θεοῦ Λόγος κατισχύ(σειν ὑπι)σχνεῖται τοὺς ἀξίους ἐν Κυρίῳ Θεῷ αὐτῶν, τὸν Θεὸν καὶ Πατέρα ἑαυτοῦ δηλῶν. Διὸ ἐν τοῖς περὶ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦτο σεσημειώσθω τὸ ῥητόν.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.
Τοῦ αὐτοῦ.

«Καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος Κυρίου ἐστίν. Καὶ ἐρῶ πρὸς αὐτούς· Εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστιν, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίους· καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον. Καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν....... τοῦ διασκεδάσαι τὴν διαθήκην ἀναμέσον Ἰούδα, καὶ ἀναμέσον Ἰσραήλ.[3]» Καὶ τί γὰρ οὐχὶ τῶν ἐπὶ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν

---

1. Ματθ. 21, 2-3, 6. 2. Ζαχ. 10, 12. 3. Ζαχ. 11, 11-14.

Ἰησοῦ Χριστοῦ συν . . . των προέγνωστό τε καὶ προείρητο τοῖς ἱεροῖς τοῦ Θεοῦ προφήταις . . . . . . γὰρ ἐκ παρθένου γένεσις αὐτοῦ καὶ ὁ τῆς γενέσεως . . . . λῆ καὶ ἡ ῥίζα ἐξ ἧς τὸ κατὰ σάρκα γεγέννηται· τά τε . . . . αὐτῷ ἐπιδημήσαντι παράδοξα διὰ τῶν ἀνέκαθεν προφητῶν . . . . τῆς ὑπὸ τοῦ θείου Πνεύματος ἠξιώθη Γραφῆς· ἐπὶ πᾶσι δὲ καὶ τὸν θάνατον καὶ τὸ τούτου εἶδος προεδήλωσαν, οὐ παραλιπόντε . . . . οὐδ' ἃς ὑπέμεινε μάστιγας καὶ ἐμπτυσμοὺς ῥαπίσματά τε καὶ ὕβρεις· ἀλλὰ τὸν προδώσαντα αὐτὸν τοῖς ἐπιβουλεύουσιν ἐν αὐτῶν (ἕνα τῶν) μαθητῶν μηνύσαντες· ὀνομαστὶ γοῦν αὐτὸν ἐστηλίτευσε διὰ Ἱερεμίου τὸ θεῖον Πνεῦμα φῆσαν, «Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ.[1]» Ταῦτα δ' ἐν αὐτῷ τῷ Ἑβραϊκῷ καὶ τοῖς λοιποῖς εὕροις ἂν παρὰ τοὺς Ο' Ἑρμηνευτάς· καὶ ἐν ψαλμοῖς δὲ διαφόροις μάθοις ἂν τὰ κατ' αὐτὸν δηλούμενα· καὶ νῦν δ' οὐδὲν ἧττον διὰ τῆς προκειμένης λέξεως σαφῶς καὶ τὸν ἀριθμὸν τοῦ ἀργυρίου ὅπερ λαβὼν ὁ Ἰούδας προῦδωκε τοῖς ἐπιβουλεύουσι τὸν διδάσκαλον, ἡ θεία προθε(σπίζει) Γραφή. Λέγοιτο δ' ἂν τὰ προκείμενα ἐκ προσώπου τοῦ Χριστοῦ, ὥσπερ τοὺς ἐπιβουλεύσαντας αὐτῷ, οὓς ἑτέρωθι μὲν «ἄρχοντας Σοδόμων καὶ λαὸν Γομόρρας[2]» ὁ τῆς προφητείας ἀποκαλεῖ λόγος, ἐπὶ τοῦ παρόντος δὲ Χαναναίους διὰ τὴν πρὸς τοὺς Χαναναίους ἐξομοίωσιν αὐτοὺς ὀνομάζει. Φήσασα γοῦν ἡ προφητεία τό, «Καὶ γνώσονται οἱ Χαναναῖοι», ἐπιφέρει, διδάσκουσα ὑμᾶς τίνας βούλεται σημαίνειν, καί φησιν, «τὰ πρόβατα τὰ φυλασσόμενά μοι.» Τίνα δὲ ἦν ταῦτα τὰ πρόβατα, τὰ πρότερον τῷ Κυρίῳ φυλασσόμενα, ἢ ὁ ἐκ περιτομῆς λαός; οὓς νῦν Χαναναίους ὀνομάσας ὁ Λόγος, ὡς ἐκ προσώπου τοῦ Χριστοῦ ἐπάγει λέγων, «καὶ ἐρῶ πρὸς αὐτούς» τὰ ἀναγεγραμμένα, ἃ καὶ λέγοι ἂν πρὸς τοὺς ἐπιβουλεύσοντας αὐτῷ, ὑπὲρ ὧν αὐτοὺς εὐεργέτησε τοὺς μισθοὺς ὥσπερ αἰτῶν αὐτούς, τοῦτ' ἔστι τὴν εἰς αὐτὸν πίστιν καὶ τὸν ταύτῃ κατάλληλον βίον· οὕτως γὰρ ἀκούω τοῦ, «δότε τὸν μισθόν μου·» οἱ δέ, κατὰ τὸ ἑτέρωθι περὶ αὐτῶν εἰρημένον ὑπ' αὐτοῦ, «Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου·[3]» τριάκοντα ἀργυρίους στήσαντες παρέσχον τῷ προδότῃ, ὡσπερεὶ τοσούτου αὐτὸν τῇ ἀσεβεστάτῃ αὐτῶν κρίσει τιμώμενοι. Ἀλλ' ἐπεὶ τὸ ἑκάστου ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει, τούτου χάριν καθεῖναι αὐτούς, «εἰς τὸ χωνευτήριον», τοῦτ' ἔστιν εἰς τὸ τῆς κρίσεως καὶ τὸ τῆς κολάσεως πῦρ, ὁ Κύριος προστάσσει· τίνας δὲ αὐτοὺς ἢ τοὺς ἐπιβουλεύσαντας αὐτῷ; Καὶ σκέψαι δέ, φησί, εἰ δόκιμόν ἐστιν, δῆλον δ' ὅτι τὸ κατ' αὐτοῦ δρασθὲν αὐτοῖς· λέγει δὲ αὐτοὺς ἐν τῷ πυρὶ δοκιμασθήσεσθαι, ὃν τρόπον καὶ αὐτὸς ὁ Κύριος διὰ τῆς εἰς σάρκα ἐπιδημίας καὶ τοῦ πάθους ἐδοκιμάσθη ὑπὲρ αὐτῶν· καὶ

1. Ἱερ. 17, 1. 2. Ἡσ. 1, 10. 3. Ψαλμ. 108, 4-5.

γὰρ δὴ προηγουμένως ἐνηνθρώπησε, καὶ πέπονθεν ὑπὲρ σωτηρίας τῶν ἀπολωλότων προβάτων οἴκου Ἰσραήλ. Τούτοις ἑξῆς καὶ τὴν μετὰ τὸ πάθος τοῦ Σωτῆρος ἡμῶν ἀποβολὴν αὐτῶν σημαίνων ὁ Λόγος φησί, «καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν.» Τίς δέ ἐστιν αὕτη διδάσκων ἐπιφέρει τὸ «σχοίνισμα», περὶ οὗ εἴρηται, «σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[1]» Σαφέστερον γοῦν τοῦτο παρίστησιν ἐπιλέγων, «τοῦ διασκεδάσαι τὴν προτέραν διαθήκην τοῦ Θεοῦ, τὴν ἀναμέσον Ἰούδα καὶ ἀναμέσον Ἰσραήλ·» καὶ σαφῶς δείκνυται ἀπὸ τῶν τοῦ Σωτῆρος ἡμῶν χρόνων περιῃρημένα τῆς λατρείας ἁπάσης τῆς κατὰ τὸν νόμον ἐξ ἐκείνου καὶ εἰς δεῦρο καθαιρεθείσης.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.
Τοῦ αὐτοῦ Ζαχαρία.

«Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου, καὶ ἐπὶ ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ, πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήτωσαν τὰ πρόβατα· καὶ ἐπιστρέψω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας.[2]» Ἐπείπερ ὁ εὐαγγελιστὴς τό, «Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης[3]», ἐντεῦθεν λαβὼν κατὰ τὸν σωτηρίου πάθους καιρὸν πέρας εἰληφέναι ἐδίδαξεν, ὅτε καταλείψαντες αὐτὸν οἱ μαθηταὶ διεσκορπίσθησαν· τούτου δὴ χάριν καὶ ἡμεῖς ἐσημειωσάμεθα τὸ ῥητόν, ὃ καὶ πολλῆς δεόμενον ἐξετάσεως εἰς ἐπιτήδειον ἀναθησόμεθα καιρόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.
Τοῦ αὐτοῦ.

«Καὶ ἐξελεύσεται Κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα πολέμου·[4] καὶ παρέσται Κύριος ὁ Θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ.[5]» Καὶ ταῦτα ὑπονοοῦντες περὶ τῆς δευτέρας λέγεσθαι τοῦ Χριστοῦ παρουσίας ἐσημειωσάμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.
Τοῦ ἀγγέλου.

«Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντο-

---

1. Δευτ. 32, 9. 2. Ζαχ. 13, 7. 3. Ματθ. 26, 31. 4. Ζαχ. 14, 3. 5. Ζαχ. 14, 5.

κράτωρ· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό.[1]» Ὥσπερ χεὶρ καὶ δεξιὰ καὶ βραχίων καὶ δύναμις τοῦ Θεοῦ τῶν ὅλων ὁ Λόγος αὐτοῦ ἐν ταῖς θείαις ὠνόμασται Γραφαῖς, οὕτως ὁ αὐτὸς καὶ ὄνομα χρηματίζει τοῦ Θεοῦ. Τοῦτο οὖν τὸ θεῖον ὄνομα ὡς «ἀπ' ἀνατολῶν ἡλίου καὶ δυσμῶν δεδόξασται ἐν τοῖς ἔθνεσιν», παντί τῳ πρόδηλον ἀπὸ τῶν πανταχόσε χρηματιζόντων κατὰ τὴν τοῦ Χριστοῦ προσηγορίαν· οἳ καὶ ἐν παντὶ τόπῳ πνευματικὸν θυμίαμα καὶ τὴν δι' εὐχῶν καθαρὰν καὶ ἀναίμακτον καὶ λογικὴν θυσίαν διὰ τοῦ κατ' ἀλήθειαν ἀρχιερέως προσάγουσι τῷ Θεῷ· τούτων δὲ τοῦτον λατρευόντων τὸν τρόπον, τὰς σωματικὰς τοῦ προτέρου λαοῦ θυσίας ἀποστραφήσεσθαί φησιν ὁ Θεός· καὶ δὴ σαφὲς πῶς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν κατ' ἀμφότερα πέρας εἴληφεν ἡ προφητεία· κατά τε τὴν προτέρου λαοῦ ἀποβολήν, ἅμα τε ἀρθείσης ἐξ αὐτῶν κατὰ τὸν Δανιὴλ θυσίας καὶ σπονδῆς, καὶ κατὰ τὴν τῶν ἐθνῶν ἐπὶ τὸν ὅλων Θεὸν ἐπιστροφήν.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Τοῦ αὐτοῦ.

«Ἡ διαθήκη ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα αὐτῷ φόβῳ φοβεῖσθαί με, καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι αὐτόν. Νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας. Ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν.[2]» Καὶ ταῦθ' ἁρμόζειν ὑπολαμβάνοντες ταῖς περὶ Χριστοῦ μαρτυρίαις ἐκτεθείμεθα· ἥ τε γὰρ διαθήκη τῆς ζωῆς καὶ τῆς εἰρήνης ἦν μετ' αὐτοῦ, τό τε τοῦ φόβου πνεῦμα μετὰ καὶ τῶν λοιπῶν ἐπ' αὐτὸν ἀνεπαύσατο κατὰ τό, «Καὶ ἐμπλήσει αὐτὸν πνεῦμα φόβου Θεοῦ[3]», λεγόμενον ἐν Ἡσαΐᾳ· τοῦτο δὲ καὶ ὁ τῆς ἀληθείας νόμος, οὐχὶ δὲ ὁ τυπικὸς ἐν τῷ στόματι ἦν, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ· κατὰ γὰρ τὸν Ἡσαΐαν ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν χείλεσιν αὐτοῦ· οἷα δὲ συνὼν τῇ πατρικῇ δυνάμει «ἐν εἰρήνῃ κατευθύνων» ἐπορεύετο μετ' αὐτοῦ, πολλοὺς τῶν πάλαι τὸν Θεὸν μὴ εἰδότων εἰς ἐπιστροφὴν ἄγων· παρ' αὐτοῦ δέ, ἅτε ἀρχιερέως ὄντος καὶ τὴν περὶ πάντων γνῶσιν διαφυλάττοντος, τὸν θεῖον νόμον ἐξεζήτησάν τε καὶ ἐκζητήσουσιν, οἷς μέλλει τῆς κατ' αὐτὸν ἐπιστήμης· αὐτὸς γάρ ἐστιν «ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος[4]», διακονῶν καὶ διαγγέλλων παντὶ γενητῷ τὸ τοῦ Πατρὸς βούλημα.

1. Μαλ. 1, 10-12. 2. Μαλ. 2, 5-7. 3. Ἡσ. 11, 3. 4. Ἡσ. 9, 6.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ΄.

Τοῦ αὐτοῦ.

«Ἰδοὺ ἐξαποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν ἑαυτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· ἰδού, ἔρχεται, λέγει Κύριος παντοκράτωρ. Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ ὡς ποιὰ πλυνόντων· καὶ καθιεῖται ἀναχωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον.[1]» Τὰ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας καὶ διὰ τούτων προφητεύεται ὁπηνίκα . . . ς τοῦ Θεοῦ καὶ Πατρὸς τῶν ὅλων ἐξαποσταλεὶς αὐτὸς ὁ Χριστὸς τοῦ Θεοῦ ὁ ν(ῦν) λεγόμενος «τῆς διαθήκης ἄγγελος ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου τοῦ Πατρός», τοῦτ' ἔστι προευτρεπίσει καὶ προπαρασκευάσει τὰς τῶν ἀνθρώπων ψυχὰς τῇ τοῦ Πατρὸς βασιλείᾳ· ὅτε ἐκ λογικῶν καὶ ἐμψύχων λίθων τὸν πνευματικὸν ναόν, τοῦτ' ἔστι τὴν Ἐκκλησίαν, ἐπισκευάσαντος αὐτοῦ, ἥξει αὐτὸς ὁ Κύριος καὶ Θεὸς Λόγος ἅμα αὐτῷ τῷ τῆς διαθήκης Ἀγγέλῳ εἰς τὸν δεδηλωμένον ναόν· εἶτα, οἷα τὴν δευτέραν αὐτοῦ παρουσίαν προαγγέλλων, ὁ Λόγος ὁ ὡς πρὸς τοὺς ἁμαρτωλούς φησιν, «Ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ· καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ;» καὶ τὰ ἑξῆς· οἷς ἐπιμελῶς προσεκτέον ὑπ' αὐτοῦ τοῦ παντοκράτορος Κυρίου ὡς περὶ ἑτέρου λεγομένοις· καὶ πευστέον τε τῶν ἐκ περιτομῆς, εἴ τινα ἔχοιεν λέγειν τὸν ἐνταῦθα δηλούμενον Κύριον καὶ τὸν σὺν αὐτῷ Ἄγγελον τῆς διαθήκης, περὶ οὗ Κύριος ὁ παντοκράτωρ φάσκει τό, «Ἰδοὺ ἔρχεται», καὶ τὰ λοιπά· δι' ὧν καθ' ἡμᾶς ἡ δευτέρα τοῦ Χριστοῦ καταγγέλλεται παρουσία· ὃς Λόγος Θεοῦ τυγχάνων παραγενόμενος εἰσπορεύσεται εἰς τὴν ἑκάστου ψυχήν, κρίνων ἕκαστον περὶ τῶν αὐτῷ κατὰ τὸν βίον πεπραγμένων, ἐκπλύνων τε καὶ διὰ πυρὸς χρυσοῦ δίκην χωνεύων, καὶ καθαρίζων τὰ πάντων ἡγεμονικά. Πᾶσαν γοῦν τὴν κρίσιν ὁ Πατὴρ δέδωκεν τῷ Υἱῷ κατὰ τὸν φάσκοντα καὶ ἐν Ψαλμοῖς λόγον, «Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως· κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει[2]» ἔνθα *βασιλεὺς* μὲν ἡ θεότης καὶ αὐτὸς ὁ Θεὸς Λόγος ἀνηγόρευται· ὃν δὲ ἀνείληφεν ἄνθρωπον, «υἱὸς τοῦ βασιλέως.»

---

1. Μαλ. 3, 1-3. 2. Ψαλμ. 71, 1-3.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ΄.

Τοῦ αὐτοῦ ἀγγέλου.

«Καὶ ἀνατελεῖ τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.[1]» Ἥλιος δικαιοσύνης τὸ «φῶς ἐστιν τὸ ἀληθινὸν τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον·[2]» ὃς μόνοις ἀνατέλλειν εἴρηται τοῖς φοβουμένοις τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ· τοῖς γάρτοι μὴ τοιούτοις δύσεσθαι ἀπειλεῖ, κατὰ τό· «Καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου[3]», ἔν τινι τῶν προφητῶν εἰρημένον.

Ταῦτα μὲν τὰ ἀπὸ τῶν δώδεκα προφητῶν· ἀλλ᾽ ἐπεὶ τὰ ἐκ τοῦ Ἡσαΐου διὰ τὸ πλῆθος ἐν ἰδίῳ συγγράμματι περιλαβεῖν ἡμῖν πρόκειται, φέρε μεταβάντες τὰ ἀπὸ τῶν λοιπῶν μεγάλων προφητῶν ἐπισκεψώμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Ἐκ τοῦ Ἱερεμίου.

«Κύριε, γνώρισόν μοι, καὶ γνώσομαι· τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν. Ἐγὼ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων· ἐπ᾽ ἐμὲ ἐλογίσαντο λέγοντες· Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι.[4]» Ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς (κα) τὰ τὴν ἐν τῷ Ἡσαΐᾳ προφητείαν, «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος[5]», κατὰ δὲ τὴν μετὰ χεῖρας, «ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι οὐκ ἔγνων·» καὶ τὸ κατὰ τὸν σταυρὸν δὲ πάθος αὐτοῦ δύναται δηλοῦσθαι διὰ τοῦ· «Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς ἄρτον αὐτοῦ καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων· καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ ἔτι·» ἅπερ ἐκ προσώπου λέλεκται τῶν ἐπιβουλευσάντων αὐτῷ. Εἰ γὰρ δὴ τὸ σῶμα αὐτοῦ ἄρτος ἦν, ὡς αὐτὸς διδάσκει πρὸς τοὺς μαθητὰς λέγων, «Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου[6]», τοῦτο δ᾽ ἦν τὸ πρὸς τῷ ξύλῳ κατὰ τὸν σταυρὸν δειγματισθέν, περὶ αὐτοῦ λέγοιτ᾽ ἂν εἰκότως τό, «Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς ἄρτον αὐτοῦ· » εἰ δὲ καὶ βαθυτέρας ἔχοιτο θεωρίας τὰ κατὰ τὸν τόπον, οὐδὲν πρὸς ἐκεῖνο λυπεῖ καὶ τὰ εἰρημένα.

---

1. Μαλ. 4, 2. 2. Ἰω. 1. 9. 3. Μιχ. 3. 6. 4. Ἱερ. 11, 18-19. 5. Ἡσ. 53, 7. 6. Ματθ. 26, 26.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Τοῦ αὐτοῦ.

«Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. Ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. Μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί, ἢ σπήλαιον κύκλῳ αὐτῆς; Βαδίσατε, συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. Ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν μερίδα ἐπιθυμητὴν εἰς ἔρημον ἄβατον, ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας· δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ.[1]» Ἔοικε τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν εἶναι φωνὴ καὶ ἡ φάσκουσα περὶ μὲν τοῦ ἐν Ἱερουσαλὴμ νεὼ τό, «ἐγκαταλέλοιπα τὸν οἶκόν μου», περὶ δὲ τῆς προτέρας Συναγωγῆς, ἣ καὶ μερίς ποτε καὶ σχοίνισμα κληρονομίας αὐτοῦ γέγονεν, τό, «Ἀφῆκα τὴν κληρονομίαν μου», κατὰ τό, «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε· Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[2]» Αὐτὸς δ' ὁ εἰπὼν «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν[3]», φησὶν καὶ τό, «Ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς.» Τούτῳ δὲ καὶ ἐγενήθη ἡ προτέρα κληρονομία ὡς λέων ἐν δρυμῷ· ἔδωκέν τε ἐπ' αὐτὸν τὴν φωνὴν αὐτῆς, ὁπηνίκα παραδόντες αὐτὸν τῷ Πιλάτῳ ἐστήκεισαν κατηγοροῦντες αὐτοῦ καὶ μονονουχὶ βοῶντες, «Αἶρε, αἶρε, σταύρου αὐτόν·[4]» διὰ τοῦτο δέ φησιν, «Ἐμίσησα αὐτήν», διὰ τὰ μίσους ἄξια αὐτῆς ἔργα, καὶ διὰ τὸ μηδὲν εἰς αὐτὸν ἀγάπης ἄξιον ἐπιδείξασθαι· τὸ δ' ἑξῆς, καὶ μάλιστα τό, «Δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ», ἔοικεν δηλοῦν τὴν διὰ τὸν Σωτῆρα μετὰ τὸ πάθος αὐτοῦ τελείαν γενομένην ἅλωσιν καὶ αἰχμαλωσίαν τοῦ προτέρου λαοῦ, καὶ τὴν εἰς ἔσχατον τῆς Ἱερουσαλὴμ ἐρήμωσιν.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

Τοῦ αὐτοῦ.

«Κύριε, ἰσχύς μου καὶ βοήθειά μου, καὶ καταφυγή μου ἐν ἡμέρᾳ κακῶν. Πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ' ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν, Ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλημα. Εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεούς, καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί; Διὰ τοῦτο, ἰδού, ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ

---

1. Ἱερ. 12, 7-11. 2. Λουκ. 13, 34-35. 3. Ἰω. 10, 18. 4. Πρβλ. Ἰω. 19, 15.

τὴν χεῖρά μου, καὶ γνωριῶ αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.[1]» «Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ ἐκκεκολαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτῶν.[2]» Περὶ τῶν διὰ Χριστοῦ τὸν τῶν ὅλων ἐπεγνωκότων Θεὸν προφητεύσας ὁ λόγος, ἑξῆς ἐπάγει περὶ τῆς κατὰ τοῦ Σωτῆρος τοῦ Ἰουδαίων λαοῦ ἁμαρτίας, ἀνεξάλειπτον αὐτὴν ἔσεσθαι σημαίνων κατὰ τὰς παρατεθείσας μετὰ ἀστερίσκων λέξεις· ἃς δύναταί τις καὶ ἐπὶ τοῦ προδότου Ἰούδα ἐφαρμόζειν, ὡς καὶ ὀνομαστὶ τῷ θείῳ Πνεύματι προεγνωσμένου τε καὶ προαναπεφωνημένου.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'.

Τοῦ αὐτοῦ.

«Ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ Δαυὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεύς, καὶ συνήσει, καὶ ποιήσει κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται καὶ Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθώς, καὶ τοῦτο τὸ ὄνομα, ὃ καλέσει αὐτοὺς Κύριος, Ἰωσεδὲκ ἐν τοῖς προφήταις.[3]» Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπεν Κύριος, συντρίψω ζυγὸν ἀπὸ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλοτρίοις, καὶ ἐργῶνται τῷ Κυρίῳ Θεῷ αὐτῶν, καὶ τὸν Δαυὶδ βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς.[4]» Τούτοις τὰ παραπλήσια καὶ ἐν ἑτέρῳ τοῦ αὐτοῦ προφήτου τόπῳ εἴρηται ἐν τούτοις· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐξαναστήσω σοι τὸν λόγον μου τὸν ἀγαθόν, ὃν ἐλάλησα ἐπὶ τὸν οἶκον Ἱερουσαλὴμ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα· ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνατελῶ τῷ Δαυὶδ ἀνατολὴν δικαίαν.[5]» Οἷς ἑξῆς ἐπιφέρει, ὅτι «Τάδε λέγει Κύριος· Οὐκ ἐξολοθρευθήσεται τῷ Δαυὶδ ἀνὴρ καθήμενος ἐπὶ θρόνου οἴκου Ἰσραήλ· καὶ τοῖς ἱερεῦσι τοῖς Λευΐταις· οὐκ ἐξολοθρευθήσεται ἀνὴρ ἐκ προσώπου μου ἀναφέρων ὁλοκαυτώματα καὶ θύων θυσίαν, καὶ ποιῶν θῦμα πάσας τὰς ἡμέρας.[6]» Καὶ πάλιν· «Τάδε λέγει Κύριος· Εἰ διασκεδάσετε τὴν διαθήκην μου τὴν ἡμέραν, καὶ τὴν διαθήκην μου τὴν νύκτα, τοῦ μὴ εἶναι ἡμέραν καὶ νύκτα ἐν τῷ καιρῷ αὐτῶν· καί γε ἡ Διαθήκη μου διασκεδασθήσεται μετὰ Δαυὶδ τοῦ δούλου μου, τοῦ μὴ εἶναι αὐτῷ υἱὸν βασιλεύοντα ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ τοὺς Λευΐτας τοὺς ἱερεῖς τοὺς λειτουργοῦντάς μοι· ὡς οὐκ ἐξαριθμηθήσεται ἡ δύναμις τοῦ οὐρανοῦ, οὐδὲ ἐκμετρηθήσεται ἡ ἄμμος τῆς θαλάσσης, οὕτως πληθυνῶ τὸ σπέρμα Δαυὶδ τοῦ δούλου μου καὶ τοὺς Λευΐτας τοὺς λειτουργοῦντάς μοι.[7]» Καὶ αὖθις μετὰ βραχέα εἴρηται·

---

1. Ἱερ. 16, 19-21. 2. Ἱερ. 17, 1 (κατὰ τὸ Μασ.) 3. Ἱερ. 23, 5-6, 9. 4. Ἱερ. 37, 8-9. 5. Ἱερ. 23, 5. 6. Ἱερ. 33, 17-18 (κατὰ τὸ Ἑβρ.). 7. Ἱερ. 33, 20-22 (κατὰ τὸ Μασ.).

«Τάδε λέγει Κύριος· Εἰ μὴ διαθήκη(ν) μου ἡμέρας καὶ νυκτός, ἀκριβάσματα οὐρανοῦ καὶ γῆς οὐκ ἔταξα, καί γε τὸ σπέρμα Ἰακὼβ καὶ Δαυὶδ τὸν δοῦλόν μου ἀποδοκιμῶ, τοῦ μὴ λαβεῖν ἐκ τοῦ σπέρματος αὐτοῦ ἄρχοντα.[1]» Καὶ τίς ἂν εἴη ὑπὸ τοῦ Κυρίου ἀναστησομένη τῷ Δαυὶδ ἀνατολή; Ὁ θεῖος Λόγος, περὶ οὗ καὶ ἐν ἑτέροις εἴρηται, «Ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ· [2]» ὃς καὶ βασιλεύειν προφητεύεται καὶ «συνήσειν καὶ ποιήσειν κρῖμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς.» Οὗτος δὲ καὶ ταῖς ἐν σκότει καθημέναις ψυχαῖς ἐξανατελεῖ φῶς κατὰ τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ἐπὰν δὲ κατὰ τὸν Ἀπόστολον «τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ[3]», καὶ πᾶς ὁ ἀληθινὸς Ἰσραὴλ μετὰ τοῦ πνευματικοῦ Ἰούδα σωθήσεται, οὓς καὶ καλέσει αὐτοὺς ὁ Κύριος ὀνομαστί, οὓς ἀξίους αὐτοὺς κρινεῖ ἐν τῷ Ἰωσεδεκίν, ὅπερ ἑρμηνεύεται *οἱ τοῦ Θεοῦ δίκαιοι*. Ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ μετὰ τὸ ἐλευθερῶσαι τὸν Θεὸν τοὺς προειρημένους ἀπὸ τῆς ὑπὸ τὸν διάβολον αἰχμαλωσίας, ὡς μηκέτι μὲν ἐκείνῳ, μόνῳ δὲ Κυρίῳ τῷ Θεῷ αὐτῶν λατρεύειν, ἀναστήσειν αὐτοῖς ὁ Θεὸς ὑπισχνεῖται βασιλέα τὸν Δαυίδ, οὐκ ἄλλον ὄντα τοῦ ἐκ σπέρματος Δαυὶδ γενομένου Σωτῆρος ἡμῶν, ὃν διαφόρως αἱ Γραφαὶ καὶ τούτῳ προσεῖπαν τῷ ὀνόματι. Ὁ μὲν οὖν ἐν τῇ προφητείᾳ Δαυὶδ ὁ κατὰ τὸν Σωτῆρα ἡμῶν νοούμενος ἄνθρωπος λέγεται· ἡ δὲ ἀνατολὴ ἡ δικαία, ἡ κατ' αὐτὸν ἐνεργοῦσα θεότης, «ἥλιος δικαιοσύνης[4]» ἐν ἄλλοις ὀνομαζομένη· ἐπεὶ καὶ «τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον[5]» οὐκ ἄλλη τις αὐτοῦ τυγχάνει. Τῷ Θεῷ τοίνυν φησὶν οὐκ ἐξολοθρευθήσεσθαι ἄνδρα ἡγούμενον καὶ προεστῶτα τῆς Ἐκκλησίας αὐτοῦ, ἥτις ἐστὶν ὁ πνευματικὸς οἶκος Ἰσραήλ· ἀλλ' οὐδὲ τοὺς κατὰ διάνοιαν ἱερεῖς τοῦ Θεοῦ διαλείψειν ὁ λόγος προφητεύει, τὸ πνευματικὸν ἀναφέροντας θυμίαμα, καὶ τὴν δι' ἔργων ἀγαθῶν καὶ λόγων εὐώδη καὶ ἀναίμακτον καὶ καθαρὰν θυσίαν. Εἰ γὰρ μὴ ταῦθ' οὕτως ἐκλάβοιμεν, ὥρα ψευδεῖς ἀπελέγχειν τὰς προφητείας, τῷ μήτε τὸν θρόνον Δαυὶδ σωματικῶς, μήτε τὴν ἱερατικὴν λειτουργίαν τὴν τυπικὴν εἰσέτι νῦν συνεστάναι· τῶν μὲν ἐκ σπέρματος Δαυὶδ βασιλέων ἐξ αὐτῶν τῶν Ἱερεμίου χρόνων διαλελοιπότων, τῆς δὲ λευϊτικῆς καὶ ἱερατικῆς λειτουργίας μετ' οὐ πολὺ τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας· ἐξ ἧς καὶ εἰς δεῦρο οὐδὲ ἐπιβαίνειν αὐτοῖς τῆς Ἱερουσαλὴμ ἔξεστιν. Καὶ εἰ φάσκοιέν γε οἱ ἐκ περιτομῆς δι' ὅν φασι πατριάρχην μὴ ἐκλελοιπέναι τὸ σπέρμα Δαυΐδ, ἀλλ' ἐλεγκτέον τε (γε) αὐτοὺς μὴ δυναμένους ἀποδεῖξαι καθήμενον αὐτὸν ἐπὶ θρόνου Δαυίδ, καὶ βασιλεύοντα ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἄρχοντα τοῦ Ἰσραήλ· ταῦτα γὰρ ἡ προφητεία φησὶ μηδεπώποτε διαλείψειν, ἃ καὶ σαφῶς παρίσταται ἀπὸ τῶν τῆς αἰχμαλωσίας χρόνων διαλελοιπότα, ἐξ οὗ μηδὲ εἷς βασιλεύσας τοῦ

---

1. Ἱερ. 33, 25-26 (κατὰ τὸ Ἑβρ.). 2. Ζαχ. 6, 12. 3. Ῥωμ. 11, 25. 4. Μαλ. 4, 2. 5. Ἰω. 1. 9.

Ἰσραὴλ ἐκ τοῦ σπέρματος Δαυὶδ ἀποδείκνυται· τί δ' ἂν φήσαιεν καὶ περὶ τῆς ἐναργῶς κατὰ τὸν παρόντα καιρὸν καθῃρημένης ἱερατείας, ἣν μηδεπώποτε ἐξολοθρευθήσεσθαι ἡ προφητεία προαγορεύει;

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Τοῦ αὐτοῦ.

«Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν· οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ Κύριος, ὅτι αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραήλ· μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων, Γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, φησὶ Κύριος· ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.[1]» Σαφῶς ἐν ταῖς ἐπιούσαις ἡμέραις καινὴν διαθήκην ὁ Κύριος διαθήσεσθαι προθεσπίζει· καινὴν δὲ τῷ μηδὲν ἔχειν ὅμοιον τῇ παλαιᾷ, ἣν διὰ Μωϋσέως ἐν τῇ ἐρήμῳ δοθεῖσαν προμεμαθήκαμεν. Τί δ' ἂν πρὸς ταῦτα φαῖεν οἱ ἐκ περιτομῆς, ἐναργῶς ἀποβλέπειν ἐπιχειροῦντες ταῖς προφητείαις, καὶ μᾶλλον αἱρούμενοι ἀτελεῖς αὐτὰς ἐπιδεικνύναι ἢ πείθεσθαι τῇ ἀληθείᾳ, διὰ τοῦ παραδέχεσθαι τὴν καινὴν τῶν Εὐαγγελιῶν τοῦ Σωτῆρος ἡμῶν διαθήκην, ἧς παραγενομένης πεπαλαίωται ἡ πρώτη, πέρας ἴσχειν ἀρξαμένη ἐξ ὅτου παραγενόμενος ὁ Χριστὸς ἐπλήρωσε τὸν νόμον, καὶ τὰς περὶ αὐτοῦ προφητείας. Ἥξειν μὲν οὖν ἡμέρας ἐν αἷς διαθήσεσθαί φησιν ὁ Κύριος τὴν καινὴν διαθήκην· τοῦτ' ἔστι τὴν ἔγγραφον ἐν τοῖς (ἐντὸς) τῶν εὐαγγελικῶν βιβλίων. Ἑξῆς δ' ἐπιφέρει λέγων ὁ αὐτὸς Κύριος, ὡς μετὰ τὰς ἡμέρας ἐκείνας, ἐν αὐταῖς ταῖς διανοίαις τῶν παραδεξομένων τὴν καινὴν διαθήκην ἐγγράψων τοὺς ἰδίους νόμους, ὥστε αὐτοὺς εἶναι εἰς λαὸν τῷ Θεῷ, καὶ αὐτὸν αὐτοῖς εἰς Θεόν, οὐδαμῶς ὑπ' ἀνθρωπίνης διδασκαλίας ἐπὶ τὸ γινώσκειν τὸν Κύριον παραγινομένους, αὐτομαθεῖς δ' ὥσπερ, μᾶλλον δὲ θεοδιδάκτους ἐσομένους, ὃ καὶ αὐτὸ καταμάθοι ἄν τις κατὰ τὸν παρόντα καιρὸν πληρούμενον· ἴδοι δ' ἄν τις ὅπως ἐπὶ τὰς διανοίας καὶ τὰς καρδίας τῶν διὰ Χριστοῦ εἰς τὸν Θεὸν πεπιστευκότων ἡ καινὴ διαθήκη καὶ οἱ τοῦ Κυρίου νόμοι γεγραμμένοι εἰσίν, εἰ καταμάθοι ἐν ἡμῖν πλῆθος ἀνδρῶν παντελῶς ἰδιωτῶν τοιαύτην ἐνεπιδεικνυμένων ἐνάρετον καὶ ἐμφιλόσοφον πολιτείαν, ἣν οὐ τα-

1. Ἱερ. 38, 31-34.

χέως ἐστὶν εὑρεῖν παρὰ τοῖς φιλολογίαν ἠσκηκόσιν, καὶ μέγα φρονοῦσιν ἐπὶ τῇ τῶν γραφῶν μελέτῃ.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Ἀπὸ τῶν Θρήνων.

«Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπομεν, Ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν.[1]» Καὶ ἐνταῦθα τὸν Χριστὸν διαρρήδην ὀνομάσαν τὸ θεῖον Πνεῦμα, τὴν ὑπὸ Ἰουδαίων ἐπιβουλὴν προυθέσπισεν διὰ τοῦ, «συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν·» τούτου δὲ ὑπὸ τὴν σκέπην καὶ τὴν σκιὰν ζησομένους ἑαυτοὺς τῷ πνεύματι προεώρων οἱ προφῆται, καὶ ζησομένους ἐν τοῖς ἔθνεσι τοῖς μέλλουσιν εἰς τὸν Χριστὸν πιστεύειν, καὶ δι' αὐτοῦ τὰς τῶν προφητῶν παραδέχεσθαι Γραφάς.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄.

Ἀπὸ τοῦ Βαρούχ.

«Τίς ἀνέβη εἰς τὸν οὐρανόν, καὶ ἔλαβεν αὐτήν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν; Τίς διέβη πέραν θαλάσσης, καὶ εὗρεν αὐτήν, καὶ οἴσει αὐτὴν χρυσίου ἐκλεκτοῦ; Οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς, οὐδὲ ὁ ἐνθυμούμενος τὴν τρίβον αὐτῆς. Ἀλλ' ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτήν, ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ· ὁ καὶ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων. Ὁ ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. Οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ εὐφράνθησαν· ἐκάλεσεν αὐτούς, καὶ εἶπον, Πάρεσμεν· ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.[2]» Τίς ἀνέβη εἰς τὸν οὐρανόν, φησί, καὶ ἔλαβεν αὐτήν, καὶ κατεβίβασεν αὐτήν; καὶ τὰ ἑξῆς· διδασκόμεθα δὲ ἀπὸ τοῦ ἱεροῦ Ἀποστόλου ὡς ἄρα «ὁ καταβὰς Ἰησοῦς Χριστός, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν·[3]» ὃς καὶ λαβὼν τὴν τοῦ ἁγίου Πνεύματος δωρεὰν κατεβίβασέ τε καὶ ἐξέχεεν ἐπὶ τὰς τῶν παραδεξαμένων αὐτῶν (ἡν) ψυχάς· ὅθεν καὶ ἐν Ψαλμοῖς εἴρηται τό, «Ἀναβὰς εἰς ὕψος ἠχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις.[4]» Ἑξῆς δὲ ἐν τῇ προκειμένῃ γραφῇ ὁ λόγος φησίν, «Οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν·» τίς δὲ οὗτος, ἢ ὁ ἀναβὰς εἰς τὸν οὐρανὸν καὶ καταβάς; Τῷ γὰρ «Τίς ἀνέβη εἰς τὸν οὐρανόν;»

1. Θρ. 4, 20. 2. Βαρ. 3, 23-38. 3. Ἐφ. 4, 10. 4. Ψαλμ. 67, 19.

ἐρωτηματικῶς εἰρημένῳ ἀποδέδοται τό, «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν·» σαφέστερον τοῦτο δηλοῖ τὸ ἑξῆς εἰρημένον, τό, «Μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.» Πρὸς τοῦτον οὖν δῆλον ὅτι τὸν τοῦ Θεοῦ Λόγον οὐ λογισθήσεται ἕτερος τῶν ἐπικτητὴν τὴν τοῦ Θεοῦ προσηγορίαν ἐσχηκότων. «Μετὰ τοῦτο δέ, φησίν, ἐπὶ τῆς γῆς ὤφθη·» δῆλον ὅτι μετὰ τὸ διὰ νόμου καὶ προφητῶν τὴν πᾶσαν ὁδὸν τῆς ἐπαγγελίας δεδωκέναι· «ἐξεῦρεν γάρ, φησί, πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· εἶτα «μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.»

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Ἀπὸ τοῦ Ἰεζεκιήλ.

«Ἀντὶ τούτου τάδε λέγει Κύριος· Ἰδού, ἐγὼ κρίνω ἀναμέσον προβάτου ἰσχυροῦ καὶ ἀναμέσον προβάτου ἀσθενοῦς. Ἐπὶ ταῖς πλευραῖς καὶ τοῖς ὤμοις διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε· πᾶν τὸ ἐκλεῖπον ἐξεθλίψατε. Καὶ σώσω τὰ πρόβατά μου, καὶ οὐ μὴ ὦσιν ἔτι εἰς προνομήν, καὶ κρινῶ ἀναμέσον κριοῦ πρὸς κριόν· καὶ ἀναστήσω αὐτοῖς ποιμένα ἕτερον· καὶ ποιμανεῖ[ς]αὐτούς, τὸν δοῦλόν μου Δαυίδ, καὶ ἔσται αὐτῶν ποιμήν, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ Δαυὶδ ἄρχων ἐν μέσῳ αὐτῶν· ἐγὼ Κύριος λελάληκα. Καὶ διαθήσομαι τῷ Δαυὶδ διαθήκην καινήν, διαθήκην εἰρήνης.[1]» Ἐπεὶ καὶ ἐν ἄλλοις τὸν προφητευόμενον Δαυὶδ οὐκ ἄλλον ἀποδίδομεν τοῦ ἐκ σπέρματος Δαυὶδ γεγενημένου Σωτῆρος ἡμῶν, τούτου δὴ χάριν καὶ ἐνθάδε τὴν περικοπὴν ἐπεσημηνάμεθα· τίς γὰρ ἂν ἄλλος εἴη ὁ ποιμαίνειν μέλλων τὰ τοῦ Κυρίου πρόβατα μετὰ τὸ κριθῆναι αὐτὰ ὑπ' αὐτοῦ, ἢ ὁ μόνος καλὸς ποιμήν, ὁ μὴ ὑπεριδὼν διωθούμενα καὶ διολλύμενα ὑπὸ τῶν ἀντικειμένων δυνάμεων τὰ λογικὰ τῆς ἰδίας αὐτοῦ ποίμνης πρόβατα, ἀλλὰ θεὶς τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῆς αὐτῶν σωτηρίας, ὧν ἄρχοντα ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ καταστήσειν ἐπαγγέλλεται μετὰ τὸν κρίσεως καιρόν, διαθησόμενος αὐτῷ διαθήκην εἰρήνης, ὅτε, ὑποταγέντων αὐτῷ τῶν ἐχθρῶν, ἔσχατος πάντων καὶ αὐτὸς ὁ νῦν ἀντικείμενος τῷ λόγῳ καὶ τῇ σοφίᾳ καὶ τῇ ζωῇ θάνατος καταργηθήσεται;

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Τοῦ αὐτοῦ.

«Τάδε λέγει Κύριος, Ἰδού, ἐγὼ λαμβάνω πάντα οἶκον Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν, οὗ εἰσήλθοσαν ἐκεῖ, καὶ συνάξω αὐτοὺς εἰς τὴν γῆν τοῦ Ἰσραήλ, καὶ δώσω αὐτοὺς εἰς ἔθνη ἐν τῇ γῇ μου, καὶ ἐν τοῖς ὄρεσιν

4. Ἰεζ. 34, 20-25.

Ἰσραὴλ καὶ ἄρχων εἷς ἔσται αὐτῶν, καὶ οὐκ ἔσονται οὐκέτι εἰς δύο ἔθνη· οὐδ' οὐ μὴ διαιρεθῶσιν εἰς δύο βασιλείας, ἵνα μὴ μιαίνωνται ἔτι ἐν τοῖς εἰδώλοις αὐτῶν· καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνομιῶν αὐτῶν, ὧν ἥμαρτον ἐν αὐταῖς, καὶ καθαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν, ὧν ἥμαρτον ἐν αὐταῖς, καὶ καθαριῶ αὐτούς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ Κύριος ἔσομαι αὐτοῖς εἰς Θεόν. Καὶ ὁ δοῦλός μου Δαυὶδ ἄρχων ἐν μέσῳ αὐτῶν ἔσται ποιμὴν εἷς πάντων, ὅτι ἐν τοῖς προστάγμασί μου πορεύσονται, καὶ τὰ κρίματά μου φυλάξουσιν καὶ ποιήσουσιν αὐτά, καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς, ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ἰακώβ, οὗ κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν, καὶ κατοικήσουσιν ἐπ' αὐτῆς αὐτοί· καὶ Δαυὶδ ὁ δοῦλός μου ἄρχων αὐτῶν εἰς τὸν αἰῶνα. Καὶ διαθήσομαι αὐτοῖς διαθήκην εἰρήνης, καὶ διαθήκη αἰώνιος ἔσται μετ' αὐτῶν· καὶ θήσω τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα, καὶ ἔσται ἡ κατασκήνωσίς μου ἐν αὐτοῖς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. Καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος ὁ ἁγιάζων αὐτούς, ἐν τῷ εἶναι τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα.[1]» Μετὰ τὴν τῆς διασπορᾶς τοῦ πνευματικοῦ καὶ ἀληθινοῦ Ἰσραὴλ ἐπισυναγωγήν, καὶ μετὰ τὴν εὕρεσιν τῶν ἀπολωλότων προβάτων οἴκου Ἰσραήλ, τοῦ πληρώματος τῶν ἐθνῶν προεισεληλυθότος, τηνικαῦτα ὁ Κύριος αὐτὸς μὲν ἔσεσθαι εἰς Θεὸν τῷ ἐσομένῳ αὐτοῦ λαῷ, τὸν δὲ δοῦλον αὐτοῦ Δαυὶδ ἄρχοντα θήσειν ἐν μέσῳ αὐτῶν, ποιμανοῦντα αὐτοὺς καὶ ἄρχοντα αὐτῶν οὐκ ἐπ' ὀλίγον καὶ βραχύν τινα χρόνον ἀλλ' ἐπὶ τὸν αἰῶνα ὑπισχνεῖται. Οἰέσθωσαν μὲν οὖν τὸν ἄνθρωπον ἐκεῖνον τὸν υἱὸν Ἰεσσαὶ κατεπαγγέλλεσθαι τὸν λόγον αὐτοῖς οἱ ἐκ περιτομῆς, βασιλείαν αὐτοῦ σωματικὴν αὖθις φανταζόμενοι, καὶ τὰς ὑποσχέσεις τοῦ Θεοῦ ἐν φθαρτοῖς καὶ γηΐνοις καὶ θείας ἀναξίοις ἐπαγγελίας καραδοκοῦντες· ἡμεῖς δὲ μηδαμῶς ἁρμόζειν μήτε θείαις ὑποσχέσεσι, μήτε μὴν εἰς αὐτὸν ἀναφέρεσθαι τὸν Δαυίδ, τὰ ὡς περὶ αὐτοῦ λεγόμενα πειθόμενοι ἐπὶ τὸν ἐκ σπέρματος αὐτοῦ τὸν κατὰ σάρκα γενόμενον Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκλαμβάνωμεν, τὰς προφητείας τούτῳ μᾶλλον ἁρμόζειν ἤπερ ἐκείνῳ τῷ Δαυὶδ οἰόμενοι, τὰ ὡς ἂν ἐκ προσώπου Δαυὶδ ἐν ταῖς ἱεραῖς Γραφαῖς ἐμφερόμενα· οἷόν ἐστιν τό, «Κύριος εἶπεν πρός με, Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε·[2]» καὶ τό, «Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν[3]», λεγόμενον ἐν ιζ' ψαλμῷ· ἔνθα πάλιν ὡς ἐκ προσώπου αὐτοῦ λέλεκται τό, «Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου.[4]» Περὶ τίνος δὲ ἄλλου προσήκει [ν] τὸν Θεὸν φάσκειν ὑπονοεῖν τό, «Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σύ·[5]» καὶ τό, «Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν[6]», ἢ περὶ τοῦ Σωτῆρος ἡμῶν τοῦ μονογενοῦς παιδὸς

---

1. Ἰεζ. 37, 21-28. 2. Ψαλμ. 2, 7. 3. Ψαλμ. 17, 44. 4. Ψαλμ. 17, 44-45. 5. Ψαλμ. 88, 27. 6. Ψαλμ. 88, 28.

αὐτοῦ; Τί γὰρ ἐξαίρετον παρὰ τοὺς λοιποὺς προφήτας τε καὶ δικαίους ἄνδρας κατωρθῶτο τῷ Δαυΐδ, ὡς περὶ μόνου αὐτοῦ ταῦτα λέγεσθαι, καὶ αὐτὸν προφητεύεσθαι αὖθις ἀναστήσεσθαι βασιλέα τε καὶ ποιμένα τῶν τοῦ Θεοῦ προβάτων; Ταῦτα δὴ πάντα συνορῶντες, ἐφιστάντες τῇ τοῦ Ἡσαΐου προφητείᾳ μετὰ τὴν τοῦ Δαυὶδ τελευτὴν ἀνακηρυττούσῃ τά τε ἄλλα περὶ τοῦ Χριστοῦ, καὶ τό, «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ·[1]» καὶ τὰ τούτοις ἑξῆς εἰκότως περὶ τοῦ αὐτοῦ καὶ τὰ ἐνθάδε, ὡς περὶ Δαυὶδ προφητευόμενα, λέγεσθαι πεπείσμεθα. Μόνος γὰρ ὁ Χριστὸς τοῦ Θεοῦ, κατὰ τὴν μεταφορὰν τῆς προσηγορίας καὶ Δαυὶδ χρηματίσας, ποιμὴν ὁ καλὸς ἀναδέδεικται, ἀρχηγὸς καὶ Σωτὴρ τῆς τοῦ Θεοῦ ποίμνης τε καὶ Ἐκκλησίας γεγενημένος· ὃς βασιλεὺς ἐπὶ πάντα τὸν νοητὸν Ἰσραὴλ ὑπὸ τοῦ Πατρὸς κατασταθήσεσθαι μετὰ τὸ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ προφητεύεται.

ΚΕΦΑΛΑΙΟΝ ΜΒʹ.

Ἀπὸ τοῦ Δανιήλ.

Δανιήλ ἐστιν ὁ φάσκων· «Καὶ ἐν τοῖς χρόνοις τῶν βασιλέων ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἄλλην, ἥτις εἰς τοὺς αἰῶνας ἔσται καὶ οὐ φθαρήσεται, καὶ αὕτη ἡ βασιλεία ἄλλο ἔθνος οὐ μὴ ἐάσῃ, πατάξει δὲ καὶ ἀφανίσει τὰς βασιλείας, καὶ αὐτὴ στήσεται εἰς τὸν αἰῶνα, καθάπερ ἑώρακας ἐξ ὄρους τμηθέντα λίθον ἄνευ χειρῶν, καὶ συνηλόησε τὸ ὄστρακον, τὸν σίδηρον, καὶ τὸν χαλκόν, καὶ τὸν ἄργυρον, καὶ τὸν χρυσόν.[2]» Καὶ ταῦτα περὶ τῆς ἐπὶ συντελείᾳ τῶν αἰώνων γενησομένης τοῦ Χριστοῦ βασιλείας δηλοῦται· ὁ γάρ τοι λίθος, ὁ ἐξ ὄρους τμηθεὶς ἄνευ χειρῶν, σύμβολον ἂν εἴη τοῦ Λόγου τοῦ Θεοῦ, καὶ ἐν ἄλλαις προφητείαις λίθου προσαγορευθέντος, ὡς ἐπὶ τοῦ, «Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον ἐκλεκτὸν ἔντιμον·[3]» καί, «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.[4]» Τοῦτον οὖν φησιν ὁ παρὼν λόγος τὰς βασιλείας τοῦ κόσμου καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας καθελόντα καὶ συντρίψοντα καθέξειν τὴν τῶν ἁγίων βασιλείαν εἰς τὸν αἰῶνα.

ΚΕΦΑΛΑΙΟΝ ΜΓʹ.

Τοῦ αὐτοῦ.

Ναβουχοδονόσορ ὁ βασιλεὺς τοὺς περὶ τὸν Ἀνανίαν εἰς τὴν κάμινον τοῦ πυρὸς ἐμβαλών, ὡς ἔγνω μηδὲν αὐτοὺς ὑπὸ τοῦ πυρὸς ἠδι-

1. Ἡσ. 11, 1-2. 2. Πρβλ. Δαν. 2, 44-45. 3. Ἡσ. 28, 16. 4. Ψαλμ. 117, 22.

κημένους, αὐτόπτης τοῦ παραδόξου γενόμενος, τοῖς ἑαυτοῦ φίλοις εἰρηκὼς ἀναγέγραπται· «Οὐχὶ τρεῖς ἄνδρας ἐβάλομεν ἐν μέσῳ τοῦ πυρός;[1]» συμφησάντων δὲ αὐτῶν, «Ἰδοὺ ἐγώ, φησίν, ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας ἐν τῷ πυρί, καὶ φθορὰ οὐδεμία ἐστὶν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοίωμα υἱοῦ Θεοῦ·[2]» ὡσαύτως δὲ καὶ τὸ Ἑβραϊκὸν «ὁμοίωμα Υἱοῦ Θεοῦ» περιέχει, καὶ οἱ λοιποὶ δὲ ὁμοίως ἐκδεδώκασιν ἑρμηνευταί· τούτου δὴ οὖν ἕνεκα ἐσημειωσάμεθα τὸν τόπον, ὡς καὶ ἐντεῦθεν σημαινομένης τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ προσηγορίας.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄.

Τοῦ αὐτοῦ.

Ἐν τοῖς ὁράμασιν ὁ Δανιὴλ φησιν· «Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδού, ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ προσηνέχθη αὐτῷ, καὶ ἐδόθη αὐτῷ ἡ ἐξουσία καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[3]» Συνᾴδει ταῦτα τῇ τοῦ αὐτοῦ Δανιὴλ προφητείᾳ προθεσπιζούσῃ περὶ τῆς τοῦ Χριστοῦ βασιλείας κατὰ τὸν λίθον τὸν ἀποτμηθέντα ἐξ ὄρους ἄνευ χειρῶν· τίς γὰρ ἂν ἄλλος, ὁ ὡς Υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν, καὶ ἕως τοῦ Παλαιοῦ τῶν ἡμερῶν φθάνων, εἴη ἢ ὁ εἰπὼν Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ δι' ἡμᾶς μορφὴν δούλου λαβών, καὶ υἱὸς ἀνθρώπου γενόμενος, «Ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ πρὸς τὸν Θεὸν ὑπάγω;[4]» ὃς καὶ παρόντων τῶν ἑαυτοῦ μαθητῶν, «βλεπόντων αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτόν[5]», ὅτε καὶ ἀτενιζόντων εἰς τὸν οὐρανόν, ἰδοὺ δύο ἄνδρες ἐν ἐσθήσεσι λαμπραῖς ὀφθέντες, τὰ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας αὐτοὺς ἐδίδασκον, αὖθις ἐν νεφέλῃ παραγενήσεσθαι αὐτὸν προλέγοντες. Τῷ οὖν Χριστῷ μόνῳ ὑπὸ τοῦ Πατρὸς ἐδόθη καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, ὥστε πάντα τὰ ἔθνη λατρεύειν αὐτῷ, καὶ «πᾶσαν γλῶσσαν ἐξομολογεῖσθαι, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.[6]»

ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Τοῦ αὐτοῦ.

Εὐξαμένῳ τῷ Δανιὴλ περὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ παντὸς λαοῦ, περί τε τῆς ἐρημώσεως τῆς Ἱερουσαλήμ, Γαβριὴλ ἐπι-

1. Δαν. 3, 24. 2. Δαν. 3, 25. 3. Δαν. 7, 13-14. 4. Ἰω. 13, 3. 5. Πράξ. 1, 9. 6. Φιλιπ. 2, 11.

φανεὶς ἀρχάγγελος ὁμοῦ τε αὐτῷ σημαίνει τὸ συμπέρασμα τῆς ἑβδομηκονταετοῦς αἰχμαλωσίας, καὶ τὴν ἀνανέωσιν τῆς Ἱερουσαλήμ, τόν τε ἀπὸ τῆς ἀνανεώσεως ἐπὶ τὴν τοῦ Χριστοῦ παρουσίαν χρόνον, καὶ τὴν μετὰ ταῦτα γενησομένην δευτέραν ἅλωσιν τῆς πόλεως, καὶ τὸν ἐπὶ πᾶσιν ἀνδραποδισμὸν τοῦ παντὸς ἔθνους, τὸν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ἐπιτελεσθέντα. Ἔχουσι δὲ αὐτοῦ τοῦτον τὸν τρόπον αἱ λέξεις· «Δανιήλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν· ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σύ εἶ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ. Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγῖσαι ἁμαρτίας, καὶ ἀπολεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγῖσαι ὅρασιν καὶ προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. Καὶ γνώσῃ καὶ συνήσεις· ἀπὸ ἐξόδου λόγων (ου) τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ', καὶ ἑβδομάδες ξβ'· καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα, καὶ τεῖχος, καὶ κενωθήσονται οἱ καιροί. Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ξβ' ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ κοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου, συντετμημένου ἀφανισμοῖς. Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.[1]»

Τῶν εἰς τὰς προκειμένας ἑβδομάδας ἐπιβεβληκότων μόνον ἴσμεν Ἀφρικανὸν ἀκριβέστατα καὶ μᾶλλον παρὰ τοὺς λοιποὺς ἐπιτευγμένως τεθεωρηκότα· καὶ δή μοι δοκεῖ ἀναγκαῖον εἶναι πρῶτον αὐτοῦ τὴν εἰς τοὺς τόπους διήγησιν εἰς μέσον ἀγαγεῖν, εἶθ' οὕτως ἐπισκέψασθαι, εἴ τι ἄρα καὶ αὐτοὶ δυναίμεθα συμβαλέσθαι τῷ λόγῳ. Γράφει δὴ οὖν ἐν πέμπτῳ τῶν *Χρονογραφιῶν* κατὰ λέξιν οὕτως·

ΚΕΦΑΛΑΙΟΝ ΜϚ'.

Ἀφρικανοῦ.

«Ἡ μὲν οὖν περικοπὴ οὕτω πως ἔχουσα πολλά τε καὶ παράδοξα σημαίνει· νῦν δ' ὧν χρεία περί τε τοὺς χρόνους καὶ τὰ τούτοις συντείνοντα τὸν λόγον ποιησόμεθα. Ὅτι μὲν οὖν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας λέγεται ταῦτα μετὰ ἑβδομάδας ο' μέλλοντος ἐπιφαίνεσθαι, δῆλον· ἐπὶ γὰρ τοῦ Σωτῆρος ἢ ἀπὸ τούτου τὰ παραπτώματα παλαιοῦται, καὶ αἱ ἁμαρτίαι συντελοῦνται διὰ τὴν ἄφεσιν, αἵ τε ἀνομίαι

1. Δαν. 9, 22-27.

ἐξιλασμῷ μετὰ τῶν ἀδικιῶν ἀπαλείφονται, δικαιοσύνη τε αἰώνιος καταγγέλλεται (παρὰ) τὴν ἐκ νόμου, ὁράσεις τε καὶ προφητεῖαι μέχρις Ἰωάννου· χρίεται Ἅγιος ἁγίων· πρὸ γὰρ τῆς τοῦ Σωτῆρος παρουσίας οὐκ ὄντα ταῦτα προσεδοκᾶτο μόνον. Ἄρξασθαι δὴ τῶν ἀριθμῶν, τοῦτ' ἔστι τῶν ο' ἑβδομάδων, ἅ ἐστιν ἔτη υϟ', ὁ ἄγγελος ὑποτίθεται «ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ·» συνέβη δὲ ταῦτα ἐπὶ Ἀρταξέρξου Περσῶν βασιλεύοντος εἰκοστῷ ἔτει. Νεεμίας γὰρ ὁ τούτου οἰνοχόος δεηθεὶς ἀποκρίσεώς τε ἔτυχεν οἰκοδομηθῆναι Ἱερουσαλήμ, καὶ λόγος ἐξῆλθεν κελεύων ταῦτα· μέχρι γὰρ ἐκείνου τοῦ χρόνου ἡ πόλις ἠρήμωτο. Κύρου γὰρ μετὰ τὴν ἑβδομηκονταετίαν τῆς αἰχμαλωσίας τῶν βουλομένων ἕκαστον ἑκουσιαστὶ καταπέμψαντος, οἱ μετὰ Ἰησοῦ τοῦ μεγάλου ἱερέως καὶ Ζοροβάβελ κατελθόντες, καὶ οἱ ἐπὶ τούτοις ἅμα Ἔζρᾳ, τὸν νεὼν οἰκοδομεῖν ἐκωλύοντο τὰ πρῶτα, καὶ τεῖχος τῇ πόλει περιβαλεῖν, ὡς οὐ κεκελευσμένου τούτου. Ἔμεινεν οὖν ἕως Νεεμίου καὶ βασιλείας Ἀρταξέρξου εἰκοσαετοῦς, Περσῶν δὲ ἡγεμονίας πεντεκαιδεκάτῳ καὶ ἑκατοστῷ, ἀπὸ δὲ τῆς ἁλώσεως Ἱερουσαλὴμ ρπε' ἔτη· καὶ τότε βασιλεὺς Ἀρταξέρξης ἐκέλευσεν οἰκοδομηθῆναι τὴν πόλιν, Νεεμίας τε καταπεμφθεὶς τοῦ ἔργου προέστη, ἡ δὲ οἰκοδομὴ πλατεῖα καὶ περὶ τεῖχος, ὡς προεφητεύθη· κἀκεῖθεν ἀριθμοῦσιν ἡμῖν ο' ἑβδομάδες εἰς τὸν Χριστὸν συντελοῦνται.

Εἰ γὰρ ἄλλοθέν ποθεν ἀριθμεῖν ἀρξαίμεθα καὶ οὐκ ἐντεῦθεν, οὔτε ὁ χρόνος συνδραμεῖται, καὶ πλεῖστα ἄτοπα ἀπαντήσει· ἐάν τε γὰρ ἀπὸ Κύρου καὶ τῆς πρώτης κατατομπῆς τὴν ἀρχὴν ποιησώμεθα τῆς ἀριθμήσεως τῶν ο' ἑβδομάδων, ἔτη ρ' καὶ προσέτι περισσεύει, πλείων δὲ χρόνος, εἰ ἀφ' ἧς ἡμέρας τῷ Δανιὴλ ὁ ἄγγελος προεφήτευσεν, πολλῷ δὲ πλείων, εἰ ἀπ' ἀρχῆς τῆς αἰχμαλωσίας· εὑρίσκομεν γὰρ τὴν Περσῶν βασιλείαν ἔτεσιν σλ' περιγραφομένην, τήν τε Μακεδόνων εἰς ἔτη τ' παρατείνασαν, κἀκεῖθεν ἐπὶ τὸ Τιβερίου Καίσαρος ἔτος ἑκκαιδέκατον εἰς ἔτη ξ'· ἀπὸ δὲ Ἀρταξέρξου ο' ἑβδομάδες εἰς τὸν ἐπὶ Χριστοῦ συντελοῦνται χρόνον κατὰ τοὺς Ἰουδαίων ἀριθμούς. Ἀπὸ γὰρ Νεεμίου, ὃς ὑπὸ Ἀρταξέρξου τὴν Ἱερουσαλὴμ ἀνοικίσων ἐπέμφθη, ἔτει πεντεκαιδεκάτῳ καὶ ἑκατοστῷ τῆς Περσῶν βασιλείας, αὐτοῦ τε Ἀρταξέρξου βασιλείας εἰκοστῷ ἔτει καὶ Ὀλυμπιάδος ὀγδοηκοστῆς τρίτης ἔτει τετάρτῳ, ἐπὶ τοῦτον τὸν χρόνον, ὃς ἦν Ὀλυμπιάδος διακοσιοστῆς δευτέρας ἔτος δεύτερον, Τιβερίου δὲ Καίσαρος ἡγεμονίας ἔτος ἑκκαιδέκατον, ἔτη συνάγεται υοε', ἅπερ Ἑβραϊκὰ τετρακόσια ἐνενήκοντα ἔτη γίνεται κατὰ τὸν σεληναῖον μῆνα τοὺς ἐνιαυτοὺς ἐκείνων ἐξαριθμουμένων, ὅς ἐστιν, ὡς πρόχειρον εἰπεῖν, ἡμερῶν εἴκοσι ἐννέα ἥμισυ· οὕτως τοῦ κύκλου ὑπάρχοντος ἡμερῶν τξε' τετάρτου τὴν κατὰ σελήνην δωδεκάμηνον παραλλάσσειν ἡμέραις ἕνδεκα καὶ τετάρτῳ. Διὰ τοῦτο καὶ Ἕλληνες καὶ Ἰουδαῖοι τρεῖς μῆνας ἐμβολίμους ἔτεσιν ὀκτὼ παρεμβάλλουσιν· ὀκτάκις γὰρ

τὰ ἕνδεκα καὶ τέταρτον ποιεῖ τρίμηνον. Τὰ τοίνυν υοε′ ἔτη ὀκταετηρίδες γίνονται νθ′, καὶ μῆνες γ′, ὡς τριμήνου δὲ ἐμβολίμου τῇ ὀκταετίᾳ, γίνονται ἔτη πεντεκαίδεκα ὀλίγων ἡμερῶν ἀποδέοντα γίνεται· ταῦτα δὲ πρὸς τοῖς (υ)οε′ ἔτεσιν αἱ ο′ ἑβδομάδες συντελοῦνται.

Ταῦτα μὲν ὁ προδηλωθεὶς ἀνὴρ εἰς τοὺς τόπους ἐπιβέβληκεν· φέρε δὴ καὶ ἡμεῖς μετὰ τὴν ἀποδοθεῖσαν ἑρμηνείαν ἴδωμεν, εἰ οἷόν τε καὶ ἑτέρως τοῖς τόποις ἐπιβαλεῖν, ὡς ἂν μὴ δοκοῖμεν τοὺς ἀπὸ Κύρου καὶ ἐπὶ Ἀρταξέρξην ὑποκλέπτοντες χρόνους βιαιοτέραν ποιεῖσθαι τὴν ἀπόδοσιν, καὶ ἄλλως μὴ δὲ τὴν αἰτίαν παριστάναι δοκεῖν τῆς τῶν ἑπτὰ ἑβδομάδων καὶ τῶν ξβ′ διαιρέσεως, ἣν ὁ θεῖος Λόγος πάντως που μετά τινος εὐλόγου διανοίας καὶ βαθυτάτης συνέσεως πεποίηται φήσας· «Καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ζ′, καὶ ἑβδομάδες ξβ′ καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος.» Ὅρα δὴ εἰ μὴ ἀβίαστος γένοιτ' ἂν ἡμῖν ἡ διήγησις ἐξ αὐτοῦ Κύρου, καθ' ὃν ὁ Δανιὴλ προφητεύει, τοὺς χρόνους ἀπαριθμουμένοις. Οὗτος γὰρ οὖν πρῶτος τὴν περὶ τοῦ ἀνεγεῖραι τὴν Ἱερουσαλὴμ ἀπόκρισιν ἐξενήνοχε κατὰ τὴν ἐν τῷ Ἔζρᾳ γραφήν, τοῦτον ἔχουσαν τὸν τρόπον· «Καὶ ἐν τῷ πρώτῳ ἔτει Κύρου βασιλέως Περσῶν, τοῦ τελεσθῆναι λόγον Κυρίου ἀπὸ στόματος Ἱερεμίου, ἐξήγειρε Κύριος τὸ πνεῦμα Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλε φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ, καί γε ἐγγράπτως, λέγων· Οὕτως εἶπεν Κῦρος ὁ βασιλεὺς Περσῶν· Πάσας τὰς βασιλείας τῆς γῆς παρέδωκέ μοι Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐπεσκέψατο ἐπ' ἐμὲ τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν Ἱερουσαλὴμ τῇ ἐν Ἰουδαίᾳ. Τίς ἐν ὑμῖν ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ; Καὶ ἔσται ὁ Θεὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀναβήσεται εἰς Ἱερουσαλήμ·[1]» καὶ τὰ ἑξῆς. Οἷς ἐπιφέρεται· «Καὶ ὁ βασιλεὺς Κῦρος ἐξήνεγκε τὰ σκεύη οἴκου Κυρίου, ἃ ἔλαβεν Ναβουχοδονόσορ ἀπὸ Ἱερουσαλήμ, καὶ ἔδωκεν αὐτὰ ἐν οἴκῳ θεοῦ αὐτοῦ. Καὶ ἐξήνεγκεν αὐτὰ Κῦρος, ὁ βασιλεὺς Περσῶν, ἐπὶ χεῖρα Μιθριδάτου καὶ ἠρίθμησεν αὐτὰ τῷ Σαμανασσάρ, ἄρχοντι τοῦ Ἰούδα.[2]» Ἐπὶ τούτοις ἱστορεῖ ἡ Γραφὴ ὡς ἀνελθόντες οἱ πρῶτοι καταβάλλονται τοὺς τοῦ ἱεροῦ θεμελίους, καὶ ὡς εἴργονταί γε ἐν τῷ μεταξὺ χρόνῳ τῆς σπουδῆς, ἕως ἐπὶ ἑβδόμην ἐτῶν ἑβδομάδα. Τεσσαράκοντα γοῦν καὶ ἓξ ἔτη ἀπὸ Κύρου καὶ ἐπὶ τὸ Δαρείου ἕκτον ἔτος περιγράφεται, ἐν ᾧ πέρας ἴσχει τὰ τῆς τοῦ ναοῦ οἰκοδομῆς· ὅθεν εἰκότως ἀπὸ τῶν λοιπῶν ἑβδομάδας ζ′ τὰς πρώτας ὁ λόγος ἀφωρίσατο, τὸν μεταξὺ χρόνον τῆς πρώτης καταβολῆς τῶν τοῦ ναοῦ θεμελίων καὶ τῆς εἰς ἄκρον αὐτοῦ ἀναπληρώσεως ἐμφῆναι βουλόμενος. Κῦρος μὲν γὰρ ἔτη τριάκοντα καὶ ἓν βασιλεύσας, Καμβύσῃ τῷ παιδὶ παραδίδωσι τὴν ἀρχήν· οὗ ἐπὶ ἐννέα διαγενομένου ἔτεσι, Δαρεῖος τὴν

1. Β′ Ἔσδρ. 1, 1-3. 2. Β′ Ἔσδρ. 1, 7-8.

βασιλείαν παραλαβών, αὖθις μετὰ Κῦρον διὰ τοῦ προγράμματος τὴν Ἱερουσαλὴμ οἰκοδομηθῆναι προστάττει. Καὶ δὴ κατὰ τὸ ἕκτον αὐτοῦ τῆς ἀρχῆς ἔτος, ὅπερ ἦν ἀπὸ Κύρου τεσσαρακοστὸν καὶ ἕκτον, τὰ τῆς οἰκοδομῆς ἀποπληροῦται· ὅθεν ὁρμώμενοι τῷ Σωτῆρι ἡμῶν ἔλεγον· «Μ' καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;[1]» Κατὰ δὲ τὸν Ἰώσηπον ο' (θ') καὶ μ' ἔτη ἀκριβῶς τὰ ἀπὸ Κύρου ἐπὶ τὸ Δαρείου ἔνατον ἔτος συνάγεται, ἐν ᾧ τέλος ἐπιθεῖναι τῇ τοῦ ναοῦ οἰκοδομῇ ἐν τῷ ἑνδεκάτῳ τῆς *Ἀρχαιολογίας* φησὶν αὐτολεξεὶ δηλῶν οἰκοδομηθήσεσθαι τὸν ναὸν ζ' (;) μηνὶ τοῦ ἐνάτου τῆς ἐπὶ Δαρείου βασιλείας ἔτους· οἷς καὶ ἐπιφέρει λέγων· «Κατῴκισαν δὲ ἐν τοῖς Ἱεροσολύμοις πολιτείᾳ χρώμενοι ἀριστοκρατ[ορ]ικῇ μετὰ ὀλιγαρχίας· οἱ γὰρ ἱερεῖς προεστήκεσαν τῶν πραγμάτων, ἄχρι οὗ τοὺς Ἀσαμωναίου συνέβη βασιλεύειν ἐγγόνους.» Αἵδε μὲν οὖν αἱ ἐν τῇ προφητείᾳ φερόμεναι ζ' ἑβδομάδες εἰς τὸ προδεδηλωμένον ἔτος Δαρείου περιοριζόμεναι, πρόδηλον οὖν δι' ἣν αἰτίαν τῶν (τὸν) ἀπὸ τῶν λοιπῶν ἀφορισμὸν εἰλήφασιν. Ἴδωμεν δὲ καὶ τὰς λοιπὰς ξβ' ἐπὶ ποίους περιορίζονται χρόνους. Τὸ μὲν δὴ ἔνατον ἔτος Δαρείου κατὰ τὴν ἑβδόμην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα ἐκ τῆς τῶν παρ' Ἕλλησι χρονογράφων παρίσταται ἱστορίας· ἀπὸ δὴ οὖν ταύτης ἐπὶ τὴν ἑκατοστὴν ἑκκαιδεκάτην Ὀλυμπιάδα, καθ' ἣν Σέλευκος μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν Συρίας ἁπάσης καὶ Βαβυλωνίας ἐκράτησεν, ἔτη γίνεται σ'· ἐντεῦθεν δ' ἐπὶ τὴν τελευτὴν Σίμωνος, Ἰουδαίων ἀρχιερέως, τῆς κατὰ Συρίαν ἀρχῆς ζ' καὶ ο' καὶ ρ' διαγενέσθαι ἡ πρώτη τῶν καλουμένων Μακκαβαϊκῶν σημαίνει γραφή, μέχρι τούτου περιγράφουσα τὴν ἱστορίαν.[2] Πάλιν δ' ἐντεῦθεν τὰς τῶν ἱερέων διαδοχὰς ἀκριβέστατα ἐπισημαινόμενος ὁ Ἰώσηπος μετὰ Σίμωνα τὸν προδεδηλωμένον φησὶ καθηγήσασθαι τοῦ λαοῦ Ἰωάννην τὸν καὶ Ὑρκανὸν ἔτεσιν θ' καὶ κ'· τοῦτον δὲ διαδέξασθαι Ἀριστόβουλον, ὃν καὶ βασιλεῦσαι ἐνιαυτόν· μετὰ δὲ τοῦτον Ἀλέξανδρος ἔτεσι κζ', μεθ' ὃν τὴν γυναῖκα Ἀλεξάνδραν, ἐφ' ἣν τὰ πάντα ἀπὸ ἐνάτου ἔτους Δαρείου ἔτη συνάγεται υλδ', ὁπόσα δ' ἂν γένοιτο ἐκ τῶν ξβ' ἑβδομάδων ἐν αἷς οἱ *χριστοὶ* ἡγούμενοι, οὗτοι δ' ἂν εἶεν οἱ ἀρχιερεῖς, ἀρξάμενοι ἀπὸ Κύρου τῶν τοῦ ἔθνους προέστησαν πραγμάτων. Πρόδηλον γὰρ ἀπό τε τῆς ἱερᾶς Γραφῆς, οὐ μὲν (μὴν) ἀλλὰ καὶ ἀπὸ τῶν προτεθεισῶν τοῦ Ἰωσήπου φωνῶν, ὡς ὅτι μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, ἐξ αὐτοῦ Ἰησοῦ τοῦ ἱερέως τοῦ μεγάλου ἡγεμόσι καὶ ἄρχουσι τοῖς κατὰ διαδοχὴν ἐχρῶντο, μέχρι ὧν ὁ Ἰώσηπος ὀνομάζει Ἀσαμωναίου παίδων, οὓς ἡ Γραφὴ Μακκαβαίους ὠνόμασεν, ὧν πρῶτος ἀρχιεράτευσεν Ἰούδας ὁ Μακκαβαῖος ἐπικληθείς, ὃς καὶ καθηγήσατο τοῦ λαοῦ τοὺς Ἀντιόχου τροπωσάμενος στρατηγούς. Μεθ' ὃν Ἰωνάθης ἀδελφὸς αὐτοῦ ὁμοῦ τὴν ἀρχιερωσύνην καὶ τὴν τοῦ λαοῦ

1. Ἰω. 2, 20. 2. Πρβλ. Α' Μακκ. 1.

διαλαμβάνει προστασίαν· καὶ αὖθις τούτου ἀδελφὸς Σίμων ἀρχιερεύς, μεθ' ὃν Ὑρκανός, μεθ' ὃν Ἰούδας, ὁ καὶ Ἀριστόβουλος, διαδέχεται· καὶ πρῶτος ἐπὶ τῇ ἀρχιερωσύνῃ καὶ βασιλείᾳ περιέθετο διάδημα. Μεθ' ὃν τὴν ἀρχιερωσύνην ὁμοῦ καὶ τὴν βασιλείαν παραλαβὼν Ἀλέξανδρος ἐπὶ διαδόχῳ γυναικὶ τελευτᾷ· ἐν ᾧ τῶν ἐν τῷ Δανιὴλ συμπερασθεισῶν ἑβδομάδων οἱ ἐξ ἱερέων ἄρχοντες χριστοὶ προσαγορευόμενοι διαλείπουσιν· ὥστε δηλοῦν τὸ φάσκον λόγιον, «ἕως χριστοῦ ἡγουμένου», τοσάσδε ἔσεσθαι ἑβδομάδας· ὡσεὶ σαφέστερον εἰρήκει, θ' καὶ ξ' διελεύσεσθαι ἐτῶν ἑβδομάδας, τοῦτ' ἔστι χρόνων(ον) γ' καὶ π' καὶ υ' ἐτῶν, ἐν ᾧ χριστός τις καὶ ἀρχιερεὺς κατὰ διαδοχὴν ἡγούμενος τῶν τοῦ λαοῦ προστήσεται πραγμάτων. Καὶ δὴ παντί τῳ σαφὲς ἐκ τῶν προπαρατεθέντων ἡμῖν, ὡς τοσοῦτος ἐτῶν ἀριθμὸς τῶν ἀπὸ Κύρου καὶ ἐπὶ τὴν τελευτὴν Ἀλεξάνδρου τοῦ ὑστάτου αὐτῶν ἡγησαμένου ἀρχιερέως παρίσταται. Μεθ' ὃν μόνη τῶν πώποτε τὸ τηνικαῦτα γυνὴ τὴν τοῦ ἔθνους βασιλείαν διαλαμβάνει, ἐξ ἧς ὁμοῦ τά τε τῆς Ἰουδαίων ἡγεμονίας, καὶ τὰ τῆς ἐκ προγόνων εὐσταθῶς προϊούσης ἀρχιερωσύνης συγχεῖται. Διαλαβοῦσα γοῦν ἡ προδεδηλωμένη τὴν ἀρχήν, τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ τῷ παιδὶ δίδωσιν, αὐτὴ δὲ τὴν βασιλείαν ἔτη θ' κατασχοῦσα τελευτᾷ. Μεθ' ἣν Ἀριστόβουλος, ἕτερος αὐτὸς πλεῖστα στασιάσας πρὸς τὸν ἀδελφόν, ἐκεῖνον μὲν τὴν ἀρχιερωσύνην ἀφαιρεῖται, αὐτὸς δὲ πρὸς ταύτῃ καὶ τῆς βασιλείας μετὰ τρίτον ἔτος ἀποπίπτει. Ῥωμαίων γὰρ αὐτίκα στρατηγὸς Πομπήϊος ἐπιστάς, τὴν μὲν Ἱερουσαλὴμ κατὰ κράτος πολιορκεῖ, μιαίνει τε τὰ ἅγια μέχρι τῶν ἀδύτων τοῦ ἱεροῦ προελθών, τὸν δὲ Ἀριστόβουλον δέσμιον ἐπὶ Ῥώμης ἅμα τέκνοις ἀναπέμπει· μεθ' ὃν καὶ τοῦ Ὑρκανοῦ ὑπὸ Πάρθων αἰχμαλώτου ἀχθέντος, τὴν κατὰ Ἰουδαίων βασιλείαν πρῶτος ἐξ ἐθνῶν Ἡρώδης παρὰ τῆς συγκλήτου Ῥωμαίων ἐγχειρίζεται· ὡς μὲν ὁ Ἰώσηπος παραδίδωσιν, Ἰδουμαῖος κατὰ πατέρα τὸ γένος ὢν Ἀράβιος δὲ κατὰ μητέρα· ὡς δ' ὁ Ἀφρικανός, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν· «Φασὶν οἱ τὰ κατ' αὐτὸν ἀκριβοῦντες Ἀντίπατρον (τοῦτον δ' εἶναι αὐτῷ πατέρα) Ἡρώδου τινὸς Ἀσκαλωνίτου τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἱεροδούλων γεγονέναι.» Εἰς δὴ οὖν τὸν τοιοῦτον τῆς Ἰουδαίων περιελθούσης ἀρχῆς, ἐν τὰ (;) αὐτῷ μετὰ τῶν ἄλλων προφητῶν καὶ ἡ παρὰ Μωϋσεῖ φερομένη τοῦ Ἰακὼβ πληροῦται πρόρρησις· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα» φήσασα, «καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν.[1]» Καὶ πρόδηλόν γε ἔκ τε τῶν ἱστοριῶν, καὶ τῶν ἡμῖν παρατεθέντων, ὅτι δὴ μέχρις Ἡρώδου, καθ' ὃν ὁ Χριστὸς γεγέννηται, οὐ διέλειπεν ἡ ἐξ αὐτῶν Ἑβραίων κατὰ διαδοχὴν τοῦ παντὸς ἔθνους ἡγησαμένων ἀρχή. Πρώτου δὲ τὸ γένος ἀλλοφύλου βασιλεύσαντος αὐτῶν Ἡρώδου, αὐτί-

1. Γεν. 49, 10.

κα μὲν καὶ ἡ τοῦ Χριστοῦ παρουσία πληροῦται, καὶ ἡ τῶν ἐθνῶν προθεσπισθεῖσα προσδοκία διὰ τῆς εἰς πᾶν ἔθνος διαδραμούσης τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας ἔργῳ συντελεῖσθαι ἤρξατο· τότε καὶ ἡ ἐν τῷ Δανιὴλ μετὰ τὰς διαληφθείσας ἡμῖν ἑβδομάδας πρόρρησις ἐπεσφραγίζετο, φάσκουσα· «Καὶ μετὰ τὰς ἑβδομάδας τὰς ξβ΄ ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ· καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ· καὶ κοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς.»

«Τίνα μὲν οὖν τρόπον ἡ τῶν προρρηθεισῶν ἑβδομάδων τῶν τε προτέρων [ν]ζ΄, καὶ τῶν ἐπὶ ταύταις ξβ΄, προφητεία, ἐν αἷς κατὰ τὴν τοῦ γένους διαδοχὴν προσήκει διαλαμβάνειν, καὶ τῇ μέχρι τῶν Ἡρώδου χρόνων ἱστορίᾳ δηλούσῃ τοὺς κατὰ διαδοχὴν ἀρχιερεῖς διὰ πάσης χριστός τις καὶ ἀρχιερεὺς ἡγεῖτο τοῦ λαοῦ, ὡς διὰ τουτὶ εἰρῆσθαι τῷ χρησμῷ τό, «ἕως χριστοῦ ἡγουμένου», πέρας εἴληφεν εἰς τοὺς κατὰ Ἡρώδην χρόνους, ὡς δύναμις ἡμῖν, δεδήλωται. Πῶς δ' ἐπὶ τούτοις μετὰ τὴν συμπλήρωσιν τοῦ προδηλωθέντος τῶν ἑβδομάδων χρόνου «ἐξωλοθρεύθη χρῖσμα, ὅτι μὴ κρῖμα ἦν ἐν αὐτῷ», ὥσπερ δ' οὖν τὸ λόγιον μηνύει, σημαῖνον ὅτι μετὰ κρίσεως εὐλόγου τὸ χρῖσμα τὸ κατὰ τὴν ἀρχιερωσύνην ἐπὶ τοῦ δηλουμένου καιροῦ συντελεσθήσεται, σαφὲς ἂν γένοιτο τοῖς ἐπιστήσασι τῇ τε τοῦ νόμου διατάξει, (ἐν ᾗ διὰ βίου μέχρις αὐτῆς τελευτῆς προστέτακται τὴν ἀρχιερωσύνην τοὺς οἷς κατὰ τὴν τοῦ γένους διαδοχὴν προσήκει διαλαμβάνειν), καὶ τῇ μέχρι τῶν Ἡρώδου χρόνων ἱστορίᾳ, δηλούσῃ τοὺς κατὰ διαδοχὴν ἀρχιερεῖς διὰ πάσης τῆς αὐτῶν ζωῆς ἀκολούθως τῇ περὶ αὐτῶν νομοθεσίᾳ τῆς τιμῆς ἠξιῶσθαι, ὅπως τε κατ' αὐτὸν Ἡρώδην οὐ μόνον τὰ τῆς τοιαύτης περὶ τοὺς ἀρχιερεῖς διαταγῆς συγχεῖταί τε καὶ διαφθείρεται, ἀλλὰ καὶ τῆς ἁγίας στολῆς, ἣν ὑπομόνον (;) ἐξῆν εἶναι τὸν ἀρχιερέα, ὅτι μὴ δ' ἑτέρῳ ἢ αὐτῷ μόνῳ ἐν ταύτῃ λειτουργεῖν ἐξὸν ἦν, τὴν ἐξουσίαν αὐτοὺς Ἡρώδης ἀφελόμενος ὑφ' ἑαυτόν, καὶ ταῦτα ἀλλόφυλος ὤν, ποιεῖται. Εἰ δὲ χρὴ καὶ τούτων παραθέσθαι ἐλέγχους, δέχου δὴ τοῦ μάρτυρος τὰς φωνὰς (ἃς) ὁ ἐξ αὐτῶν Ἑβραίων Ἰώσηπος, τῆς τῶν ἱερέων καὶ αὐτὸς ἠξιωμένος τιμῆς, καὶ γένους τοῦ παρ' αὐτοῖς διαφανεστάτου, ἐν εἰκοστῷ τῆς *Ἀρχαιολογίας* κατατέθειται συγγράμματι. Περὶ μὲν οὖν τῆς τῶν ἀρχιερέων παρατροπῆς ὧδέ πως κατὰ λέξιν γράφει·

«Τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ (Ῥω)μαίων ἐγχειρισθείς, οὐκέτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά τισιν ἀσήμοις καὶ οὐκ ἐξ ἱερέων οὖσιν, πλὴν ἑνὸς Ἀριστοβούλου, τὴν τιμὴν ἀπένεμεν· τὸν δὲ Ἀριστόβουλον, Ὑρκανοῦ τοῦ ἀπὸ Παρθῶν αἰχμαλωσιασθέντος υἱὸν ὄντα καταστήσας ἀρχιερέα, τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαριάμμῃ, τὴν τοῦ πλήθους πρὸς ἑαυτὸν θηρώμενος εὔνοιαν διὰ τὴν Ὑρκανοῦ μνήμην· εἶτα φοβηθεὶς μὴ πρὸς τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτὸν ἐν Ἱεριχῷ, πνιγῆναι

μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. Μετὰ τοῦτον οὐκέτι τοῖς ἐγγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. Ἔπραξε δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἀρχιερέων Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ, καὶ μετὰ τοῦτον τὴν ἀρχὴν Ῥωμαῖοι τῶν Ἰουδαίων παραλαβόντες.»

Ταῦτα μὲν περὶ τούτων ὁ Ἰώσηπος· περὶ δὲ τῆς ἀρχιερατικῆς στολῆς ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς *Ἀρχαιολογίας* ταῦτα ἱστορεῖ·

«Ἡρώδης δὲ βασιλεύσας τήν τε βάριν ταύτην ἐν ἐπιτηδείῳ κειμένην κατασκευάσας πολυτελῶς, Ἀντωνίαν καλεῖ ὄνομα, καὶ τὴν στολὴν τὴν ἀρχιερατικὴν ὥσπερ καὶ λαμβάνει τῇδε κειμένην κατεῖχεν, πιστεύων οὐδὲν νεωτεριεῖν ἐπ' αὐτῷ τὸν λαὸν δι' αὐτήν. Ἔπρασσε δὲ τὰ ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος, υἱὸς ὤν, παρ' οὗ Ῥωμαῖοι διαδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως ἀποκειμένης ἐν οἴκῳ λίθου οἰκοδομηθέντι ὑπὸ σφραγῖδι.»

Ἐκ δὴ τούτων ἀναμφίλεκτος γένοιτ' ἂν ἀπόδειξις ὅτι δὴ κατὰ τοὺς δηλουμένους χρόνους τὰ τῆς προφητείας περιγραφῆς ἔτυχεν· εἰ δὲ μὴ συνομολογοῖεν τούτοις οἱ ἐκ περιτομῆς, αἰτητέον αὐτοὺς ἑτέραν παρὰ τὴν ἡμετέραν τῆς Γραφῆς διήγησιν, καὶ δεικτέον ὡς ἄρα κατ' αὐτοὺς ψευδεῖς ἀνάγκη τὰς τοῦ τηλικούτου Γαβριὴλ ἀπελέγχεσθαι προρρήσεις, εἰ μηδὲν τῶν προαναπεφωνημένων ἐξ ἐκείνου καὶ εἰς δεῦρο χιλίων ἤδη πλησιαζόντων ἐτῶν γεγένηται. Ἀλλ' ἡμῖν γε σαφῶς ἀληθὴς ὁ λόγος ἀποδείκνυται κατὰ τὰς ἀβιάστως παρατεθείσας ἡμῖν διηγήσεις, αἷς ἀκολούθως εὐχερὲς ἀποδοῦναι τίνα τρόπον καὶ ἡ μετὰ πάσας ὑστάτη ἐπιφερομένη ἑβδομὰς μία ἐνεδυνάμωσεν διαθήκην πολλοῖς, τὴν Καινὴν Διαθήκην τοῦ σωτηρίου κηρύγματος, τὴν ἐπὶ πᾶσαν διαδοθεῖσαν τὴν οἰκουμένην, καὶ οὐκέτι μὲν ἑνὶ μόνῳ τῷ Ἰουδαίων ἔθνει, ἀλλ' ἤδη καὶ πλείοσι κηρυχθεῖσαν, ὥστ' ἂν διὰ τοῦτο εἰρῆσθαι καὶ τό, «Δυναμώσει Διαθήκην πολλοῖς ἑβδομὰς μία.» Ἐπιστῆσαι δὲ εὔλογον, ὅτι μὴ ἑξῆς ταῖς λοιπαῖς ἑβδομάσιν ἡ τελευταία ἑβδομὰς μία συνῆπται, ἥν φησιν ὁ λόγος δυναμώσειν Διαθήκην τοῖς πολλοῖς· οὐ γὰρ ὡς ἐπὶ τῶν ζ' καὶ ξβ' ἑβδομάδων καὶ ἐπὶ τῆς μιᾶς πεποίηκεν· ἐπ' ἐκείνων μὲν γάρ, διελὼν τοῦ παντὸς χρόνου τὸν ἀριθμὸν εἴς τε τὰς ζ' καὶ ἑξῆς τὰς ξβ' ἑβδομάδας, συνημμένην πεποίηται τὴν διαίρεσιν, ταῖς ζ' τὰς ξβ' συνάψας, καὶ μηδένα χρόνον μηδὲ πρᾶξιν μεταξὺ καταλιπών, ὅτι μηδ' ἐμφέρεταί τι διάλειμμα χρόνου διαιροῦν καὶ διαζευγνύον τὸ συνημμένον τῆς κατ' ἐκείνας τὰς ἑβδομάδας ἱστορίας. Ἐπὶ δὲ τῆς ἐπιφερομένης ἑβδομάδος μιᾶς μακρά τις καὶ ἀπεσχοινισμένη τυγχάνει διαστολή. Μετὰ γὰρ τὰς ἑβδομάδας τὰς ξβ' πρῶτόν φησιν· «Ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρῖμα οὐκ ἔστιν ἐν αὐτῷ [1]», ὃ καὶ πρόδηλον τίνα τρόπον πέρας εἴληφεν ἐπὶ τῶν Ἡρώδου χρόνων·

1. Δαν. 9, 26.

εἶτά φησι· «Καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ.[1]» Τίς δὲ διαφθερεῖ ἢ τῶν ψυχῶν ὁ διαφθορεὺς διάβολος; Τίς δὲ ἐρχόμενος ἡγούμενος ἢ ὁ ἐξ ἐθνῶν πρῶτος αὐτῶν ἡγησάμενος Ἡρώδης, καὶ οἱ μετ' αὐτὸν εἰς δεῦρο τὴν κατὰ Ἰουδαίων ἡγεμονίαν διειληφότες; Ὥσπερ γοῦν τοὺς πάλαι αὐτῶν ἡγουμένους ἀρχιερεῖς «χριστὸν ἡγούμενον» αἰνιγματωδῶς προσεῖπεν ἡ προφητεία, τὸν αὐτὸν τρόπον τοὺς μετὰ τὴν ἐκείνων κατάπαυσιν ἐξ ἐθνῶν αὐτῶν ἄρξαντας «ἐρχόμενον ἡγούμενον» προσηγόρευσε, φήσασα· «Καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ·» ὅπερ σαφέστερον ὁ Ἀκύλας ἐκδέδωκε ποιήσας, «Καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ λαὸς ἡγουμένου ἐρχομένου.» Καὶ πρόδηλον ὅπως ὁ λαὸς καὶ ὁ στρατὸς τῶν μετὰ τοὺς χριστοὺς ἡγουμένους τὴν κατὰ Ἰουδαίων ἀρχὴν διαδεξαμένων ἐξ ἐθνῶν ἡγουμένων, νόμοις ἐθνῶν χρώμενος, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διέφθειρε, καὶ ὁ κατὰ διάνοιαν δὲ τῶν ψυχῶν ἡγούμενος φθορεὺς σὺν τῷ ἡγουμένῳ τῷ κατὰ τὴν προφητείαν ἐληλυθότι πᾶσαν φθορὰν ἐνηργήσατο αὐτῷ τε πρότερον τῷ λαῷ, καὶ τοῖς τὴν πόλιν ἐνοικοῦσι πολίταις, ἔπειτα δὲ καὶ τῷ ναῷ καὶ τῇ πάλαι συντελουμένῃ ἐν αὐτῷ λατρείᾳ. Καὶ ταύτην γε αἰτίαν τῆς παραυτίκα γεγενημένης τοῦ Χριστοῦ παρουσίας προσημαῖνόν που θεῖον λόγιόν φησιν· «Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιών, ἢ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.[2]» Εἶθ' ὡς διεφθορότων τῶν προδεδηλωμένων τὰ διαληψόμενα αὐτοὺς προδιδάσκων ὁ λόγος φησί· «Καὶ κοπήσονται ἐν τῷ κατακλυσμῷ, καὶ ἐπὶ τοσοῦτόν γε κοπήσονται, ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς·[3]» ἔτι δὲ τούτων συντελουμένων τε καὶ ἐνεργουμένων, «Καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία.» Αὕτη δ' ἂν εἴη ἡ τοῦ σωτηρίου κηρύγματος, δι' οὗ τῆς Καινῆς τὴν παράδοσιν Διαθήκης ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πολλοῖς μαθητευθεῖσιν αὐτῷ ἐνεδυνάμωσε· τοτὲ μὲν πρὸ τοῦ πάθους συνὼν αὐτοῖς καὶ συμπολιτευόμενος, τοτὲ δὲ καὶ «μετὰ τὴν ἀνάληψιν δι' ἡμερῶν μ' ὀπτανόμενος αὐτοῖς καὶ συναυλιζόμενος, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ·[4]» διὸ καὶ «παρήγγελλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι.» Ταύτης δὲ τῆς ἑβδομάδος ἐν τῷ ἡμίσει δι' ἣν πέπονθεν ὑπὸ Ἰουδαίων ἐπιβουλὴν καὶ τὰ ἀκόλουθα τῆς θείας ἐπληρώθη προρρήσεως· ἀμφὶ γοῦν τὰ τρία ἥμισυ ἔτη κηρύξας καὶ ἀπὸ τῆς τῶν Εὐαγγελίων παρίσταται γραφῆς· διὸ εἴρηται· «Καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδή·[5]» καὶ σαφές γε ὅπως ἅμα τῷ πάθει δυνάμει ἤρθη ἐξ αὐτῶν θυσία καὶ σπονδή· ὅτε κατὰ μὲν τὴν τῶν Εὐαγγελίων γραφὴν «τὸ καταπέ-

1. Δαν. 9, 26. 2. Ψαλμ. 13, 2-3. 3. Δαν. 9, 26. 4. Πράξ. 1, 3. 5. Δαν. 9, 27.

τασμα τοῦ ναοῦ ἐσχίσθη ἀπὸ ἄνωθεν ἕως κάτω·[1]» κατὰ δὲ τὴν τοῦ Ἰωσήπου ἱστορίαν·

«Ἐν αὐτῇ τῇ Πεντηκοστῇ νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἱερόν, ὥσπερ αὐτοῖς ἔθος ἦν, πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαμβάνεσθαι καὶ κτύπου, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας· «Μεταβαίνομεν (ωμεν) ἐντεῦθεν.»

Ταῦτα δὲ κατὰ λέξιν καὶ ἕτερα τούτοις παραπλήσια ταῖς ἱστορίαις παραδοὺς ὁ Ἰώσηπος συμβάλοιτ' ἂν ἡμῖν εἰς ἀπόδειξιν τοῦ δυνάμει λελύσθαι τε καὶ καθηρῆσθαι μετὰ τὸ σωτήριον πάθος τὰ τῆς τοῦ λαοῦ σωματικῆς λατρείας. Οἶδα δὲ καὶ ἄλλην εἰς τὴν ἑβδομάδα τὴν «δυναμώσασαν διαθήκην πολλοῖς» ἀποδοθεῖσαν ἑρμηνείαν· ταύτην γὰρ εἰς τὴν ἐν δεκάσιν ἑβδομάδα μεταλαβὼν ὁ λόγος παρίστη τὸν σύμπαντα τῶν ἀποστόλων χρόνον εἰς ἑβδομηκονταετίαν συντείνειν, ἐν ᾗ τὸ κήρυγμα τῆς Καινῆς Διαθήκης οὐκέτι ἑνί, ἀλλὰ πολλοῖς ἔθνεσι κηρυχθὲν εἰς πᾶσαν ἐνεδυναμώθη τὴν οἰκουμένην. Καὶ γὰρ οὖν ἐκ τῶν ἱστοριῶν δείκνυται Ἰωάννης ὁ τοῦ Κυρίου μαθητὴς μετὰ τὴν ἀνάληψιν αὐτοῦ ἔτεσιν ἐπιβιοὺς ο'· μέχρι γὰρ τῆς Τραϊανοῦ λόγος ἔχει παραμεῖναι αὐτὸν βασιλείας· κατά τε ταύτην τὴν διήγησιν πρόδηλον ὅπως ἐν τῷ ἡμίσει ταύτης τῆς ἐν δεκάσιν ἑβδομάδος ἤρθη θυσία καὶ σπονδή, καὶ τὸ λεγόμενον «βδέλυγμα τῆς ἐρημώσεως» ἔστη ἐν τόπῳ ἁγίῳ. Τὰ γοῦν ἀπὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεως ἐπὶ τὴν ὑστάτην κατὰ Οὐεσπασιανὸν πολιορκίαν εἰς ἔτη πέντε καὶ τριάκοντα συντείνει· ἅπερ ἂν γένοιτο τῆς ἀποδοθείσης ἑβδομάδος τὸ ἥμισυ· ὅτε καὶ παντελῆ τὴν διὰ πυρὸς φθορὰν καὶ κατασκαφὴν τοῦ πάλαι ἱεροῦ καὶ ἁγίου νεὼ πεπονθότος ἐπισφράγισμα εἴληφε· καὶ τό, «Ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων·[2]» ὅπερ «βδέλυγμα ἐρημώσεως» μέχρι συντελείας βίου παραμεῖναι δηλοῖ τὸ λόγιον, φάσκον· «Καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.»

Ἀλλὰ ταῦτα μὲν ἐπιτεμόμενοι, τὴν διήγησιν παρατεθείμεθα· ὥρα δὲ ἤδη μετελθεῖν καὶ ἐπὶ τὸν Ἡσαΐαν· ὃς μόνος ἀπὸ πάσης τῆς παλαιᾶς ἡμῖν περιλέλειπται Γραφῆς.

---

1. Ματθ. 27, 51. 2. Δαν. 9, 27.

ΛΟΓΟΣ Δ'.

ΗΣΑ·Ι·ΟΥ.

Τὰς ἀπὸ τῶν Ἡσαΐου προφητικὰς Ἐκλογὰς μόνας ἡμῖν λειπούσας ἀπανθίσασθαι πειρώμενοι, πρὸς τοὺς ἀπίστως περὶ τὰς προφητείας διακειμένους ὀλίγα προδιαληψόμεθα εἰς παράστασιν τῆς τῶν προφητῶν ἀληθείας. Καὶ δὴ πρῶτον καλῶς καὶ τοῖς πρὸ ἡμῶν τετηρημένον παραθήσομαι λογισμόν. Εὖ γοῦν εἰρηκέναι μοι δοκοῦσιν, ὡς ἄρα τοῖς ὑπὸ τοῦ Μωϋσέως νόμον αὐτὸς ὁ νόμος διαμαρτύρεται, ὅτι δὴ τὰ ἔθνη ὧν μεταξὺ πολιτεύσονται «κληδόνων καὶ μαντειῶν ἀκούσονται· σοὶ δέ», φησίν, «οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου.[1]» Καὶ ἔτι γε εἴργων αὐτοὺς ὁ θεῖος λόγος ἔκ τε οἰωνιστικῆς καὶ πάσης τῆς διὰ δαιμόνων περιέργου μαντείας ἐπιφέρει, λέγων· «Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει σοι Κύριος ὁ Θεός σου.[2]» Ἆρ' οὖν τούτων αὐτοῖς ἀναγεγραμμένων, μὴ ἔργῳ δὲ γενομένων, μηδὲ παρόντων αὐτοῖς προφητῶν ἀνδρῶν, δυνατὸν ἦν αὐτοὺς πιστεύειν τῷ νόμῳ, καὶ τῷ ταῦτα ἐπαγγειλαμένῳ λόγῳ οὕτω προφανῶς καὶ ἐναργῶς ψευδομένῳ; ἢ δῆλον ὅτι ὑπ' αὐτῆς τῆς περὶ τὴν πρόγνωσιν τῶν ἐσομένων λιχνείας ἀγόμενοι κατεφρόνησαν τῶν ἰδίων, ὡς οὐδὲν ἀληθὲς ἐχόντων οὐδὲ θεῖον, διὰ τὸ μὴ εἶναι παρ' αὐτοῖς προφήτας, αὐτόμολοι δὲ ἐπὶ τὰ τῶν ἐθνῶν μαντεῖά τε καὶ χρηστήρια μετήεσαν; Ἀλλὰ γὰρ φαίνονται οὐ μόνον Μωϋσέα, ἀλλὰ καὶ πλείους μετ' αὐτὸν ὡς Θεοῦ προφήτας προσιέμενοι, οὐκ ἄλλως δῆλον ὅτι ἢ τῷ πεῖραν τῆς ἐν αὐτοῖς θειότητος εἰληφέναι· οἵδε γὰρ αὐτοῖς οὐ μόνον περὶ τῶν μακροῖς ὕστερον χρόνοις μελλόντων ἔσεσθαι προὐθέσπιζον, ἀλλὰ καὶ περί τινων προχείρων καὶ βιωτικῶν προὔλεγον· οἷον περὶ ὄνων ἀπολωλυιῶν, καὶ περὶ νοσούντων ἐπισφαλῶς, εἰ βιώσονται ἢ μή, καὶ περὶ μελλούσης ἔσεσθαι τῷ λαῷ εὐθηνίας, καὶ περὶ ἄλλων μυρίων, ἃ ταῖς κατ' αὐτοὺς ἱστορίαις ἐμφέρεται· ἅπερ εἰ μὴ τοῦτον γεγόνει τὸν τρόπον, ἀποκρινέσθω τις, τίνι δήποτε οὖν λόγῳ προφήτας ἡγοῦντό τε καὶ ἀπεκάλουν, ἢ διὰ τί γραφῆς τοὺς λόγους αὐτῶν ἠξίουν; Τίς δ' ἡ αἰτία δι' ἣν καὶ τοῖς μετέπειτα παισὶν ἑαυτῶν, ὡς ἂν δὴ θείας, αὐτῶν τὰς γραφὰς παρεδίδοσαν; Μηδὲν γάρ τι θεῖον μηδὲ παράδοξον ἐν τοῖς ἀνδράσιν ἑωρακότας εἰκῇ καὶ μάτην οἴεσθαι περὶ αὐτῶν τοιαῦτα διειληφέναι, πάντων ἐστὶν ἀπιθανώτατον. Εἰ δ' ἀναδράμοι τις ἐπὶ τοὺς τότε χρόνους τῇ διανοίᾳ, τί ἄρα ἐπινοήσειεν, ὁρῶν ἄνδρας ἀγροίκους καὶ τὸ σχῆμα λιτούς, αἰπόλους τινὰς καὶ ποιμένας, εἰς μέσον παντὸς τοῦ ἔθνους παριόντας, καὶ ὡς ἐκ προσ-

---

1. Δευτ. 18, 14. 2. Δευτ. 18, 15.

ώπου τοῦ Θεοῦ τινα λέγοντας, καὶ «Τάδε λέγει Κύριος», ἀναβοωμένους, ἐπί τε βασιλέων καὶ παντὸς τοῦ λαοῦ μετὰ παραστήματος ἀκαταπλήκτου δημηγοροῦντας, καὶ σοφίαν ὑπὲρ ἄνθρωπον ἐνδεικνυμένους, τὴν καὶ εἰσέτι νῦν ἐν ταῖς προφητείαις αὐτῶν φερομένην, μυρία τε ἄλλα δι' αἰνιγμάτων καὶ παραβολῶν ἀπόρρητα φιλοσοφοῦντας, ἠθικήν τε καὶ δογματικὴν τῇ Ἑβραίων φωνῇ διδασκαλίαν τῷ λαῷ παραδιδόντας, καὶ πρὸς ἐπὶ τούτοις τὸν βίον τοῖς λόγοις αὐτῶν κατάλληλον ἐνδεικνυμένους, καὶ τοῖς πᾶσιν ἀκολακεύτως ὁμιλοῦντας, εἰς πρόσωπόν τε τοὺς ἀσεβεῖς διελέγχοντας, ὡς καὶ ἐπιβουλεύεσθαι πρὸς αὐτῶν μέχρι θάνατον, ῥωμαλέῳ καὶ γενικῷ παραστήματι τῷ ἀληθεῖ λόγῳ παρισταμένους· ταῦτά τις εἰς νοῦν εὐγνωμόνως θέμενος, πῶς οὐκ ἂν ὁμολογήσειε κατὰ θείαν ὡς ἀληθῶς ἐπίπνοιαν ταῦτα πάντα περὶ αὐτοὺς γεγονέναι; Διὸ καὶ τότε θαυμάζεσθαι αὐτοὺς εἰκὸς ἦν παρὰ τοῖς ἔμφροσι, καὶ τοὺς λόγους αὐτῶν ἀναγράπτους παρὰ τοῖς ἱερογραμματεῦσι φυλάττεσθαι, εἰσέτι τε νῦν παρ' ὅλῳ τῷ ἔθνει προφήτας γεγονέναι τοῦ Θεοῦ πιστεύεσθαι· ὃ καὶ ἐναργέστατα μάλιστα παρίστησιν ἡ ἡμετέρα περὶ τοῦ Χριστοῦ διάληψις, καθ' ἣν ἀποδείκνυμεν πᾶσαν τὴν κατ' αὐτὸν οἰκονομίαν γεγενημένην, τά τε περὶ τῆς διδασκαλίας αὐτοῦ, καὶ τῆς ἐξ ἁπάντων ἐθνῶν γενομένης δι' αὐτοῦ κλήσεως, ἀκριβῶς προεγνῶσθαί τε καὶ πρὸ μυρίων ὅσων ἐτῶν τοῖς θεσπεσίοις ἐκείνοις ἀνδράσι προειρῆσθαι· ὧν τὰς ἱερὰς βίβλους Ἰουδαῖοι μᾶλλον ἂν ἡμῶν εἶεν ἀξιοπιστότεροι μετὰ πάσης σεβασμίου τιμῆς περιέποντές τε καὶ προφέροντες. Τούτων ἡμῖν χρησίμως προδιαληφθέντων, ἐπὶ τὴν ὑπόθεσιν ὁδευτέον.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ἐκ τοῦ Ἡσαΐου.

«Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς περὶ τῆς Ἰουδαίας καὶ περὶ Ἱερουσαλήμ. Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτῷ πάντα τὰ ἔθνη. Καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι· Δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ· καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν· καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.[1]» Δεικνύτωσαν ἡμῖν οἱ τὴν περιτομὴν αὐχοῦντες, τίς ὁ νόμος καὶ ποταπός, καὶ τίσι δοθησόμενος ὁ ἐκ Σιὼν ἐξελεύσεσθαι

1. Ἡσ. 2, 1-4.

προφητευόμενος· «Ἐκ γὰρ Σιών, φησίν, ἐξελεύσεται νόμος», ἕτερος ὢν δῆλον ὅτι τοῦ ἐν τῇ ἐρήμῳ διὰ Μωϋσέως νόμου δεδομένου· τίς δὲ καὶ ὁ τοῦ Κυρίου λόγος, μηκέτι μέν, κατὰ τὴν προφητείαν, μένων ἐν Ἱερουσαλήμ, ἀλλ' ἐκ Σιὼν αὐτῆς, καὶ μεθιστάμενος ἐπὶ πάντα τὰ ἔθνη, μέλλων τε κρίνειν ἀνὰ μέσον τούτων, καὶ λαὸν ἐλέγχει(ξει) πολύν, ὅτε καὶ εἰρήνης βαθυτάτης ἐγγενομένης τοῖς πρὸς τοῦ Λόγου τοῦ Κυρίου κριθησομένοις ἔθνεσι, μεταβαλόντες οἱ τῆς εἰρήνης ἠξιωμένοι τὰ πρότερον αὐτῶν πολεμικὰ σκεύη, τῇ ἑαυτῶν κατὰ τὴν ψυχὴν γεωργίᾳ προσέξουσι τὸν νοῦν. Ἐκείνοις μὲν οὖν οὐκ οἶδ' εἴ τίς ἐστι πρὸς ταῦτα λόγος· ἡμῖν γε μὴν ὑγιῶς εἰς Ἰησοῦν τὸν Χριστὸν τοῦ Θεοῦ πεπιστευκόσι ῥᾳδίως ἔνεστι πᾶσαν ἐξομαλίσαι τὴν προφητείαν, θείαν τε ὡς ἀληθῶς καὶ παράδοξον αὐτὴν ἐπιδεικνύναι, τῷ καὶ τέλος ἐσχηκέναι τὰ προφητευθέντα πιστεύειν, καὶ μὴ τῆς ἀληθείας ἐκπίπτειν, εἰς ἀτερματίστους ὑπερτιθεμένους χρόνους τῶν προφητειῶν τὰ ἀποτελέσματα. Φαμὲν γὰρ δὴ ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίᾳ καὶ σωματικῶς ἐκ Σιὼν ἐξεληλυθέναι, κἀκεῖθεν πᾶσιν ἀνακεκηρύχθαι τοῖς ἔθνεσι, τὸν νόμον τῆς Καινῆς Διαθήκης τὸν κατὰ τὸ Εὐαγγέλιον, ὅτε καὶ αὐτὸς ὁ σωτήριος Λόγος, Λόγος τοῦ Κυρίου χρηματίζων, ἐκ τῆς Ἱερουσαλὴμ προελθών, ἔνθα διατρίβων ἐδίδασκε, κατὰ τό, «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ἔρημος·[1]» «Ἐπὶ πάντα τὰ ἔθνη ἐξέχεε τὴν ἑαυτοῦ χάριν·[2]» ἃ καὶ κρινόμενα πρὸς αὐτοῦ καὶ ἐλεγχόμενα ἐπί τε ταῖς προτέραις ἑαυτῶν ἁμαρτίαις, εἰς συναίσθησιν καὶ μετάνοιαν ἐρχόμενα, πέπαυται μὲν τοῦ πολέμοις τοῖς κατὰ τὰ πάθη σχολάζειν, ἐν εἰρήνῃ δὲ ψυχῆς διάγει βαθυτάτῃ, τῆς σφῶν αὐτῶν διανοίας ἐπιμελούμενα γεωργίας τε καὶ καρποφορίας. Εἴτε δὲ κατὰ τὴν λέξιν βούλοιτό τις ταῦτ' ἐκλαμβάνειν, ὑγιὴς ὁ νοῦς ἀποδίδοται· εἴτε κατὰ διάνοιαν, πολλῷ ῥᾷον· ἐπεὶ καὶ προηγουμένως καὶ μᾶλλον κατὰ ταύτην πεπεῖσθαι χρὴ τὰ κατὰ τοὺς τόπους ἀπὸ τῶν (;) ἀποπληροῦσθαι πλὴν ἀπὸ τῶν εἰρημένων δύνανταί πως εἶναι σαφῆ καὶ τὰ κατὰ τὴν ἀρχὴν τῆς ἐν χερσὶ περικοπῆς· «ἐν» γὰρ ταῖς ἐσχάταις ἡμέραις», δῆλον δ' ὅτι νῦν ἐπὶ συντελείᾳ τῶν αἰώνων, ἐμφανὲς γεγένηται τὸ «ὄρος», τὸ πνευματικὸν «τοῦ Θεοῦ», τουτέστιν ὁ θεῖος καὶ οὐράνιος Λόγος· καὶ ὁ οἶκος δὲ αὐτοῦ ἡ Ἐκκλησία ἐπῳκοδομημένη ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, καὶ διὰ τοῦτο ἐπάνω εἶναι τῶν ὀρέων λεγομένη. Καὶ ταῦτά γε ἐμφανῆ γέγονε μετὰ τὴν ἀποβολὴν τοῦ ἐκ περιτομῆς λαοῦ, καὶ μετὰ τὸ ἀρθῆναι ἀπ' αὐτοῦ τὴν βασιλείαν τῶν οὐρανῶν, ὅτε πέρας εἰλήφασιν αἱ ἀνωτέρω τῆς ἐκτεθείσης προφητείας φωναί, δι' ὧν εἴρηται τό, «Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιών, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, καὶ ὡς πόλις πολιορκουμένη·[3]» καὶ ὅτε πεπλήρωται τό, «Ἀκούσατε λόγων Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ,

---

1. Ματθ. 23, 38. 2. Πράξ. 10, 45. . Ἠσ. 1, 8.

λαὸς Γομόρρας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος [1]», καὶ τὰ ἑξῆς· οἷς ἐπιφέρει· «Τὰς νεομηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅτ' ἂν τὰς χεῖρας ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις.[2]» Καὶ ὅρα πῶς ὁ λόγος ταῦτα πάντα ἀποτεινάμενος οὐκ εἰδωλολατρείαν ἐνταῦθα οὐδ' ἑτέραν αὐτοῖς ἁμαρτίαν ἐγκαλεῖ, οὐδὲ μὴν αἱμάτων πολλῶν, ἀλλ' ἑνὸς ἐξαιρέτου τινὸς αἵματος, δῆλον δ' ὅτι τοῦ Χριστοῦ, τὴν ἔκχυσιν, περὶ οὗ σαφῶς ὁ λόγος τὸν λαὸν ἀπελέγχει λέγων· «Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις·» δι' ἣν αἰτίαν ἑξῆς ἐπιλέγεται τό, «Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί; [3]» μεθ' ἃ πάντα τελευτῶν ὁ λόγος αὖθις τὴν ἀποβολὴν αὐτῶν προμηνύων φησίν· «Ἔσονται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. Καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν καλάμη στυπείου, καὶ αἱ ἐργασίαι αὐτῶν ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων.[4]» Τοσαῦτα καὶ τηλικαῦτα κατ' αὐτῶν προαποφηναμένη ἡ προφητεία, ἑξῆς ἐπιφέρει τὴν ἀρτίως ἡμῖν ἐκτεθεῖσαν περικοπήν, δι' ἧς εἴρηται τό, «Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου.[5]» Σαφῶς μετὰ τὴν ἐκείνων ὁλοσχερῆ καὶ τελείαν ἀποβολήν τε καὶ ἐρήμωσιν τὰς τῆς Καινῆς Διαθήκης ὑποφαίνουσα οἰκονομίας, καθ' ἃς ἐμφανὲς τοῖς πᾶσαν ἔθνεσιν τὸ ὄρος γέγονε τοῦ Κυρίου. Ποῖον δὲ ὄρος, ἢ ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεόν, Θεὸς Λόγος; αὐτὸς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ὃν προαποδεδώκαμεν, περὶ οὗ καὶ ἐν Ψαλμοῖς εἴρηται, «Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον· [6]» καὶ τό, «Ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ.[7]» Πρὸς τούτῳ δὲ τῷ ὄρει καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐμφανὴς γέγονεν· οἶκος δ' ἂν εἴη Θεοῦ ἡ Ἐκκλησία, ἡ ἐπ' ἄκρων τῶν ὀρέων ἀποστολικῶν τε καὶ προφητικῶν λόγων ἐπεστηριγμένη· τούτων δὲ ἐμφανῶν γενομένων ἐπ' αὐτὸ τοῦτο τὸ ὄρος, δῆλον δ' ὅτι τὸν θεῖον Λόγον οὐ κεκτημένος ὁ Ἰσραήλ, οὐδ' ὁ πολλαχοῦ δηλούμενος οἶκος Ἰακώβ, ἀλλ' ἁπαξαπλῶς πάντα τὰ ἔθνη· καὶ δὴ σαφὲς πῶς καὶ τίνα τρόπον, ἀποτελεσθέντων διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας τῶν προειρημένων, ἐμφανῶν τε γενομένων τοῦ τε ἀποδεδομένου ὄρους καὶ τοῦ δεδηλωμένου οἴκου, ἡμεῖς οἱ ἐξ ἐθνῶν διὰ τῆς εἰς Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ πίστεως προσεληλυθότες τῷ τῶν ὅλων Θεῷ, πάλαι μὲν ἀγνοοῦντες τὰ τηλικαῦτα, νυνὶ δὲ διὰ τὴν θείαν χάριν ἐπιγνόντες αὐτά, προσεληλύθαμεν Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ· καὶ ἅτε παιδευθέντες ὑπὸ τοῦ ἐξεληλυθότος ἢ καὶ καταβεβηκότος

1. Ἡσ. 1, 10-11. 2. Ἡσ. 1, 14-15. 3. Ἡσ. 1, 21. 4. Ἡσ. 1, 30-31. 5. Ἡσ. 2, 2. 6. Ψαλμ. 67, 16. 7. Ψαλμ. 67, 17.

ἐκ τῆς ἐπουρανίου Ἱερουσαλὴμ Λόγου Θεοῦ, ὡς «Ὅτι ἡ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·[1] ἐπὶ τοῦτον τὸν ἐπουράνιον οἶκον τοῦ Θεοῦ, καὶ ἐπὶ τὸ Σιών, καὶ αὐτὸ ἐπουράνιον ὄρος Κυρίου, διεγείροντες ἀλλήλους καὶ κατασπεύδοντες διὰ τῆς διδασκαλίας καὶ προτροπῆς φαμεν· «Δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.[2]» Τούτων δ' ἀποτελεσθέντων, καὶ Θεοῦ χάριτι πᾶσιν ἡμῖν ἐμφανῶν γενομένων, καὶ ἄλλη τις προφητεία πέρας εἴληφε, δι' ἧς αὐτὸς ὁ σωτήριος Λόγος σαφέστερον ἐπιμαρτυρεῖ τῇ μετὰ χεῖρας περικοπῇ τῆς τοῦ Ἡσαΐου προφητείας, λέγων· «Ἐμφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν· εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· εἶπα, Ἰδοὺ ἐγώ εἰμι ἔθνει, οἳ οὐκ ἐπεκάλεσαν τὸ ὄνομά μου.[3]» Εἰ δὲ μὴ οὕτως ἐκλάβοι τις τὰ κατὰ τοὺς τόπους, ποῖον ἂν ὄρος ἢ ποῖον Θεοῦ οἶκον ἄλλως ἔχοι ἂν ἐπιδεῖξαι, περὶ ὧν ἡ προφητεία, ὡς μὴ τότε ὄντων σωματικῶς ἐμφανῶν, τὰ προεκτεθέντα σημαίνει. Δύναται δὲ ταῦτα καὶ ἄλλως εἰς τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν ἁρμόττεσθαι, ὡς τότε μᾶλλον ἢ νῦν πληρωθησομένων τελείως τῶν προπεφητευμένων. Ἰστέον δέ, ὡς τὰ αὐτὰ κατὰ λέξιν σχεδὸν ἐμφέρεται καὶ ἐν τῇ τοῦ Μιχαίου προφητείᾳ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τοῦ αὐτοῦ.

«Ἰδοὺ δή, ὁ δεσπότης Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος, γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστήν, καὶ δικαστήν, καὶ προφήτην, καὶ στοχαστήν, καὶ πρεσβύτερον, καὶ πεντηκόνταρχον, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν. Καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν[4]», καὶ τὰ ἑξῆς οἷς ἐπιλέγει Θεός· «Οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου, ὅτι ἀνεῖται Ἱερουσαλήμ, καὶ ἡ Ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς Κύριον ἀπειθοῦντες. Διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς Σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν· οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηράν, καθ' ἑαυτῶν εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι· τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται.[5]» Καὶ ἡ λεγομένη Σολομῶντος Σοφία τὰ παραπλήσια τοῖς ἐνθάδε περὶ τοῦ δικαίου λελεγμένοις οὕτως ἔχει· «Ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς λόγοις

---

1. Γαλ. 4, 26. 2. Ἡσ. 2, 3. 3. Ἡσ. 65, 1. 4. Ἡσ. 3, 1-4. 5. Ἡσ. 3, 7-10.

ἡμῶν.[1]» Ταῦτα δὲ ἐν ἐκείνοις σαφῶς ἐκ τῆς συμφράσεως ἐμφαίνεται περὶ τοῦ Χριστοῦ εἰρημένα· καὶ τὰ ἐνθάδε τοιγαροῦν περὶ τῶν ἐπιβουλευσάντων αὐτῷ καὶ καθ' ἑαυτῶν μᾶλλον ἤπερ κατ' αὐτοῦ πονηρὰν βουλὴν βουλευσαμένων προφητεύεται· δι' ὃ καὶ καταλλήλως τὸν ταλανισμὸν ἑαυτοῖς ὁ λόγος ἐπάγει διὰ τοῦ, «Οὐαὶ τῇ ψυχῇ αὐτῶν·» ἀλλὰ καὶ τὴν κόλασιν τὴν περιμένουσαν αὐτοὺς προτίθησι λέγων· «Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται·» ὁποῖα γὰρ ἔσπειραν κατὰ τοῦ Χριστοῦ, τοιαῦτα καὶ θεριοῦσιν ἐν τῷ τοῦ Θεοῦ κριτηρίῳ. Ἤδη δὲ καὶ κατὰ τὸν ἐνταῦθα βίον ὅρα εἰ μὴ μετὰ τὴν κατὰ τοῦ Χριστοῦ ἐπιβουλὴν ἐπληρώθη εἰς αὐτοὺς ὁ προκείμενος τῆς προφητείας λόγος, ὁ φάσκων. «Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν.» Ἀληθῶς γὰρ ἀφήρηται ἀπ' αὐτῶν ἡ πάλαι πρότερον ἐμπολιτευομένη ἐν αὐτοῖς θεία καὶ οὐράνιος χάρις, καὶ οὐκέτ' ἔστιν εὑρεῖν ἐν αὐτοῖς οὔτε προφήτην οὔτε στοχαστήν· ποῦ δὲ καὶ ὁ πολεμιστὴς αὐτῶν ἢ ὁ δικαστής, ὁ θαυμαστὸς σύμβουλος, ἢ ὁ συνετὸς ἀκροατής; Εἰ δὲ καὶ δοκοῦσιν ἄρτου τοῦ πνευματικοῦ μετέχειν ἐν τῷ τοῖς ἱεροῖς ἐντυγχάνειν τοῦ Θεοῦ λόγοις, ἀλλ' ὅρα εἰ μὴ ἡ δύναμις καὶ ἡ ἰσχὺς ἡ ἐν τοῖς θείοις Γράμμασιν ἐναποκειμένη ἐξ αὐτῶν ἀφήρηται· σαφῶς δ' ἐπὶ τούτοις καὶ ἡ Ἱερουσαλὴμ ἀνεῖται, καὶ τὰ λοιπὰ δὲ πάντα εἰς αὐτοὺς πεπλήρωται διὰ μίαν ἐκείνην τὴν κατὰ τοῦ Χριστοῦ ἁμαρτίαν· «Οὐαὶ γάρ», φησὶν ὁ λόγος, «τῇ ψυχῇ αὐτῶν·» καὶ τοῦ ταλανισμοῦ τὴν αἰτίαν προστίθησι λέγων· «Διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν.»

ΚΕΦΑΛΑΙΟΝ Γ'.

«Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος, καὶ στήσει τὸν λαὸν αὐτοῦ. Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ.[2]» Οὐκ ἔοικεν ἐπὶ τὸν τῶν ὅλων Θεὸν ἀναφέρεσθαι τό, «Νῦν καταστήσεται εἰς κρίσιν Κύριος·» καὶ μάλιστα τό, «Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ·» ἁρμόζοι δ' ἂν περὶ τοῦ Θεοῦ Λόγου, Κυρίου καὶ αὐτοῦ χρηματίζοντος, ταῦτα προφητεύεσθαι· καὶ γὰρ οὖν αὐτὸς ὁ κηρυχθεὶς πᾶσι τοῖς ὑπὸ τὸν οὐρανὸν Θεοῦ Λόγος εἰς κρίσιν μετὰ πάντων καταστήσεται, μηδ' ἑνὶ τῶν ἀσεβῶν χώραν διδοὺς ἀπολογίας, ἅτε εἰς τὰς ἁπάντων ἀκοὰς διαδραμούσης αὐτοῦ τῆς διδασκαλίας· ἥξει δ' εἰς κρίσιν Ἰησοῦς Χριστὸς μετὰ τῶν πρεσβυτέρων μάλιστα τοῦ λαοῦ καὶ μετὰ

1. Σοφ. Σολ. 2, 12. 2. Ἡσ. 5, 12-14.

τῶν ἀρχόντων αὐτοῦ, οἷα δὴ αὐτῶν ἐπισυναχθέντων κατ' αὐτοῦ, καὶ τὴν ἐπιβουλὴν αὐτῷ συσκευασαμένων· οἳ καὶ μακαρίζοντες τὸν ἀρχόμενον ὑπ' αὐτῶν λαόν, ἐπλάνων αὐτόν, λέγοντες τὸ πονηρὸν καλόν, καὶ τοὺς καλοὺς τοῦ Σωτῆρος ἡμῶν λόγους πονηροὺς ὑπάρχειν ἀποφαινόμενοι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

«Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἀχάζ, λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἀχάζ· Οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. Καὶ εἶπεν· Ἀκούσατε δή, οἶκος Δαυίδ· Μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· Ἰδού, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν· διότι, πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, ἐκλέξασθαι τὸ ἀγαθόν.[1]» Οἱ μὴ παραδεχόμενοι τῶν ἐκ περιτομῆς τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν λεγέτωσαν τίς ἡ παρθένος, ἡ κατὰ τὴν προφητείαν ἐν γαστρὶ ληψομένη καὶ τέξουσα τὸν ἐπονομαζόμενον Ἐμμανουὴλ υἱόν· ἀλλ' εἰ φάσκοιεν μὴ γεγράφθαι παρθένον, ἀλλὰ νεᾶνιν κατὰ τὸ Ἑβραϊκόν, λεκτέον, ὡς οὐχ οἱ τυχόντες ἐτύγχανον οἱ πρῶτοι τὴν Γραφὴν κατὰ θείαν ἑρμηνεύσαντες οἰκονομίαν, ἑβδομήκοντα μὲν ὄντες τὸ πλῆθος, ἀναλελεγμένοι ἀριστίνδην ἀπὸ παντὸς τοῦ λαοῦ, δοκιμήν τε οὐ σμικρὰν κατὰ τοὺς αὐτῶν χρόνους ἐπὶ σοφίᾳ δεδωκότες· τί δ' ἂν παράδοξον ὁ Λόγος ὑπισχνεῖτο σημεῖον ὑπ' αὐτοῦ τοῦ Κυρίου ὥσπερ τι θαυμαστὸν τῷ οἴκῳ Δαυὶδ δοθήσεσθαι προμαρτυράμενος, εἰ περὶ ψιλῆς νεάνιδος ὁ λόγος ἦν· οὐδὲν δὲ ἡμᾶς κωλύει, εἰ καὶ νεάνιδα[ν] κατ' αὐτοὺς περιέχει τὸ Ἑβραϊκόν, ὡς περὶ παρθένου δηλοῦσθαι νομίζειν τὰ εἰρημένα· καὶ γὰρ οὖν ἐν τῷ Λευϊτικῷ εὕροις ἂν τὴν ὁμολογουμένως παρθένον μεμνηστευμένην ἀνδρί, ὑφ' ἑτέρου δὲ βεβιασμένην, νεᾶνιν ὑπὸ τῆς Γραφῆς ὀνομαζομένην·[2] καὶ ταύτῃ γε ἀξιοπρεπὲς ἂν εἴη τῷ οἴκῳ Δαυὶδ διὰ τὴν ἀπιστίαν αὐτῶν παρὰ Κυρίου δίδοσθαι σημεῖον, τὸ παραδόξως παρθένον ἀποτεκεῖν, δι' ὃ δὴ καὶ τεχθησόμενος θαυμαστός τις ὢν ἀνηγόρευται· εἴ γε ἐκ παιδός, καὶ ὡς εἰπεῖν, ἐξ αὐτῆς γενέσεως, ἀπειθήσειν μὲν πονηρίᾳ, ἐκλέξασθαι δὲ τὸ ἀγαθὸν προφητεύεται. Καὶ τὸ ὄνομα δὲ αὐτοῦ θαυμαστῶς προαναπεφώνηται Ἐμμανουὴλ τυγχάνον· «ὅ ἐστι, *μεθ' ἡμῶν ὁ Θεός*.» Ὃ καὶ φήσαιμεν ἂν ἡμεῖς οἱ ὁμολογοῦντες αὐτόν, καὶ συναισθόμενοι τῆς ἐνθέου καὶ ἀπορρήτου εἰς πάντας ἀνθρώπους διὰ τῆς αὐτοῦ δυνάμεως ἐπιδημίας· λέγοιτο δ' ἂν πάλιν Ἐμμανουήλ, ὁ

1. Ἡσ. 7, 10-16. 2. Πρβλ. Δευτ. 22, 27.

μεθ' ἡμῶν Θεός, τῷ τὸν μὲν Πατέρα καὶ Θεὸν τῶν ὅλων ἐπέκεινα οὐ μόνον τῆς θνητῆς, ἀλλὰ καὶ πάσης τῆς λογικῆς φύσεως τυγχάνειν· τὸν δὲ Υἱόν, *τὸν μεθ' ἡμῶν Θεὸν* εἰκότως ὀνομάζεσθαι τῆς μέχρις ἡμῶν ἐπιδημίας αὐτοῦ ἕνεκεν. Ἐπεὶ δέ τινος τῶν ἐκ περιτομῆς εἰρηκότος ἀκούσας μέμνημαι ταῦτα τῷ Ἀχὰζ προφητεύεσθαι περὶ Ἐζεκίου τοῦ ἐξ αὐτοῦ γενομένου καὶ μετ' αὐτὸν βασιλεύσαντος, ἐπιτηρητέον, ὅτι πρὸ τοῦ βασιλεῦσαι τὸν Ἀχὰζ καὶ πρὸ τῆς εἰρημένης αὐτῷ ταύτης δὴ αὐτῆς τῆς προφητείας, Ἐζεκίας ἤδη πάλαι γεγενημένος ἀποδείκνυται· ἐπὶ δέκα γοῦν καὶ ἓξ ἔτεσι τὸν Ἀχὰζ βασιλεύσαντα διαδέχεται, ἄγων ἔτος τῆς ἡλικίας πέμπτον καὶ εἰκοστόν, ὁπηνίκα τῆς βασιλείας ἤρχετο, ὡς προλαμβάνειν αὐτοῦ τὴν γένεσιν ἔτεσιν ἐννέα τὴν τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν πάροδον· ἀλλὰ γὰρ ἤδη βασιλεύοντι τὰ προκείμενα τῷ Ἀχὰζ προφητεύεται περὶ τῆς δεδηλωμένης τοῦ Χριστοῦ παραδόξου καὶ θαυμασιωτάτης γενέσεως. Τὰ δὲ κατὰ τὴν λέξιν ἕκαστα ὁποῖον ἔχει νοῦν, τοῖς εἰς τοὺς τόπους τοῦ θαυμασίου ἀνδρὸς ἐξηγητικοῖς ἐντυχὼν ὁ φιλομαθὴς εἴσεται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

«Καὶ εἶπε Κύριος πρός με, Λάβε σεαυτῷ τόμον (χάρτου) καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφήτην (ῆτιν), καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν· καὶ εἶπε Κύριός μοι· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, ὀξέως προνόμευσον· διότι, πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἐναντίον βασιλέως Ἀσσυρίων.[1]» Ἐπὶ τῇ τοῦ μέλλοντος ἀποτελεῖσθαι παραδόξου ἀναγραφῇ τόμον καινοῦ μεγάλου ἀγράφου προστάσσεται λαβεῖν ὁ προφήτης· δι' οὗ δηλοῦσθαι νομίζω τὸ τῆς Καινῆς Διαθήκης Εὐαγγέλιον· ἀλλὰ καὶ μάρτυρας τῷ Κυρίῳ ποιήσασθαι πιστοὺς ἀνθρώπους, ὧν ὁ μὲν ἱερεὺς λέγεται εἶναι, ὁ δ' ἕτερος, οἶμαι, προφήτης ἦν· μέμνηται γοῦν αὐτοῦ καὶ ἡ τῶν Παραλειπομένων γραφή· οὓς καὶ αὐτοὺς ὑπολαμβάνω σύμβολον εἶναι τῶν μεμαρτυρηκότων τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίᾳ προφητῶν, καὶ τῶν εἰς τὸν αὐτοῦ τύπον πάλαι καθεστώτων ἱερέων. Μετὰ ταῦτα λέγεται· «Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν», καὶ τὰ ἑξῆς. Σφόδρα δὲ ἀπρεπὲς καὶ τῆς προφητικῆς σεμνότητός τε καὶ καθαρότητος ἀλλότριον τὸ προχείρως οὕτως οἴεσθαι τὸν προφήτην ἐν αὐτῷ τῷ θεοφορεῖσθαι ἐπὶ μαρτύρων τῶν προδεδηλωμένων κοινωνίας χάριν αἰσχρᾶς προσεληλυθέναι γυναικὶ προφήτιδι

1. Ἡσ. 8, 1-4.

καὶ αὐτῇ· ποία δὲν κἂν πιθανότης τολμάτω προσελθεῖν αὐτὸν συνειληφέναι καὶ τετοκέναι αὐτὴν υἱόν· ἀλλὰ γὰρ ἔχεσθαι καὶ ταύτην τὴν προφητείαν ἡγοῦμαι τοῦ νοῦ τῆς προεκτεθείσης, καθ' ἣν εἴρητο· «Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται·» ἐκεῖσε γὰρ μὲν ἐν γαστρὶ λήψεσθαι καὶ τέξεσθαι υἱὸν προὐλέγετο ἡ παρθένος· ἐνταῦθα δὲ καὶ ὁ τρόπος καθ' ὃν πέρας εἴληφεν ἡ προφητεία δηλοῦται· «Ἐν γαστρὶ γάρ, φησίν, ἔλαβε καὶ ἔτεκεν υἱόν.» Τίς ἂν οὖν εἴη ὁ φάσκων τό, «Προσῆλθον πρὸς τὴν προφῆτιν», ἢ τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλοῦν ἐν τῷ προφήτῃ, περὶ οὗ λέλεκται τῇ Μαρίᾳ· «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.[1]» Διὸ καὶ προφῆτις οὐκ ἀπεικότως καὶ αὐτὴ ἂν λεχθείη· ἀπὸ γοῦν τοῦ ἁγίου Πνεύματος συλλαβοῦσα τέτοκε τὸν ἐκεῖσε μὲν ἐπικεκλημένον Ἐμμανουήλ, ἐνταῦθα δὲ ἄλλως προσαγορευόμενον· «Κάλεσον γάρ, φησί, τὸ ὄνομα τοῦ ἀποτεχθέντος παιδίου, Ταχέως σκύλευσον, ὀξέως προνόμευσον·» καὶ γὰρ ὡς ἀληθῶς ἐσκύλευσεν οὗτος καὶ προενόμευσεν ἀπορρήτῳ καὶ θείᾳ δυνάμει τὰς ἀντικειμένας ἀοράτους καὶ πνευματικὰς δυνάμεις, ὥστε εἰπεῖν, «Ἐγὼ νενίκηκα τὸν κόσμον·[2]» ἀφ' ὧν σκῦλα καὶ προνομὴν εἰληφὼς τὰς πάλαι κατατυραννουμένας ὑπ' αὐτῶν ψυχάς, «κηρῦξαι αἰχμαλώτοις ἄφεσιν[3]», ὁμολογεῖ, λαβὼν παρὰ τοῦ Πατρὸς «ἔθνη τὴν κληρονομίαν αὐτοῦ·[4]» ἃ λέγοιτ' ἂν εὐκόλως σκῦλα· «καὶ τὴν κατάσχεσιν αὐτοῦ τὰ πέρατα τῆς γῆς[5]», ἃ καὶ αὐτὰ εἰκότως ἂν καλοῖτο προνομήν, Πρὸς τούτοις, «Πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται, φησί, δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων·» ἅπερ καὶ αὐτὰ κατὰ μόνην διάνοιαν, ἤτοι περὶ δυνάμεών τινων πονηρῶν, οἶμαι λέγεσθαι, ἃς ἅμα τῇ γενέσει καθεῖλεν ἡ θεία τοῦ Σωτῆρος ἡμῶν δύναμις, ἢ καὶ περὶ ψυχῶν τῶν εἰς αὐτὸν πεπιστευκότων διαφορᾶς· ὧν τὰς μὲν ἐξ εἰδωλολατρείας μεταβαλούσας ἐπὶ τὸν εὐαγγελικὸν βίον εἰκὸς εἶναι τὴν λεγομένην δύναμιν Δαμασκοῦ, τὰς δ' ἐκ περιτομῆς τὸν Χριστὸν τοῦ Θεοῦ παραδεξαμένας τὰ προσαγορευόμενα σκῦλα Σαμαρείας· ταύτας δὲ τὰς ψυχὰς σκῦλα καὶ προνομὴν παρὰ τῶν νοητῶν εἰληφὸς(ὡς) πολεμίων, ἐξ ἐναντίας τοῦ νοητοῦ βασιλέως Ἀσσυρίων, τουτέστι τοῦ διαβόλου, καθώπλισέ τε καὶ πολεμεῖν αὐτῷ παρεσκεύασε. Καὶ ταῦτα δὲ πάρεστιν ἐπ' ἀκριβὲς τῷ βουλομένῳ ἐκ τῶν εἰς τοὺς τόπους ὑπομνηματισθέντων τῷ ἱερῷ ἀνδρὶ διαγνῶναι· εἰ δ' εἰ (;) ἀπαιτοῖεν ταῦτα σωματικώτερον οἱ ἐκ περιτομῆς, ἀντεξεταστέον αὐτοὺς εἰ δύνανται σωματικῶς αὐτοὶ παραστῆσαι τίνα τρόπον ὁ Ἡσαΐας ἐπὶ τῶν προειρημένων μαρτύρων τῇ προφήτιδι μίξεως σωματικῆς ἕνεκεν προσελήλυθε· τίς δὲ καὶ ἡ τοιαύτη προφῆτις, καὶ πῶς παραχρῆμα ἐν γαστρὶ ἔλαβε, καὶ παραυτίκα τέτοκε, καὶ ποῖον τοῦτο τὸ τεχθὲν παιδίον, ὃ προστάσσει τῷ Ἡσαΐᾳ ὁ Κύριος ὀνόματι καλέσαι τῷ, «Ταχέως

1. Λουκ. 1, 35. 2. Ἰω. 16, 33. 3. Ἡσ. 61, 1. 4. Ψαλμ. 2, 8. 5. Ψαλμ. 2, 8.

σκύλευσον, ὀξέως προνόμευσον·» τίνα δὲ καὶ λόγον ἔχει τὸ τηλικόνδε ὄνομα, ἢ πῶς δυνατόν ἐστι κατὰ τὴν πρόχειρον διάνοιαν παιδίον ὁποῖον δὴ οὖν ἐπινοεῖν σωματικῶς ἀπολήψεσθαι τὴν ὀνομαζομένην δύναμιν Δαμασκοῦ καὶ τὰ λεγόμενα «σκῦλα Σαμαρείας ἐναντίων(ον) βασιλέως Ἀσσυρίων», καὶ ταῦτα πράττειν «πρὶν ἢ γνῶναι αὐτὸ καλεῖν πατέρα ἢ μητέρα·» καὶ πρὸς τούτοις εἰ ἀντιλέγοιεν τοῖς ἡμῖν προαποδεδομένοις, δεικνύτωσαν αὐτοὶ πῶς ὁ προσδοκώμενος ὑπ' αὐτῶν Χριστὸς παραγενόμενος λήψεται σωματικῶς τὴν κατὰ τὴν προφητείαν «δύναμιν Δαμασκοῦ», καὶ ποῖα «σκῦλα Σαμαρείας», ἢ ποίων «Ἀσσυρίων ἐναντίον», μηδενὸς ἔτι τούτων ἐνεργοῦντος κατὰ τοὺς ἐνεστῶτας χρόνους.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

«Ἰδού, ἐγὼ καὶ τὰ παιδία, ἅ μοι δέδωκεν ὁ Θεός· καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Θεοῦ Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών.[1]» Καὶ τό, «Ἰδού, ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός», ἐκ προσώπου τοῦ Σωτῆρος περί τε τῶν ἀποστόλων καὶ τῶν μετὰ ταῦτα εἰς αὐτὸν πεπιστευκότων καλῶς ἐν τῇ πρὸς Ἑβραίους ἐξείληπται· ἐπιφέρεται γοῦν ἐνταῦθα τό, «Καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν οἴκῳ Ἰσραήλ·» καὶ σαφὲς ὅπως κατὰ τὸν καιρὸν τῆς τοῦ Σωτῆρος παρουσίας σημεῖα καὶ τέρατα εἰ(ἐν) τῷ οἴκῳ Ἰσραήλ, οἷα οὐεδεπώποτε ἀπετελέσθη.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

«Καὶ θελήσουσιν, εἰ ἐγένοντο πυρίκαυστοι. Ὅτι παιδίον ἐγενήθη ἡμῖν, υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης βουλῆς Ἄγγελος· ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, καὶ ὑγεία αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαυῒδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν, καὶ ἀντιλαβέσθαι ἐν κρίματι καὶ ἐν δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.[2]» Οἶμαι δὴ τὸ λεγόμενον ἐνθάδε παιδίον οὐκ ἄλλο εἶναι τοῦ ἐκ τῆς παρθένου τεχθήσεσθαι ἀνωτέρω προπεφητευμένου, ὃ καὶ μικρῷ πρότερον ἡ προφῆτις ἀποτεκεῖν ἐλέγετο· ἀλλὰ τὸ μὲν ἀνωτέρω ὄνομα αὐτοῦ Ἐμμανουὴλ ἦν, τὸ δὲ μετὰ ταῦτα, «Ταχέως σκύλευσον, ὀξέως προνόμευσον.» Ἐνταῦθα δὲ ὁ αὐτὸς οὗτος κατὰ μὲν τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν, «Μεγάλης βουλῆς Ἄγγελος» χρηματίζει· κατὰ δὲ τὸν Ἀκύλαν καὶ αὐτὸ τὸ Ἑβραϊκὸν τὸ ὄνομα αὐτοῦ ἐστι «Θαυμαστὸς σύμβουλος, ἰσχυρός, δυνατὸς πατήρ, ἔτι ἄρχων εἰρήνης·» καὶ κατὰ τὸν Σύμμαχον δέ, «Κληθήσεται τὸ ὄνομα τοῦ παιδίου Παραδοξασμός,

1. Ἡσ. 8, 18. 2. Ἡσ. 9, 5-7.

βουλευτικός, ἰσχυρός, δυνατός, πατὴρ αἰῶνος, ἄρχων εἰρήνης.» Ἀπαιτητέον τοίνυν τοὺς ἐκ περιτομῆς ποῖον ἂν ἔχοι(εν) παιδίον ᾧ τὰ τηλικαῦτα ἐφαρμόσαιεν παριστάναι· καθ' ἡμᾶς γὰρ ἐπίνοιαί εἰσιν αὗται τῆς θείας τοῦ Χριστοῦ δυνάμεως, εἰς ὃν οἱ μὴ πιστεύσαντες θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι μᾶλλον ἢ ὅτι τὴν ἑαυτῶν ἀποβολὴν ἰδεῖν καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν, ἣν ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσειν εἴρηται· ᾧ παραθήσεις τὸ παρὰ Μωϋσεῖ οὕτω πως λελεγμένον· «Αὐτοὶ παρεζήλωσάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.[1]» Ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ, οὐδὲ μὴν τοῦ καθ' ἡμᾶς τυγχάνει σκοποῦ, ἑκάστην λέξιν διασαφῆσαι τῆς προφητείας παραστήσεται· (;) ὅπως εἴρηται τό, «ἐπὶ τὸν θρόνον Δαυὶδ καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτήν·» ᾧ καὶ εἰκὸς ἂν εἴη προσκόψαι τοὺς ἐκ περιτομῆς, διὰ τὸ μὴ σωματικῶς ἐπὶ τὸν θρόνον καὶ τὴν βασιλείαν τοῦ Δαυὶδ κεκαθικέναι τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· δι' ὅπερ ἀναπέμψαντες τοὺς φιλομαθεῖς ἐπὶ τὰ εἰς τοὺς τόπους ὑπομνήματα, ἡμεῖς τὸ προτεθὲν διαπερανούμεθα.

ΚΕΦΑΛΑΙΟΝ Η'.

«Ἰδοὺ δὴ ὁ δεσπότης Κύριος Σαβαὼθ συνταράξει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ ταπεινωθήσονται, καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ· ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.[2] Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας ἐμπλήσει αὐτόν· πνεῦμα φόβου Θεοῦ οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ· καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημένος τὰς πλευρὰς αὐτοῦ. Καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐγγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσωσιν, οὐδὲ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.[3]» Οὐδ' αὐτοὶ οἱ ἐκ περιτομῆς ἄλλον τινὰ τοῦ Χριστοῦ τὸν ἐνταῦθα προφητευόμενον ὑπειλήφασι, πλὴν ὅσον ἐπὶ

---

1. Δευτ. 32, 21. 2. Ἡσ. 10, 30-34. 3. Ἡσ. 11, 1-10.

ψιλῇ τῇ τῆς προφητείας ἐκδοχῇ σωματικώτερον ἔσεσθαι φανταζόμενοι τὰ κατὰ τὸν τόπον τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὐχ ὁμολογοῦσι πίστιν· ἡμεῖς δι' ὅλα τὰ κατὰ τὴν προφητείαν ἄξια εἶναι Θεοῦ πειθόμενοι, περὶ τροπῶν ἀνθρωπείων τῶν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν ἀπὸ τοῦ βάθους τῆς κακίας εἰς ἡμερότητα μεταβεβληκότων ταῦτα λέγεσθαι πεπιστεύκαμεν· ἔτι καὶ νῦν ὁρῶντες πῶς καὶ τίνα τρόπον ἐν ταῖς κατὰ τὴν οἰκουμένην [ἐν ταῖς] Ἐκκλησίαις μετὰ τὴν παρουσίαν τοῦ ἐκ τῆς ῥίζης Ἰεσσαὶ βεβλαστηκότος Ἰησοῦ Χριστοῦ, οἱ πολλοὶ τῶν ἀνθρώπων μετεπλάσθησαν, καὶ τὴν φύσιν αὐτὴν ἀπὸ τοῦ θηριώδους μετέβαλον βίου, λύκοι τινὲς ὄντες τὸ πρότερον, καὶ παρδάλεις τὸν τοιονδὶ τρόπον, λέοντές τε καὶ ὅσα ἄλλα θηρία τε καὶ ἑρπετὰ κατ' ἀναλογίαν τῆς ἐν ἑκάστῳ ποικίλης κακίας τε καὶ πονηρίας ἡ προφητεία καταλέγει· οἳ καὶ μεταθέμενοι καὶ ὡσπερεὶ μεταπλασθέντες, εἰς τοσοῦτον ἡμερότητος ἤλασαν, ὡς συμβόσκεσθαι αὐτοὺς τὴν αὐτὴν ἔσθοντας τῶν ἱερῶν τοῦ θεοῦ λόγων τροφὴν τοῖς ἡμερωτάτοις τὰ ἤθη δικαίοις ἀνδράσι τοῦ Θεοῦ, οὓς διὰ τὴν τοιανδὶ τῆς ψυχῆς ἀκακίαν τιθασσοῖς καὶ ἡμερωτάτοις ζῴοις, τοῖς τε ἀναγεγραμμένοις ἐνταῦθα παιδίοις ὁ θεῖος ἀπείκασε λόγος. Εἰ δὲ πρὸς ταῦτά τις δυσπειθῶς ἔχοι, λεγέτω εἰ οἷόν τε ἄλλως κατὰ τὴν πρόχειρον διάνοιαν σῴζειν τὴν λέξιν· διὰ τί γὰρ ἢ καὶ πῶς ὁ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται; Μὴ τροπολογείτω δὲ μήτε τὴν ῥάβδον, μηδὲ τὸ ἐκ ταύτης ἄνθος· ἀλλὰ δεικνύτω πῶς σωματικὴ ῥάβδος ἐξελεύσεσθαι ἐκ τῆς ῥίζης Ἰεσσαὶ λέγεται, καὶ ποταπὸν ἄνθος ἀναβήσεσθαι ἐξ αὐτῆς. Εἰ δὲ καὶ τὸν πάνυ σκληρὸν ταῦτα ἐπὶ διάνοιαν ἀνιέναι βιάζεται, ὅρα εἰ μὴ καλῶς ἡμῖν καὶ τὰ λοιπὰ ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν παρουσίᾳ κατὰ διάνοιαν παρίσταται πεπληρωμένα· ἃ καὶ ἀκολούθως τῇ προφητείᾳ γέγονε μετὰ τὸ συνταράξαι Κύριον Σαβαὼθ τοὺς πάλαι ἐνδόξους τοῦ προτέρου λαοῦ· οὓς καὶ ὑψωθέντας τῇ κατὰ τοῦ Σωτῆρος ἡμῶν ὕβρει συντριβήσεσθαι καὶ ταπεινωθήσεσθαι, καὶ πεσεῖσθαι προφητεύει· σὺν αὐτοῖς δὲ καὶ τὸν Λίβανον πεσεῖσθαι ὁ λόγος φησίν· οὕτω δὲ ἔθος αὐτῷ τὴν Ἱερουσαλὴμ καὶ τὴν πάλαι πρότερον ἐν αὐτῇ σωματικῶς ἀποτελουμένην λατρείαν ὀνομάζειν· ὡς δῆλόν ἐστιν ἀπὸ τοῦ Ἰεζεκιήλ, ἔνθα τοῦτον ἀναγέγραπται τὸν τρόπον· «Ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς κέδρου.[1]» Ἐπιλύων γοῦν τὴν παραβολὴν αὐτὸς ὁ προφητικὸς λόγος σαφῶς τὸν Λίβανον τὴν Ἱερουσαλὴμ διδάσκει, λέγων· «Υἱὲ ἀνθρώπου, εἰπὸν δὴ πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα· Οὐκ ἐπίστασθε τί ἦν ταῦτα; εἰπόν, Ὅταν ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλήμ, καὶ λήψεται τὸν βασιλέα αὐτῆς καὶ τοὺς ἄρχοντας αὐτῆς.[2]» Πρόδηλον οὖν ὅπως καὶ οὗτος ὁ Λίβανος μετὰ τῶν ὑψηλῶν τῇ ὕβρει περιπέπτωκεν ἐπὶ τῇ παρουσίᾳ τοῦ ἐκ ῥίζης Ἰεσσαὶ γενομένου

1. Ἰεζ. 17, 3. 2. Ἰεζ. 17, 12.

Σωτῆρος ἡμῶν· ἐφ' ὃν καὶ ἀνεπαύσατο ἡ τελειότης τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων, ὃς καὶ εἰσαῦθις ἐλεύσεται κατὰ τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ παρουσίαν, οὐ κατὰ τὴν δόξαν κρινοῦντος· «Πρόσωπον γὰρ ἀνθρώπου Θεὸς οὐ λαμβάνει·[1]» ἀλλ' οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγχων· «Ἐτάζων γάρ ἐστι καρδίας καὶ νεφρούς[2], καὶ διικνούμενος ἄχρι μερισμοῦ καὶ πνεύματος.[3]» Καὶ ἐπὶ τῇ γενομένῃ μὲν οὖν αὐτοῦ ἤδη πρότερον παρουσίᾳ ἐνεπλήσθη ὡς ἀληθῶς ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, μηδενὸς τὸ πρὶν ὅτι μὴ μόνων τῶν ἐκ περιτομῆς γινωσκόντων αὐτόν· τότε δὲ καὶ μᾶλλον εἰς πέρας ἀχθήσεται ἡ προφητεία, ὅτε τοῦ πληρώματος τῶν ἐθνῶν εἰσελθόντος σὺν τοῖς λοιποῖς ἔθνεσι καὶ ὁ πᾶς Ἰσραὴλ σωθήσεται, ὁ Χριστὸς δὲ ἐκ νεκρῶν ἀναστὰς ἄρχειν ἐθνῶν ὑπὸ τοῦ Θεοῦ κατεστάθη, κατὰ τό, «Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν.» Ὅρα γοῦν, ὡς οὐδ' ὅλως ἐνταῦθα Ἰσραήλ, ἢ Ἰακώβ, ἢ Ἰούδας ὀνομάζεται, σαφῶς δὲ τὰ ἔθνη ἐπὶ τὸν ἐκ ῥίζης ἀναστησόμενον Ἰεσσαὶ ἐλπιεῖν προφητεύεται, συνᾳδούσης τῆς ἐνταῦθα λέξεως τῇ παρὰ Μωϋσεῖ φασκούσῃ, «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία», οὐχὶ τοῦ Ἰσραήλ, ἀλλὰ « τῶν ἐθνῶν.[4]» Καὶ τίνος δὲ ἄλλου ἡ ἀνάπαυσις ἐν τῇ ἀνωτάτω παρὰ Θεῷ γεγένηται τιμῇ, ἢ τοῦ ἀκούσαντος λέγοντος αὐτῷ τοῦ Πατρός· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[5]»

ΚΕΦΑΛΑΙΟΝ Θ'.

«Καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται μετ' (;) αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ Δαυίδ, κρίνων καὶ ἐκζητῶν κρῖμα, καὶ σπεύδων δικαιοσύνην.[6]» Περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας καὶ ταῦτα προφητεύεται, ὁπηνίκα τοῦ Θεοῦ ὁ Λόγος, διορθωθείσης αὐτῷ μετ' ἐλέους καὶ φιλανθρωπίας τῆς κατὰ πάντων βασιλείας, σὺν ἀληθείᾳ κρίνων καθεσθήσεται ἐν σκηνῇ Δαυίδ· οὕτω δὲ τὴν τῶν ἁγίων καὶ πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς Ἐκκλησίαν, καὶ πάντας ἡγοῦμαι τοὺς ὑπὸ τὴν μερίδα τοῦ λόγου τοῦ Θεοῦ γεγενημένους, ἁγίους χρηματίζειν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

«Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.[7]» Περὶ τῆς ἀγενή-

---

1. Γαλ. 2, 6. 2. Ἀποκ. 2, 23. 3. Ἑβρ. 4, 12. 4. Γεν. 49, 10. 5. Ψαλμ. 109, 1. 6. Ἠσ. 16, 5. 7. Ἠσ. 19, 1.

του τοῦ τῶν ὅλων Θεοῦ φύσεως ἐκλαμβάνειν τὰ προκείμενα, ὡς δὴ μέλλοντος αὐτοῦ νεφέλῃ τινὶ ὀχεῖσθαι, καὶ τῇ σωματικῇ παρεπιδημεῖν Αἰγύπτῳ, οὔτε πιθανόν, οὐθ' ὅσιον ὑπάρχειν ἡγοῦμαι· δι' ὅπερ ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον ἐκδεκτέον τὴν προφητείαν, καὶ αὐτὴν ἐναργῶς ἤδη κατὰ τὴν προτέραν αὐτοῦ παρουσίαν πεπερασμένην, καθ' ἣν ἐπὶ νεφέλης κούφης, τῆς ἐκ Πνεύματος ἁγίου συστάσης αὐτῷ σαρκός, εἰς τὸν βίον τοῦτον, Αἴγυπτον τροπικῶς ὀνομαζόμενον, παρελήλυθε, καὶ εἰς αὐτὴν δὲ σωματικῶς τὴν Αἴγυπτον, εἰς ἣν ἔτι παῖς ὢν πρὸς τῆς μητρὸς καὶ τοῦ Ἰωσὴφ διεκομίσθη· τηνικαῦτα δὲ κατά τινας ἀπορρήτους λόγους ἐσείσθησαν καὶ ἐκινήθησαν ὑποταραχθέντες αὐτοῦ τῇ παρουσίᾳ οἱ ἐν τοῖς πανταχόσε χειροποιήτοις ξοάνοις ἐνοικοῦντές τε καὶ ἐνεργοῦντες τὸ πρότερον δαίμονες· ὅπερ δηλοῦται διὰ τῆς λεγούσης προφητείας, «Καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου.» Ταῦτα δὲ καὶ κατὰ τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἀπ' οὐρανῶν βασιλείαν πληρωθήσεται, καθ' ἣν καὶ αὐτὴν σεισθήσεσθαι εἰκὸς ἂν εἴη· καὶ τότε μᾶλλον κλονηθήσεσθαι τὰ ἀποδεδομένα χειροποίητα Αἰγύπτου, ὧν καὶ τὴν καρδίαν ἡττηθήσεσθαί φασιν, ἐν αὐτοῖς τοῦ θείου Λόγου καθυποτάξαντος ἑαυτῷ καὶ ταπεινώσαντος τότε πᾶν ὕψωμα τὸ νῦν ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· τὰ δ' ἑξῆς τῆς προφητείας ἅπαντα διὰ μόνης ἀποδοθήσεται τροπολογίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

«Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ· καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κύριος ἐν χώρᾳ Αἰγύπτου· ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας αὐτούς, καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, κρίνων σώσει αὐτούς· καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις· καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ποιήσουσι θυσίας καὶ δῶρον· καὶ εὔξονται εὐχὰς τῷ Θεῷ.[1]» Καὶ τίς ἂν ἄλλος εἴη ὁ ἀποσταλεὶς ὑπὸ Κυρίου ἄνθρωπος, καὶ σώσας τοὺς Αἰγυπτίους διὰ τοῦ κρίνειν, ἢ ὁ Χριστὸς τοῦ Θεοῦ, ὁ «μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.» Αἰγύπτου δὲ τροπικῶς νοουμένου τοῦ τῶν ἀνθρώπων βίου, εἶεν ἂν οἱ δεισιδαίμονες καὶ τοῖς ὑλικοῖς προπεπονθότες Αἰγύπτιοι, οὓς ὁ τῶν ὅλων Θεὸς κατελεήσας θλιβομένους ὑπὸ τῶν κατατυραννούντων αὐτοὺς δαιμόνων, ἀποστείλας τὸν προειρημένον ἄνθρωπον, ὃς ἔσωσε σωτηρίαν Θεῷ πρέπουσαν, ὥστε τοὺς πάλαι κατὰ τὸν νόμον εἰργομένους τῆς Ἐκκλησίας Κυρίου διὰ τῆς γενομένης αὐτοῖς ἐπιφανείας ἐπιγνῶναι τὸν Κύριον, αὐτοῦ τοῦ Κυρίου γνωστὸν αὐτὸν αὐτοῖς ἐμποιοῦντος· σαφὲς δ' ὅπως ἐν τῇ δηλωθείσῃ τῇ τῶν Αἰγυπτίων χώρᾳ συνέστη

1. Ἡσ, 19, 19-21.

τῷ Κυρίῳ θυσιαστήριον ἀπὸ τῶν ἐν παντὶ τόπῳ εἰς εὐχὰς καὶ Θεοῦ θρησκείαν ἐπιτελουμένων ἀθροισμάτων. Εἴποι δ' ἄν τις ἐπιβαίνων τῇ λέξει εἰς τό, «Καὶ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ τῶν Αἰγυπτίων», εἰ δὴ τὸ θυσιαστήριον τόπος τίς ἐστι θυμάτων, ἐπὶ λόγῳ Θεοῦ ζῴων ἀλόγων σφαγιαζομένων, δικαιότατα ἂν μεῖζον καὶ ἀληθέστερον διὰ Χριστοῦ γεγονέναι τῷ Θεῷ θυσιαστήριον ἐν ὅλῳ τε τῷ περιγείῳ τόπῳ, Αἰγύπτῳ τροπικῶς χρηματίζοντι, διὰ τοὺς πανταχόσε μάρτυρας θύματα καὶ οἱονεὶ σφάγια τοῦ γένους τῶν ἀνθρώπων ἀναφερομένων τῷ Θεῷ καὶ ἐν αὐτῇ δὲ τῇ σωματικῇ τῶν Αἰγυπτίων χώρᾳ, ἔνθα τοσοῦτοι καὶ τηλικοῦτοι μάρτυρες ἐδόξασαν τὸν Θεὸν τῷ ἰδίῳ αὐτῶν αἵματι· ἀλλ' εἰ δυσπειθῶς ἔχοιεν πρὸς τὰ ἀποδεδομένα οἱ ἐκ περιτομῆς, λεγέτωσαν αὐτοὶ πότε καὶ ποῦ, καὶ πρὸς τίνος θυσιαστήριον κατέστη τῷ Κυρίῳ ἐν Αἰγύπτῳ, τίς δὲ ὁ ἄνθρωπος ὁ σώσας τοὺς Αἰγυπτίους, τίνα τε τρόπον καὶ πότε γνωστὸς ἐγένετο Κύριος τοῖς Αἰγυπτίοις, ὥστε αὐτοὺς ἀποστάντας τῆς προτέρας πλάνης, τὴν περὶ αὐτοῦ γνῶσιν ἀναλαβεῖν· τοιοῦτον γάρ ἐστι τὸ ἐπιγνῶναι Κύριον. Καὶ ὅλα δὲ τὰ ἑξῆς τῆς προφητείας βαθυτέρας ἤρτηται διανοίας, ἣν οὐχ ὁ παρὼν ἀναπτύσσειν καιρός.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

«Κύριε, ἐν θλίψει ἐμνήσθην σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν· καὶ ὡς ἡ ὠδινοῦσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ Ἀγαπητῷ σου.[1]» Ἐπιγραφή τις ἐν Ψαλμοῖς «Ὑπὲρ τοῦ Ἀγαπητοῦ[2]» φέρεται· καὶ πάλιν, εἴρηται· «Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ Ἀγαπητοῦ·[3]» δείκνυται δ' ἐν τοῖς τόποις οὐκ ἄλλος ὢν τοῦ Χριστοῦ λεγόμενος Ἀγαπητὸς τοῦ Θεοῦ. Τούτου χάριν ἐπεσημηνάμεθα καὶ τὸν ἐν χερσὶν ἀγαπητόν· αὐτὸν ἐκεῖνον ὑπολαμβάνοντες εἶναι, ὃν καὶ ἐξ οὐρανοῦ φωνὴ σαφῶς ἀνεκήρυξε φήσασα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.[4]»

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

«Ἀκούσατε Κυρίου, ἄνδρες τεθλιμμένοι, καὶ ἄρχοντες τοῦ λαοῦ τούτου, οἱ ἐν Ἱερουσαλήμ· Ὅτι εἴπατε· Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας· καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα· διὰ τοῦτο οὕτως λέγει Κύριος Κύριος· Ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ· καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημο-

1. Ἠσ. 26, 16. 2. Ψαλμ. 44, 1. 3. Ψαλμ. 67, 13. 4. Ματθ. 3, 17.

σύνη μου εἰς σταθμούς.[1]» Καὶ πῶς οὐκ ἀληθῶς ἠλίθιος καὶ κομιδῇ καταγέλαστος ἡ τῶν σωματικῶς καραδοκούντων λίθον τινὰ τούτων δὴ τῶν πολυτελῶν καὶ πολυτίμων εἶναι νομιζομένων εἰς τὰ θεμέλια τῆς σωματικῆς Σιὼν ἐμβληθήσεσθαι πρὸς αὐτοῦ τοῦ Κυρίου ὑπόληψις, ἐφ' ὃν λίθον ὁ πιστεύσας οὐδαμῶς καταισχυνθήσεσθαι προφητεύεται; Τὰς μωρὰς τοιγαροῦν καὶ Ἰουδαϊκὰς διηγήσεις, τούς τε *γραώδεις* οὓς ὠνόμασεν ὁ Ἀπόστολος *μύθους*[2] ἀποσεισάμενοι, Θεοῦ ἀξίως τὰς θεοπνεύστους παραδεχώμεθα προφητείας· φησὶν οὖν· «Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον.» Διὰ ποῖον δὲ τοῦτο, ἢ διὰ τὸ τοὺς ἄρχοντας τοῦ προτέρου λαοῦ πεποιηκέναι συνθήκας μετὰ τοῦ θανάτου, καὶ διὰ τὸ καταλεῖψαι μὲν αὐτοὺς τὴν τοῦ Θεοῦ διαθήκην, ἀντὶ δὲ ταύτης διαθήκην πρὸς τὸν ᾅδην πεποιηκέναι, ὑπολαμβάνειν δὲ διὰ ταῦτα μηδὲν κακὸν ἑαυτοὺς πείσεσθαι· ἀλλὰ καὶ διὰ τοῦτο τεθεικέναι μὲν ἐπὶ ψεῦδος τὴν ἐλπίδα αὐτῶν καὶ οἴεσθαι τῷ ψεύδει σκεπασθήσεσθαι· διὰ γάρ τοι ταῦτα, ὡς ἂν ἀποπεπτωκότων ἐκείνων ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος, τὸν πολυτίμητον λίθον τοῖς πιστεύουσιν ἐπαγγέλλεται θήσειν. Πρὸς ἐκείνους δὲ τοὺς εἰρηκότας, «Ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας· καταιγὶς φερομένη, ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα», ὑποκαταβὰς ὁ λόγος φησίν· «Οἱ πεποιθότες μάτην ψεύδει, οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς, μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ· καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα·[3]» ἃ καὶ πρόδηλον ὅπως ἐπὶ τῇ παρουσίᾳ τοῦ Σωτῆρος ἡμῶν εἰς ἐκεῖνον πεπλήρωται τὸν λαόν. Ἀκολούθως ἄρα ἡμεῖς οὐκ ἄλλον ἡγούμεθα εἶναι τὸν δηλούμενον ἐνταῦθα λίθον ἐκλεκτὸν θαυμαστόν τινα ὄντα καὶ παράδοξον, ὡς τοὺς πιστεύσαντας εἰς αὐτὸν μὴ καταισχυνθήσεσθαι τοῦ ἱεροῦ τοῦ Θεοῦ Λόγου, ἐφ' ὃν ὡς ἐπὶ θεμέλιον ἑδραῖον ἡ πνευματικὴ καὶ ἐπουράνιος Σιὼν ᾠκοδόμηται, οὐκ ἄλλη τις οὖσα τῆς τοῦ Θεοῦ Ἐκκλησίας· «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός·[4]» περὶ τούτου δὲ καὶ ἐν Ψαλμοῖς εἴρηται· «Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας[5]», καὶ «ἀκρογωνιαῖος» ὠνόμασται· τοῦτον δὲ καὶ Δανιὴλ τὸν λίθον ἑρμηνεύει ἐπὶ τὴν τοῦ Χριστοῦ βασιλείαν, ἔνθα λέγει· «Καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα, ἐγένετο ὄρος μέγα, καὶ ἐπάταξεν, ἢ καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.[6]» Οἱ μὲν οὖν οἰκοδομοῦντες τὴν κατὰ τὸ γράμμα τοῦ νόμου οἰκοδομήν, τοῦτον ἀπεδοκίμασαν τὸν λίθον· αὐτὸς δὲ οὐδὲν ἧττον ὑπ' ἐκείνων ἀποδοκιμασθείς, κεφαλὴ γωνίας τῆς τῶν ἐξ ἐθνῶν Ἐκκλησίας ἀναδέδεικται κατὰ τὸ εἰρημένον που, «Καταστήσεις με

1. Ἡσ. 28, 14-17. 2. Α' Τιμ. 4, 7. 3. Ἡσ. 28, 17-18. 4. Α' Κορ. 3, 11. 5. Ψαλμ. 117, 22. 6. Δαν. 2, 35.

εἰς κεφαλὴν ἐθνῶν.[1]» Ἐπὶ τοῦτον τοιγαροῦν τὸν λίθον ὁ πιστεύων οὐ καταισχυνθήσεται, ἐπαληθευούσης καὶ ταύτης τῆς περὶ αὐτοῦ προφητείας.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

«Ἰδοὺ τὸ ὄνομα Κυρίου ἔρχεται διὰ πολλοῦ χρόνου, καιόμενος θυμός, μετὰ δόξης τὸ λόγιον τῶν χειλέων αὐτοῦ, τὸ λόγιον ὀργῆς πλῆρες, καὶ ὀργὴ τοῦ θυμοῦ ὡς πῦρ ἔδεται.[2]» Καὶ τί ἂν εἴη τὸ λεγόμενον ὄνομα Κυρίου ἢ ὁ Θεὸς Λόγος, δι' οὗ τὰ σύμπαντα γεγένηται; Τὰ περὶ τῆς δευτέρας τοίνυν καὶ ἐνδόξου αὐτοῦ παρουσίας νομίζω καὶ ταύτην αἰνίττεσθαι τὴν προφητείαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Τάδε λέγει Κύριος· «Μακάριος, ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ·[3] ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν.[4]» Ὁ Χριστὸς τοῦ Θεοῦ ὁ εἰπών, «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ», καὶ διὰ τούτων δηλοῦται· εἶεν δ' ἂν οἱ ὑπ' αὐτὸν ἄρχοντες, ἤτοι ἀπόστολοι, καὶ οἱ μετὰ Θεοῦ κρίσεως τῶν Ἐκκλησιῶν ἄρχοντες ἢ ἄγγελοι θεῖοι,τῆς τῶν ἀνθρώπων ἔφοροι σωτηρίας· διὰ τοῦτον δὲ τὸν βασιλεύοντα τῆς Σιὼν καὶ τῆς Ἱερουσαλήμ, «Μακάριος, ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλήμ·» ἃ καὶ ἀξίως τοῦ ἀποστολικοῦ πνεύματος ἐκλη[μ]πτέον, διδάσκοντος ἡμᾶς τὰ περὶ τῆς ἄνω Ἱερουσαλήμ, καὶ τοῦ Σιὼν ἐπουρανίου ὄρους.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

«Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω, ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται ἔρημα τοῦ Ἰορδάνου· καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· παρακαλέσατε, ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε, μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς· τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τότε ἁλεῖται ὡς ἔλαφος χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων, ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ· καὶ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὑδάτων ἔσται.[5]»

---

1. Ψαλμ. 17, 44. 2. Ἡσ. 30, 27. 3. Ἡσ. 31, 9. 4. Ἡσ. 32, 1. 5. Ἡσ. 35, 1-7.

Ἐπὶ τῇ τοῦ Θεοῦ παρουσίᾳ τὰς παραδόξους ἰάσεις ἔσεσθαι προαγορεύει. Σαφῶς οὖν καὶ ἐνθάδε τῇ τοῦ Θεοῦ προσηγορίᾳ ὁ Χριστὸς τοῦ Θεοῦ τετίμηται· οὗ ἐπὶ τῇ παρουσίᾳ καὶ σωματικῶς μὲν αἱ προειρημέναι θεραπεῖαι ἐπὶ τῶν πασχόντων ἀπετελέσθησαν, θαυμασιώτερον δ' ἔτι καὶ νῦν ἐνεργοῦνται διὰ τῆς εἰς αὐτὸν πίστεως, παντὸς ἁπαξαπλῶς τοῦ τῶν ἀνθρώπων γένους τῶν κατὰ ψυχὴν παθῶν ἀπαλλαττομένου. Ἐρράγη δὲ ἐν τῇ ἐρήμῳ ὕδωρ ἐπὶ τῇ Χριστοῦ παρουσίᾳ καὶ φάραγξ ἐν γῇ διψώσῃ, τοῦ ποτίμου καὶ ζωτικοῦ λόγου ἀναβλύσαντος ἐν τῇ πάλαι ἐρήμῳ καὶ διψώσῃ γῇ, τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ, ἐν ᾗ πρότερον οὔσῃ ἀνύδρῳ καὶ διψαλέᾳ ἀθρόως πηγὴ τοῦ τῶν Ἰησοῦ λόγων «ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον [1]» ἀνώμβρησεν· ὑφ' ἧς πηγῆς ποτιζομένη ἀνθήσειν ὡς κρίνον λέγεται ἡ ποτὲ ἔρημος, εὐφραίνεσθαί τε καὶ ἀγαλλιᾶν προστάττεται· καὶ ἡ αἰτία δὲ τῆς εὐφροσύνης καὶ τῆς ἀγαλλιάσεως ἐπιλέγεται, ἐπείπερ, φησὶν «ἐδόθη αὐτῇ ἡ δόξα τοῦ Λιβάνου», τουτέστι τῆς Ἱερουσαλήμ· περὶ ἧς ἐν ταῖς ἀνωτέραις προφητείαις ἐλέγετο, ὡς ὅτι, «Καὶ ὁ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.» Οὗ πεσόντος ἡ πρότερον ὑπάρχουσα ἐν αὐτῷ δόξα τῇ νῦν εὐαγγελιζομένῃ ἐρήμῳ, τουτέστι τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ, ἐδόθη σὺν τῇ τιμῇ τῇ προτέρᾳ τοῦ λεγομένου Καρμήλου, δῆλον δ' ὅτι τοῦ προτέρου λαοῦ. Ταῦτα δὲ σαφῶς μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ἔργοις τέλος εἴληφεν ἀκολούθως τῇ τε μετὰ χεῖρας προφητείᾳ, καὶ τῇ φασκούσῃ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν φωνῇ, ὡς ἄρα «Ἀρθήσεται ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.[2]»

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

«Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς πεδία· καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ Σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησεν.[3]» Ὁ τοῦ Σωτῆρος ἡμῶν πρόδρομος Ἰωάννης τοῖς ἐπερωτῶσιν αὐτὸν ὅστις εἴη, φησίν· «Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ», καὶ τὰ ἑξῆς. Τούτου δὴ οὖν χάριν ἐξεθέμεθα τὸ κεφάλαιον ἐν τοῖς περὶ Χριστοῦ μαρτυρίοις, σύμβολον εἶναι νομίζοντες Ἰωάννην τοῦ ἀποστολικοῦ κηρύγματος· τοιαύτη γάρ τοί ἐστιν ἡ ἐν τῇ ἐρήμῳ βοῶσα φωνή, ἄσημός τις οὖσα, καὶ ἀδιάρθρωτος τοῖς ἄρτι στοιχειουμένοις· ἐν τῇ πάλαι δὲ ἐρήμῳ, τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ, ἡ τοιαύτη γενομένη φωνὴ ἑτοιμάζειν παρακελεύεται τὴν ὁδὸν Κυρίου, καὶ τὰ ἑξῆς· ἅπερ ἐπὶ σχολῆς ᾧ μέλει τῆς τούτων γνώσεως ἐρευνήσας εἴσεται.

1. Ἰω 4, 14. 2. Ματθ. 21, 43. 3. Ἡσ. 40, 3-5.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

«Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών, ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε,μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ ὁ Θεὸς ὑμῶν, Κύριος Κύριος μετὰ ἰσχύος ἔρχεται· καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ· καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ· ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει.[1]» Καὶ ταῦτα νομίζομεν περὶ τῆς τοῦ Λόγου τοῦ Θεοῦ παρουσίας λέγεσθαι, καὶ τάχα γε μᾶλλον περὶ τῆς δευτέρας, καθ' ἣν οἷα δὴ δίκαιος κριτὴς ἥξειν προφητεύεται, τὸν μισθὸν ἔχων τῶν κατ' ἀξίαν ἑκάστῳ πεπραγμένων ἀπονεμητικόν· τὰ μέντοιγε λοιπὸν οὐκ ἔτι νῦν καιρὸς ἀπαιτεῖ διηγεῖσθαι· ὅθεν ἐφ' ἑτέραν τραπησόμεθα περικοπήν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

«Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῆς δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ πορεύσεται; Δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει· καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡσεὶ φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν· καὶ διώξεται αὐτούς· διελεύσεται ἐν εἰρήνη ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ· οὐχ ἥξει· τίς ἐνήργησε καὶ ἐποίησε ταῦτα; Ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς. Ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. Εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν· τὰ ἄκρα τῆς γῆς ἐξεπλάγησαν· ἤγγισαν, ἦλθον ἅμα κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι· καὶ ἐρεῖ, Ἴσχυσεν ἀνὴρ τέκτων· καὶ ἀνὴρ χαλκεὺς τύπτων σφύραν, ἅμα ἐλαύνων· ποτὲ μὲν ἐρεῖ· Σύμβλημα καλόν ἐστιν, ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτά, καὶ οὐ κινηθήσεται.[2]» Δικαιοσύνη ἀπὸ ἀνατολῶν ἐξεγειρομένη τίς ἂν εἴη κατὰ περιγραφὴν οὐσίας, ἰδίαν ὑπόστασιν ἔχουσα, ἢ ὁ Χριστὸς τοῦ Θεοῦ, περὶ οὗ φησιν ὁ Ἀπόστολος· «Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις; [3]» Τοῦτον δὲ ἐκ τῶν πατρικῶν κόλπων, παντὸς νοητοῦ φωτὸς ἀνατολῶν ὑπαρχόντων, ἡ κατὰ τὴν ἐνανθρώπησιν ἐξήγειρεν οἰκονομία, ἣ καὶ αὐτὸς ὁ Πατήρ, ὁ δοὺς αὐτὸν ἐναντίον τῶν ἐθνῶν· ἵν' οἱ μὲν πρότεροι βασιλεῖς αὐτῶν ἀόρατοι, δυνάμεις οὖσαι πονηραί, ἐξιστῶσιν ἀπὸ τοῦ παραδόξου τῆς οἰκονομίας, ὁρῶσαι τὸν τηλικοῦτον Υἱὸν τοῦ Θεοῦ μὴ ἔχοντα εἶδος μηδὲ κάλλος· καὶ ἵνα μετὰ τοιάνδε ἔκστασιν δοθῶσιν εἰς γῆν αἱ ῥομφαῖαι αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν, πρὸς τὸ μὴ κατέχειν αὐτοὺς ὅπλα πολεμικὰ καὶ πεπυρωμένα βέλη, δι' ὧν πρότερον κατεπολέμουν τὰς ὑποχειρίους

---

1. Ἡσ. 40, 9-11. 2. Ἡσ. 41, 2-7. 3. Α' Κορ. 1, 30.

αὐτοῖς ψυχάς. Μετὰ ταῦτά φησι, «Καὶ διώξεται αὐτούς·» ἵν' οὕτως, κατὰ τὸ πάντων τέλος ἐκδιωχθέντων αὐτῶν, διέλθῃ ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. «Τίς δὲ ἐνήργησε, φησί, καὶ ἐποίησε ταῦτα;» Προσυπακούομεν δέ, ὅτι ἡ χρηστότης καὶ φιλανθρωπία τοῦ τῶν ὅλων Θεοῦ τοῦ καλοῦντος αὐτήν, δῆλον δ' ὅτι τὴν δικαιοσύνην, οὐκ ἄλλην οὖσαν τῆς σοφίας αὐτοῦ, ἣν καὶ θεασάμενα ἐφοβήθη τὸν Θεὸν τὰ ἐν ἀφοβίᾳ Θεοῦ πρότερον τυγχάνοντα ἔθνη· ἃ καὶ ἐξ ἄκρων καὶ ἀπὸ περάτων τῆς οἰκουμένης κληθέντα ἤγγισε τῷ Θεῷ· οἱ ποτὲ ὄντες μακρὰν ἐγγὺς γενόμενοι τῆς βασιλείας τῶν οὐρανῶν· διὸ καὶ ἐξεπλάγησαν ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας, διδάσκοντές τε ἀλλήλους, καὶ ἀδελφὸς ἀδελφῷ βοηθῶν, τὴν προτέραν ἐξομολογοῦνται περὶ τὰ εἴδωλα πλάνην, αὐτὰ δὴ ταῦτα λέγοντες· Τέκτων ἄρα ἦν καὶ χαλκεύς, ὁ διὰ σφύρας καὶ ἥλων καὶ μηχανῆς ἀνθρωπίνης ἀνεγείρας καὶ ἐνισχύσας τοὺς πρότερον νομιζομένους ἡμῖν θεούς· οἱ δὲ οὐδὲν ἄρα ἦσαν ἢ ἄψυχα ξόανα, οὐδεμίαν ἐξ ἑαυτῶν κίνησιν ἐπιδεχόμενα, καὶ ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἦν ἐν αὐτοῖς ὠφέλημα. Ὅτι δὲ ταῦθ' οὕτως ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν ἀπετελέσθη παρουσίᾳ μᾶλλον τῶν λόγων ἢ δι' ἔργων παρίστησι μαρτυρία.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

«Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου· ἔδωκα τὸ Πνεῦμά μου ἐπ'αὐτόν· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει· οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ· κάλαμον τεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει· ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν· ἀναλάμψει καὶ οὐ θραυσθήσεται ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε· καὶ ἔδωκά σε εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.[1]» Ὅτι μὴ περὶ τοῦ τῶν Ἰουδαίων λαοῦ προφητεύεται τὰ ἀπὸ τοῦ· «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου», σαφὲς ἔσται τοῖς ἐθέλουσιν ἑκάστην λέξιν τῶν προκειμένων ἐξετάζειν, ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τὸ Ἑβραϊκὸν ἀκριβείας τοῦτο δῆλόν ἐστιν· οὔτ' οὖν τὸ Ἰακὼβ ὄνομα, οὔτε τὸ Ἰσραὴλ ἐν αὐτῷ ἐμφέρεται· ὅθεν καὶ ὠβέλισται παρὰ

1. Ἡσ. 42, 1-7.

τοῖς ἀκριβέσιν ἀντιγράφοις τῶν Ἑβδομήκοντα, καθότι γε οὐκ ἄλλος τῶν δικαίων πλὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐδὲ μὴν αὐτὸς ὁ τοῦ Ἰσαὰκ ἢ Ἰακὼβ καὶ Ἰσραὴλ προσαγορευθεὶς τοιοῦτός τις ἦν, ὡς ἐφαρμόζειν αὐτῷ δύνασθαι τὰ προκείμενα, οὐδένα οἶμαι ἀμφιβάλλειν· ἵνα γὰρ καὶ ἑτέροις ἁρμόσοι τις τό· «Ἔδωκα τὸ Πνεῦμά μου ἐπ' αὐτόν», τί δ' ἂν εἴποι εἰς τὸ «Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει», καὶ εἰς τὰ ἑξῆς, καὶ μάλιστα τό· «Καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν;» Πῶς δὲ κἂν πιθανὸν εἴη ἤτοι τῶν Ἰουδαίων λαῷ, ἢ καὶ αὐτῷ τῷ τοῦ Ἰσαὰκ Ἰακώβ, ἢ καὶ ἑτέρῳ τινὶ τῶν δικαίων ἐφαρμόζειν τό· «Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει;» Ἀλλὰ ταῦτα ἡμῖν ὡς πρὸς τοὺς ἐκ περιτομῆς ἐπηπορήσθω· σαφῶς γε μὴν ἡμᾶς τὸ Εὐαγγέλιον ἐπὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ διδάσκει καὶ ταύτην πεπληρῶσθαι τὴν προφητείαν, ὅτε «ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον κατ' αὐτοῦ ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν· καὶ ἠκολούθησαν αὐτῷ πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν·[1]» τούτοις γὰρ ἐπιφέρεται ἐν τῷ Εὐαγγελίῳ· «Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου, λέγοντος· Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα· ὁ ἀγαπητός μου, ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν», καὶ τὰ ἑξῆς, ὅσα δὴ ἐν τῇ προφητείᾳ κατείλεκται. Αὐτὸς δ' ἂν οὖν εἴη ἂν ὁ καὶ Ἰακὼβ χρηματίσας, Παῖς ὢν μονογενὴς τοῦ Θεοῦ· ὡς ἑτέρωθι λέλεκται· «Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπιστρέψαι.[2]» Οὗτος δὴ τοίνυν παρὰ τοῦ Πατρὸς ἀκούσας μετὰ τῶν ἄλλων καὶ τό· «Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, κρίσιν ἐξήγαγε τοῖς ἔθνεσιν», ὥστε κεκριμένῳ λογισμῷ κατὰ τὸ ἱερὸν Εὐαγγέλιον αὐτὰ πολιτεύεσθαι· σαφὲς δ' ὅπως ἐπὶ τῷ ὀνόματι αὐτοῦ τὰ πιστεύσαντα εἰς αὐτὸν ἔθνη ἤλπικε, καὶ ὅπως αὐτῷ εἰς φῶς ἐθνῶν ἀναδέδεικται, ὥστε διὰ τοῦ φωτὸς τοῦ λόγου αὐτοῦ διανυγῆναι (οιγῆναι) τοὺς τῆς διανοίας ὀφθαλμοὺς τῶν πάλαι τούτοις πεπηρωμένων· ἀλλὰ καὶ ἐξήγαγεν ἐκ δεσμῶν τοὺς πρότερον σειραῖς τῶν ἰδίων ἁμαρτιῶν κατεσφιγμένους ἐξ οἴκου τε τῆς τοῦ διαβόλου φυλακῆς τοὺς διὰ τὴν περὶ τὸν τῶν ὅλων Θεὸν ἄγνοιαν ἐν σκότει καθημένους. Πρόκειται δὲ τῷ φιλομαθεῖ ἑκάστην ἐξετάζειν τῆς προφητείας λέξιν, καὶ ἀναλόγως τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐπὶ τὸν Χριστὸν τοῦ Θεοῦ τὰ ὑποπίπτοντα μεταφέρειν.

---

1. Ματθ. 12, 14-16. 2. Ἡσ. 49, 6.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

«Γένεσθέ μοι μάρτυρες, κἀγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην.[1]» Καὶ τίς ἂν εἴη ὁ παῖς ὃν ἐξελέξατο Κύριος ὁ Θεός, ὃν καὶ ἑαυτῷ συγκαταλέγει μάρτυρα γενησόμενον τῶν αὐτῷ μαρτυρούντων, ἢ οὗτος περὶ οὗ καὶ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ ἐλέγετο· «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ», καὶ τὰ ἑξῆς, ἅτινα σαφῶς ἐπὶ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν ἀπεδείκνυτο προπεφητευμένα.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

«Ἐγὼ ἐποίησα γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς· ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν· ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ δώρων, οὐδὲ μετὰ λύτρων, εἶπεν Κύριος Σαβαώθ, Οὕτως λέγει Κύριος Σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σέ, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ· αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, καὶ πορεύσονται ἐν αἰσχύνῃ.[2]» Χριστὸν ὁ Πατὴρ ἤγειρεν ἐκ νεκρῶν τοῦ εἶναι αὐτὸν μετὰ δικαιοσύνης βασιλέα, ἐπὶ Σιὼν τὸ ἐπουράνιον ὄρος τὸ ἅγιον αὐτοῦ βασιλεύοντα· καὶ ἐπὶ τοῦτό γε αὐτὸν ἤγειρεν, ἐπειδὴ «πᾶσαι αἱ ὁδοὶ αὐτοῦ», φησίν, «γεγόνασιν εὐθεῖαι, μηδὲν ἔχουσαι σκολιὸν μηδὲ στραγγαλιῶδες.[3]» — «Ἁμαρτίαν γάρ τοι οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[4]» Οὗτος δὲ καὶ τὴν πόλιν ᾠκοδόμησεν τοῦ Θεοῦ, τήν τε ἐπὶ γῆς ἁγίαν Ἐκκλησίαν αὐτοῦ καὶ τὴν ἐπουράνιον Ἱερουσαλήμ· ἐπιστρέψας τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, τὴν γενομένην ποτὲ ὑπὸ τὸν νοητὸν Ναβουχοδονόσορ, καὶ τὰς ὑπ' αὐτὸν δυνάμεις πονηράς· καὶ δὴ τὴν προειρημένην αἰχμαλωσίαν ὑπέστρεψεν, οὐ λύτρα δοὺς τοῖς αἰχμαλωτεύσασιν, οὐδὲ μὴν δώροις αὐτοὺς πείσας, στρατεύσας δὲ κατ' αὐτῶν καὶ δι' ἀγῶνος αὐτοὺς χειρωσάμενος, ὥστε ἐπὶ τῷ κατορθώματι λαμπρυνάμενον φάναι· «Ἐγὼ νενίκηκα τὸν κόσμον.[5]» Μαρτυρεῖ τούτοις τὰ πλήθη τῶν ἀπὸ τῆς προτέρας πλάνης ἐπὶ τὸ γινώσκειν τὸν ἀληθῆ Θεὸν δι' αὐτοῦ παλινδρομησάντων· ἢ λεγέτωσαν οἱ ἐκ περιτομῆς ἐπί τινα δ' ἂν ἁρμό-

1. Ἡσ. 43, 10. 2. Ἡσ. 45, 12-16. 3. Πρβλ. Παρμ. 8, 8. 4. Ἡσ. 53, 9. 5. Ἰω. 16, 33.

ζοιεν τὰ τῆς μετὰ χεῖρας προφητείας σαφῶς Θεὸν ὁμολογούσης τὸν προφητευόμενον· «Οἱ δὲ γάρ», φησί, «καὶ οἵδε σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι, καὶ προσκυνήσουσί σοι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν, Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ.[1]» Σαφῶς γάρ τοι ἐνταῦθα ᾧ ἐλέγετο τό, ὅτι «ὁ Θεὸς ἐν σοί ἐστι», τούτῳ προσφωνῶν φησιν ὁ λόγος τό, «καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ· σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν·» ἃ καὶ ἐξακούεται ὡς ἂν ἐκ προσώπου λεγόμενα τῶν ἐπεγνωκότων ἐνανθρωπήσαντα τὸν Χριστὸν τοῦ Θεοῦ· ἐν ᾧ ἐτύγχανεν οἰκῶν Θεὸς ὁ Πατήρ, κατὰ τό· «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί·[2]» δι' ὃ καὶ μόνῳ ἂν αὐτῷ ἁρμόσοι τό, «Οὐκ ἔστι Θεὸς πλὴν σοῦ», ὡς ἂν μόνης τῆς τοῦ Λόγου θεότητος ἡνωμένης καὶ ἀνακεκραμένης τῇ πατρικῇ βασιλείᾳ, καὶ διὰ τοῦτο μιᾶς τῆς ἀμφοτέρων ἐπινοουμένης δόξης τε καὶ ἀρχῆς· ἐν δὲ τῷ, «Ἐποπίασεν Αἴγυπτος, καὶ ἐμπορία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται», δηλοῦσθαι νομίζω περὶ νοητῶν τινων ἀντικειμένων δυνάμεων ἀγῶνα πρὸς τὸν Χριστὸν ἀραμένων, καὶ ὑποχειρίων αὐτῷ γεγενημένων, ἢ καὶ ψυχῶν τοιωνδὶ κατ' ἀρχὰς μὲν ἀντιτεινουσῶν τῷ Λόγῳ, ὕστερον δέ ποτε τὴν ὑπ' αὐτὸν δουλείαν ἀναδεδεγμένων ἐπὶ τῇ ἑαυτῶν εὐεργεσίᾳ. Περὶ τούτων γέ τοι λέγεσθαι νομίζω καὶ τό, «Ἔσονταί σοι δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσεύξονται·» τὸ δέ· «Αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, καὶ πορεύσονται ἐν αἰσχύνῃ», προφητεύεται περὶ τῶν μὴ μετανοησάντων, διαμεινάντων δὲ ἐχθρῶν καὶ πολεμίων, καὶ μηδαμῶς ἆραι ἐφ' ἑαυτοὺς τὸν τοῦ λόγου τοῦ Χριστοῦ ζυγὸν βεβουλημένων. Καὶ ταῦτα μὲν ὡς πρὸς τὴν τοῦ Χριστοῦ σαφήνειαν· ἁρμόζοι δ' ἂν παρατιθέναι τὴν περικοπὴν οὐ μόνον τοῖς ἐκ περιτομῆς, ἀλλὰ καὶ τοῖς ψιλὸν ἄνθρωπον ὑπειληφόσι γεγονέναι τὸν Σωτῆρα, Ἐβιωναίοις, ἢ τοῖς κατὰ Ἀρτέμωνα, καὶ τὸν Σαμωσατέα Παῦλον. Σαφῶς γὰρ καὶ διὰ τούτων ἡ θεότης τοῦ Χριστοῦ τοῖς περὶ αὐτοῦ δυσπειθῶς ἔχουσιν ἀποδείκνυται.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

«Ἄκουέ μου, Ἰακώβ, καὶ Ἰσραήλ, ὃν ἐγὼ καλῶ· ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. Καὶ ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν· καλέσω ἐγὼ αὐτοὺς ἅμα καὶ στήσονται καὶ συναχθήσονται, καὶ ἀκούσονται. Τίς αὐτοῖς ἀνήγγειλεν ταῦτα; Κύριος ἀγαπῶν σε ἐποίησε τὸ θέλημά σου ἐπὶ Βαβυλῶνα, τοῦ ἆραι σπέρμα Χαλδαίων. Ἐγὼ ἐλάλησα, καὶ ἐγὼ ἐκάλεσα· ἤγαγον αὐτόν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ· προσαγάγετε πρός με,

1. Ἡσ. 45, 14-15. 2. Ἰω. 14, 11.

καὶ ἀκούσατε ταῦτα· οὐκ ἀπ᾿ ἀρχῆς ἐν κρυφῇ λελάληκα· ἡνίκα ἐγένετο ἐκεῖ ἤμην· καὶ νῦν Κύριος Κύριος ἀπέστειλέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ.[1]» Ἑνὸς ὄντος τοῦ ταῦτα ἐν τῇ περικοπῇ λέγοντος προσώπου, τίς δ᾿ ἂν ἄλλος εἴη «Κύριος ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, καὶ στερεώσας τὴν γῆν», ὁ λέγων· «Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα», καὶ ἐπιφέρων ἐν τοῖς ἑξῆς, κατὰ πάντας τοὺς ἑρμηνεύσαντας τὴν θείαν Γραφήν, τό, «Καὶ νῦν Κύριος ὁ Θεὸς ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ», ἢ ὁ ἱερὸς τοῦ Θεοῦ Λόγος, ὁ μετὰ τὴν ἀγέννητον ἀρχὴν τῶν γενητῶν ἁπάντων πρῶτος Θεὸς ὀνομαζόμενος, περὶ οὗ καὶ ἀλλαχόσε γέγραπται· «Ἀπέστειλε τὸν Λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς;» Αὐτὸς γάρ ἐστιν ὁ «δι᾿ οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα·» ὃν καὶ ἀπέστειλε Κύριος ὁ Θεὸς ὁ Πατήρ, σὺν αὐτῷ δὲ καὶ τὸ ἅγιον Πνεῦμα, οἰκονομήσοντα τὰ ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας. Εἴη δ᾿ ἂν ἁρμόζον ὡς πρὸς Ἰουδαίους τὸ ῥητόν, διδάσκον ἕτερον εἶναι Κύριον τὸν δημιουργήσαντα τὰ πάντα παρὰ τὸν τῶν ὅλων Θεόν, ὑφ᾿ οὗ ἀπεστάλθαι ὁμολογεῖ, λέγων· «Καὶ νῦν Κύριος ἀπέσταλκέ με·» αὐτὸς δ᾿ ἂν εἴη ᾧ προστάττων ἐν τῇ κοσμοποιίᾳ φησὶν ὁ Πατὴρ τό, «Γενηθήτω φῶς, καὶ γενηθήτω τάδε καὶ τάδε·» καὶ τό, «Ποιήσωμεν ἄνθρωπον κατ᾿ εἰκόνα ἡμετέραν·» ταύτην(η) γὰρ καὶ ἐν Ψαλμοῖς ἀναγέγραπται τό, «Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.» Πρόδηλον γάρ, ὡς ὁ ἐντελλόμενός τι καὶ λέγων ἑτέρῳ παρ᾿ ἑαυτὸν ἐντέλλεταί τε καὶ προστάττει. Ἑκάστην μέντοι γε λέξιν τῆς περικοπῆς ἐξετάζειν οὐ τῆς παρούσης ἐστὶν πραγματείας.

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

«Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη. Διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος· ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου· καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν· καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με· καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ δοξασθήσομαι· καὶ ἐγὼ εἶπα· Κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου· διὰ τοῦτο ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ Θεοῦ μου. Καὶ νῦν οὕτως λέγει Κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν τὸν Ἰακὼβ πρὸς αὐτὸν καὶ τὸν Ἰσραήλ· συναχθήσομαι καὶ δοξασθήσομαι ἐναντίον Κυρίου, καὶ ὁ Θεός μου ἔσται μοι ἰσχύς· καὶ εἶπε· Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπιστρέψαι· ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. Οὕτως λέγει Κύριος ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ· Ἁγιά-

1. Ἡσ. 48, 12-16.

σατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων. Βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ ἕνεκεν Κυρίου· ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραήλ, καὶ ἐξελεξάμην σε. Οὕτως λέγει Κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι, καὶ ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν· οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς καύσων, οὐδὲ ὁ ἥλιος· ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει αὐτούς, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς, καὶ θήσω πᾶν ὄρος εἰς ὁδόν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς.[1]» Εἰκὸς τοὺς ἐκ περιτομῆς οἴεσθαι περὶ ἑαυτῶν εἰρῆσθαι τὰ ἐν τῇ προφητείᾳ, ἐπείπερ λέλεκται· «Καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι·» πρὸς δὲ τῷ μὴ ἁρμόζειν αὐτοῖς τὰς λέξεις σαφῶς ἀποδείκνυται καὶ ἀπὸ τῶν ἑξῆς, ὅτι δὴ περὶ ἑτέρου Ἰσραὴλ τὰ λεγόμενα προφητεύεται· γέγραπται γάρ· «Καὶ νῦν οὕτως λέγει Κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ τοῦ συναγαγεῖν τὸν Ἰακὼβ καὶ τὸν Ἰσραὴλ πρὸ αὐτόν· καὶ πάλιν εἶπέ μοι· Μέγα σοί ἐστιν τὸ κληθῆναί σε παῖδά μου, τοῦ στῆσαι τὰς φυλὰς τοῦ Ἰακὼβ καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπιστρέψαι.» Ἀλλὰ καὶ τό· «Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς», παράδοξόν τινα καὶ θαυμαστὸν ὑποφαίνει τὸν περὶ οὗ ὁ λόγος. Τίς δ' ἂν οὗτος εἴη ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ καὶ ἤδη πρότερον ἐν τοῖς ἀνωτέρω Ἰακὼβ χρηματίσας καὶ Ἰσραὴλ διὰ τοῦ· «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου;» Οὗτος γάρ ἐστιν ὁ μόνος κατ' ἀλήθειαν ὁρῶν Θεὸν τὸν Πατέρα, Ἰσραὴλ μὲν ὀνομαζόμενος, ὅπερ ἑρμηνεύεται «ὁρῶν τὸν Θεόν», κατ' ἐπίνοιαν αὐτοῦ τῆς θεότητος· Ἰακὼβ δέ, ὅπερ ἐστὶ «πτερνιστής», καθ' ὃ ἐνανθρωπήσας κατηγωνίσατο πάσας τὰς ἀντικειμένας δυνάμεις. Ὅρα δὲ εἰ μὴ συνᾴδουσιν ἀλλήλαις αἱ περικοπαί, ἥ τε μετὰ χεῖρας, καὶ ἐν ᾗ ἐλέγετο τό, «Ἰακὼβ ὁ παῖς μου» εἰς τὸν Χριστὸν ἀναφερόμενον· ὡς γάρ τοι ἐκεῖ τὸ «Ἰακὼβ ὁ παῖς μου» εἴρηται, οὕτως ἐνθάδε τὸ «μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου·» καὶ ὡς ἐκεῖ τό, «Ἰσραὴλ ὁ ἐκλεκτός μου» λέλεκται, οὕτως ἐνθάδε τό, «ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραήλ, καὶ ἐξελεξάμην σε.» Πάλιν τε αὖ ἐκεῖ μὲν εἴρηται· «Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει·» ἐν δὲ τῇ μετὰ χεῖρας· «Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρο-

1. Ἡσ. 49, 1-11.

νομῆσαι κληρονομίαν ἐρήμου, λέγοντα τοῖς ἐν δεσμοῖς· Ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει· Ἀνακαλύφθητε.» Ὅτι μὲν οὖν οὐδενὶ ἄλλῳ ἢ μόνῳ τῷ Σωτῆρι ἡμῶν ἁρμόζει τὰ ἐν ταῖς προκειμέναις προφητείαις, δῆλον ἔσται τοῖς ἐπιστήσασιν τῷ πλήθει τῶν εἰς αὐτὸν καὶ δι' αὐτοῦ ἐπὶ τὸν τῶν ὅλων Θεὸν ἠλπικότων ἐθνῶν, οἷς ὑπὸ τοῦ Πατρὸς ἐτέθη εἰς φῶς· φησὶν δέ, «τοῦ καταστῆσαι τὴν γῆν», τοῦτ' ἔστι τὴν ἐν θορύβοις καὶ ἀκαταστασίαις πάλαι τυγχάνουσαν ψυχὴν εἰς τὴν κατὰ φύσιν εὐστάθειαν καὶ καταστολὴν ἀγαγεῖν· ἀλλὰ καὶ «τοῦ κληρονομῆσαι κληρονομίαν ἐρήμου», τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν δηλῶν· ἣν πρὸ τῆς αὐτοῦ παρουσίας ἔρημον τυγχάνουσαν, κληρονομίαν εἴληφε παρὰ τοῦ εἰπόντος αὐτῷ· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.[1]» Οὗτος δὲ κατὰ τὴν περὶ αὐτοῦ προφητείαν τοῖς ἐν δεσμοῖς εἴρηκεν ἐξελθεῖν· προχείρως μὲν ὡς ἐπὶ τοῦ Λαζάρου, ὃν κειρίαις καταδεδεμένον καὶ ἐν μνήματι τεταρταῖον τυγχάνοντα, εἰπών· «Λάζαρε, δεῦρο ἔξω [2]», ἐλεύθερον ἀφῆκεν ὑπάγειν· καὶ ἐν μέρει δὲ διανοίαις ἐπὶ τῆς θυγατρὸς Ἀβραάμ, ἣν ἔδησεν ὁ Σατανᾶς δέκα καὶ ὀκτὼ ἔτεσιν, ἣν καὶ αὐτὴν τῆς ἀσθενείας ἀπαλλάξας σῴαν ἀπέλυσε· καθόλου δέ, ὁπηνίκα πᾶσι τοῖς σειραῖς τῶν ἰδίων ἁμαρτιῶν ἐσφιγμένοις ἄφεσιν τῶν προτέρων ἁμαρτημάτων παρέσχετο, οἷα δὴ μόνος (ἔχων) ἐξουσίαν ἀφιέναι ἁμαρτίας· οἷς ἔτι καὶ νῦν διὰ τῆς αὐτοῦ διδασκαλίας παρακελεύεται τῶν προτέρων δεσμῶν ἐξελθεῖν, λέγων ἐφ' ἑκάστῳ τό, «Ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε.[3]» Ἐπὶ τούτοις ἔτι καὶ νῦν τοῖς εἰσέτι ἀγνοίας τε καὶ πονηρίας κατορωρυγμένοις ἀνακαλυφθῆναι προστάττει, ἅτε Λόγος ὑπάρχων Θεοῦ, καρδίας τε ἐτάζων καὶ νεφρούς, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Ἵνα δὲ ὡς ἔνι μάλιστα συντόμως διαδράμωμεν, καὶ τὰ πρὸ τούτων ἐφαρμόζοντες τοῖς περὶ Χριστοῦ λεγομένοις, ἀναλαβόντες ἐξ ὑπαρχῆς καὶ τὴν τούτων ὑπόνοιαν ἡμῶν ἐκθησόμεθα. Ἐν πολλοῖς δὴ σαφῶς τῷ ἐκ περιτομῆς λαῷ προσομιλήσας, ὅτε καὶ ἐξ ὀνόματος ἤτοι τὸν Ἰακὼβ ἤτοι τὸν Ἰσραὴλ ἀνακαλεῖται, ἐπὶ τοῦ παρόντος, οὐ πρὸς ἐκείνους ποιεῖται τὴν προφητείαν, ἀλλὰ γὰρ νήσους καὶ ἔθνη ἐπὶ τὴν ἀκρόασιν τῶν λεχθησομένων παρακαλεῖ· καὶ ἔστι γε ἐνταῦθα ἡ ὑπόσχεσις τοῦ Κυρίου λεγομένη περὶ τῆς κλήσεως τῶν πρότερον ἀπίστων πάντῃ καὶ ἀλλοτρίων τῆς θεοσεβείας ἐθνῶν, ὧν ἐν μέρει νοοῦνται καὶ αἱ λεγόμεναι νῆσοι, ψυχαὶ ὅσαι τὸ πάλαι πρότερόν τινα τρόπον ὑπὸ θαλαττίων τῶν κατὰ τὸν βίον τρικυμιῶν καὶ τῶν κατὰ τῆς κακίας ἁλμυρωτάτων κατεκλύζοντο ῥευμάτων. Τίνα οὖν ταύτας ὁ Κύριος αὐτὸς περὶ ἑαυτοῦ διδάσκει κατανοητέον· «Ἐκ κοιλίας», φησί, «μητρός μου ἐκάλεσε τὸ ὄνομά μου·» ὃ καὶ σαφῶς ἐπὶ τοῦ Χριστοῦ· αὐτοῦ γάρ τοι τυγχάνουσιν οἱ λόγοι, οὓς ἐκ τῆς τοῦ Εὐαγγελίου γραφῆς μεμαθήκαμεν. Ἀγνοοῦντι γὰρ τῷ Ἰωσὴφ περὶ τῆς συλλήψεως

1. Ψαλμ. 2, 8. 2. Ἰω. 11, 43. 3. Ἰω. 5. 14.

τῆς Μαρίας ἐπιστὰς ὁ Γαβριήλ, διάκονος ὢν τοῦ πατρικοῦ βουλήματος, κατ' ὄναρ εἶπε μεθ' ἕτερα καὶ τό· «Τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ·[1]» ἐπιφέρει δ' ἐν τῇ προφητείᾳ λέγων, ὅτι «Καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν·» καὶ πάλιν «Ἔθηκέ με ὡς βέλος ἐκλεκτόν.»—«Ὁ γὰρ Λόγος Θεοῦ τυγχάνει ἐνεργής», ἔστι «καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος[2]», ὡς ὁ θεσπέσιος ἐδίδαξεν Ἀπόστολος. Εὐλογώτατα δ' ἂν αὐτῷ μόνῳ λεχθείη ὑπηκόῳ γενομένῳ τῷ Πατρὶ μέχρι καὶ θανάτου τό· «Δοῦλός μου εἶ σύ, Ἰσραήλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι·» τὸ δέ· «Καὶ ἐγὼ εἶπα· Κενῶς ἐκοπίασα», καὶ τὰ ἑξῆς, λέγοιτ' ἂν ὑπὸ τοῦ Σωτῆρος διὰ τὸ σπάνιον τῶν κατὰ τὸ Εὐαγγέλιον αὐτοῦ βιούντων. Καὶ ἐπειδήπερ «οὐκ ἦλθεν εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», καλῶς προηγουμένως μὲν λέγεται ἐπιδεδημηκέναι, «τοῦ στῆσαι τὰς φυλὰς Ἰακώβ, καὶ τὴν διασπορὰν τοῦ Ἰσραὴλ ἐπιστρέψαι·» ἑπομένως δέ, διὰ τὸ μὴ παραδέξασθαι αὐτὸν τοὺς ἐξ ἐκείνων πάντας, ἐπιφέρεται ὡς πρὸς αὐτόν· «Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.» Προστάττει δὲ ἡμῖν μετὰ ταῦτα Κύριος ὁ Θεὸς καὶ Πατήρ, ὁ ῥυσάμενος αὐτὸν ἀπὸ πάντων τῶν ἐπισυναχθέντων κατ' αὐτοῦ, ἁγιάζειν αὐτόν, λέγων· «Ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ· οὗτος γὰρ ὡς ἀληθῶς ἐφαύλισε τὴν ψυχὴν ἑαυτοῦ, «κενώσας ἑαυτόν, καὶ γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ τὰς ἁμαρτίας τὰς ἡμετέρας ἀναλαβών, αἰσχύνης γε μέχρι θανάτου καὶ θανάτου σταυροῦ καταφρονήσας.[3]» Μετὰ ταῦτά φησι τὸν «βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων·» καὶ δὴ σαφὲς ὅπως οἱ τοῖς ἄρχουσι τοῦ αἰῶνος τούτου δεδουλωμένοι οὐ μόνον κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ ἐβδελύξαντο αὐτὸν εἰπόντες· «Καὶ βαρὺς ἡμῖν ἔστι καὶ βλεπόμενος[4]», ἀλλ' ἔτι καὶ νῦν βδελύσσονται, ἀνατρέπειν αὐτοῦ τὴν διδασκαλίαν πειρώμενοι. Τοῦτον οὖν ὁ Κύριος ἁγιάζειν προστάττει, τὴν ἔνδοξον αὐτοῦ παρουσίαν προσημαίνων. Ὅτι δὲ περὶ τῆς ἐξ ἐθνῶν κλήσεως προθεσπίζων ὁ λόγος τὴν ἑξῆς ἐπιφέρει προφητείαν, τὴν ἀπὸ τοῦ· «Ἔδωκά σε εἰς διαθήκην ἐθνῶν», καὶ τὰ ἑξῆς, ἅπερ ἐπιπλεῖον βασανίζειν πνευματικώτερα ὄντα, καὶ κατὰ μόνην διάνοιαν ἀποδιδόμενα, οὐ τῆς παρούσης πραγματείας τυγχάνει.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

«Οὕτως λέγει Κύριος· Ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ πέπρακα

1. Ματθ. 1, 21. 2. Ἑβρ. 4, 12. 3. Πρβλ. Γαλ. 3, 13. Ἑβρ. 12, 2. Φιλιπ. 2, 8. 4. Σοφ. Σολ. 2, 14.

ὑμᾶς; Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν· διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος ὁ ὑπακούων· μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι; ἢ οὐκ ἰσχύει τοῦ ἐξελέσθαι; Ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει. Ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. Κύριος Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· ἔθηκέ μοι πρωΐ, πρωῒ προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα. Ἐγὼ δὲ οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριος βοηθός μου ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς ἑτέραν (στερεὰν) πέτραν· καὶ ἔγνων, ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει μοι ὁ δικαιώσας με· τίς ὁ κρινόμενός μοι; ἐγγισάτω. Ἰδοὺ Κύριος Κύριος βοηθεῖ μοι· τίς κακώσει με; Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς. Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ· οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ. Ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.[1]» Σαφῶς ἡ τοῦ Λόγου θεότης καὶ διὰ τῶν προκειμένων ἀποδείκνυται, ὅτι τε προϋπῆρχεν τῆς ἐνανθρωπήσεως, καὶ ὡς ἐνανθρωπήσας ταῦτα πάσχειν ἤμελλεν ἃ καὶ ἐν τοῖς Εὐαγγελίοις ἀναγέγραπται. Τίς γὰρ ἂν ἄλλος εἴη ὁ φάσκων· «Μὴ οὐκ ἰσχύει ἡ χείρ μου», καὶ τὰ ἑξῆς ἕως τοῦ· «Ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ», ἢ ὁ τοῦ Θεοῦ Λόγος; Αὐτὸς δὴ οὖν, τὰ τηλικαῦτα εἰπών, ἐπιφέρει λέγων· «Κύριός μοι δίδωσι γλῶσσαν παιδείας τοῦ γνῶμαι ἡνίκα δεῖ εἰπεῖν λόγον·» καὶ αὖθις ἐπάγει [μετὰ] τὰ λοιπὰ φάσκων· «Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου τέθεικα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα», καὶ τὰ μέχρι τοῦ· «Ὅτι ἐγγίζει μοι ὁ δικαιώσας με.» Δυνάμει γάρ τοι πεπονθέναι φαμὲν τὸν Λόγον, συμπάσχοντα δὲ ὃν ἀνείληφεν ἀνθρώπῳ. Οὐκ οἴδαμεν οὖν εἰ ἕξει τις περὶ τῆς προκειμένης προφητείας ἀποδοῦναι λόγον, μὴ προσιέμενος τὸ εἶναί τινα δευτέραν ὑπόστασιν τοῦ Θεοῦ Λόγου μετὰ τὴν πρώτην καὶ ἀγένητον τὸν Πατέρα καὶ Θεὸν τῶν ὅλων· ἡμεῖς γε μὴν ὀρθῶς πεπεισμένοι τοῦτον ὑπάρχειν δηλαδὴ τὸν Θεὸν Λόγον ἡγούμεθα, τὸν καὶ ἐνταῦθα φάσκοντα μετὰ τῶν ἄλλων τό· «Ἐνδύσω τὸν οὐρανὸν σκότος», καὶ ἐπιφέροντα ἐκ προσώπου οὗ ἀνείληφεν

1. Ἡσ. 50, 1-11.

ἀνθρώπου τό· «Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον.» Τίνι δ' ἂν ἄλλῳ παρὰ τὸν ἄνθρωπον τοῦ Σωτῆρος ἡμῶν πρέποι λέγειν καὶ τό· «Τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι.» Ἢ περὶ τίνος λέγοιτ' ἂν τὰ ἀπὸ τοῦ· «Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ», ἢ περὶ μόνου τοῦ Χριστοῦ, τὰ κατὰ τὰς Γραφὰς αἰσχύνης καταφρονήσαντος, κενώσαντός τε ἑαυτὸν καὶ μέχρι μαστίγων ταπεινώσαντος, ὅτε κατὰ τὴν προκειμένην περὶ αὐτοῦ προφητείαν φραγγελλώσας αὐτὸν ὁ Πιλάτος παρέδωκεν σταυρωθῆναι; Τότε δὲ καὶ ῥαπίσματα καὶ ἐμπτυσμοὺς ὑπέμενεν, ὅτε ἐπὶ τοῖς λόγοις αὐτοῦ περιρρηξάμενος ὁ ἀρχιερεύς, ἀπεφήνατο βεβλασφημηκέναι αὐτόν· τότε γὰρ ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφιζον αὐτόν. Οἱ δὲ ἐρράπισαν αὐτὸν λέγοντες· «Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε;» Ἔοικε δὲ τὰ μὲν κατὰ τὴν ἀρχὴν τοῦ κεφαλαίου περὶ τῆς τῶν Ἰουδαίων λέγεσθαι συναγωγῆς· «Ἰδοὺ γάρ», φησί, «ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε· καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν.» Ἦλθε γὰρ «ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ [1]», καὶ οὐχ εὗρέ τινα ἐν αὐτοῖς ἄνθρωπον, ἀλλὰ καὶ πρώτους μὲν αὐτοὺς ἐκάλεσεν· οὐκ ἦν δ' ὁ λαὸς ὑπακούων. Δι' ὅ φησι· «Διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακούων.» Τὰ δ' ἐπὶ τέλει τῆς περικοπῆς ἀκολούθως μετὰ τὴν ἐκείνων ἀποβολὴν ἐπὶ τὴν ἐξ ἐθνῶν ἀναφέρεται κλῆσιν, ἀπὸ τοῦ, «Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ.» Ἡμεῖς γὰρ ἀληθῶς ἦμεν «οἱ πορευόμενοι ἐν σκότει·» καὶ οὐκ ἦν ἡμῖν πρὸ τῆς παρουσίας τοῦ Σωτῆρος ἡμῶν φῶς· ἀλλὰ νῦν διὰ τὴν τοῦ Θεοῦ χάριν πεποίθαμεν ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἐπιστηριζόμεθα ἐπὶ τῷ Θεῷ· τοῖς δὲ μὴ πιστεύσασιν εἰς τὸν Χριστόν, οἷς καὶ ἀνωτέρω εἴρηται τό· «Ἰδοὺ πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς φάγεται ὑμᾶς», ἐπιφέρει ὁ λόγος φάσκων· «Ἰδοὺ πάντες ὑμεῖς ὡς πῦρ καίετε», καὶ τὰ ἑξῆς· ἐν οἷς σαφῶς καὶ τό· «Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν», ἐκ προσώπου λέλεκται τοῦ Χριστοῦ ἐπονειδίζοντος αὐτοῖς καὶ ἀπελέγχοντος τὴν εἰς αὐτὸν γεγενημένην τοῦ Ἰουδαίων λαοῦ παρανομίαν.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

«Τάδε λέγει Κύριος· Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι· διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου· διὰ τοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν, πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων, ὡς πόδες εὐαγγελιζομένου ἀκοὴν εἰρήνης, ὡς εὐαγγελιζόμενος ἀγαθά, ὅτι ἀκουστὴν ποιήσω τὴν σωτηρίαν

1. Ματθ. 15, 24.

σου, λέγων· Σιὼν βασιλεύσει σου ὁ Θεός.[1]» Καὶ αὕτη ἐπὶ τὸν Σωτῆρα εὐλογώτατα ἁρμόζοι ἂν ἡ προφητεία, ἐπὶ τῆς ἐπιδημίας αὐτοῦ πληρωθέντος τοῦ· «Ὅτι ἐγώ εἰμι, αὐτὸς ὁ λαλῶν πάρειμι.» Τῷ μὲν οὖν προτέρῳ λαῷ εἰς πρόσωπον εἴρηται τὰ ἀπὸ τοῦ· «Δι' ὑμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι·» τὰ δ' ἀπὸ τοῦ· «Διὰ τοῦτο γνώσεται ὁ λαός μου τὸ ὄνομά μου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ», νοοῖτο ἂν περὶ τῶν εἰς αὐτὸν πεπιστευκότων ἐθνῶν. Αὐτὸς οὖν ἐστιν ὁ καὶ πρότερον πὴ μὲν δι' ἀγγέλων, πὴ δὲ καὶ διὰ προφητῶν ἀνθρώποις ὁμιλήσας· καὶ μέντοι ἐκείνους αὖθις παραγενόμενος, καὶ δι' ἑαυτοῦ τὴν σωτηρίαν πᾶσι κηρύξας, ὁποῖον ἔχει νοῦν ὁ φιλομαθὴς ἐρευνήσας εἴσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

«Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἔθνη τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ τοῦ Θεοῦ. Ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψησθε· ἐξέλθετε ἐκ μέσου αὐτῆς, καὶ ἀφορίσθητε, οἱ φέροντες τὰ σκεύη Κυρίου· ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ φυγῇ πορεύσεσθε· πορεύσεται γὰρ πρότερος ὑμῶν Κύριος, καὶ ὁ συνάγων ὑμᾶς Θεὸς Ἰσραήλ. Ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ μετεωρισθήσεται σφόδρα· ὃν τρόπον ἐκστήσονται ἐπὶ σοὶ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων. Οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.[2] Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; Ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτοῦ οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον, παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν κακώσει καὶ ἐν πληγῇ. Αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτος οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη, τὴν δὲ γενεὰν

---

1. Ἡσ. 52, 5-7. 2. Ἡσ. 52, 10-15.

αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ, ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.[1] Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον καὶ τέρπου, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.[2]» Καὶ πότ' ἄλλοτε ὡς ἐπὶ τῇ παρουσίᾳ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν βραχίονα τὸν μέγαν, οὐκ ἄλλον ὄντα τοῦ Λόγου αὐτοῦ, ὁ Πατὴρ καὶ Θεὸς τῶν ὅλων ἐνώπιον τῶν ἐθνῶν ἀπεκάλυψεν, ἃ καὶ ἰδόντα τὴν δεδωρημένην αὐτοῖς ὑπὸ τοῦ Θεοῦ σωτηρίαν ἀφίστασθαι τῆς προτέρας προστάττεται πλάνης, καὶ μηκέτι τῶν ἀκαθάρτων, οἷς πρότερον ἐκαλινδεῖτο, αἰσχροῖς καὶ μιαροῖς ἐνειλούμενα πράγμασιν ἐφάπτεσθαι; Καὶ ἐπεὶ οὐ τὸ τυχόν ἐστι τὸ ἀποδιορίζειν ἑαυτοὺς τῆς προτέρας πατροπαραδότου πολιτείας, καὶ τῆς κοινῆς τῶν ἀνθρώπων συναναστροφῆς, τούτου χάριν αὐτὸς ὁ Κύριος συμπορεύσεσθαι καὶ συνάξειν ἐπαγγέλλεται τοὺς φέροντας τὰ σκεύη αὐτοῦ, δῆλον δ' ὅτι τὰ ἱερὰ δόγματα καὶ τοὺς θείους λόγους. Πάλιν δ' ἐπὶ τούτοις ὃν τρόπον ἐν ταῖς ἀνωτέρω προφητείαις διαφόρας (ως) Παῖς ὁ Χριστὸς ὠνομάζετο τοῦ Θεοῦ, ὡσαύτως εἴρηται καὶ ἐνθάδε· συνήσειν δὲ καὶ ὑψωθήσεσθαι, καὶ σφόδρα δοξασθήσεσθαι προφητεύεται τοῦ ἀνθρωπίνου αὐτοῦ ἐπινοουμένου, περὶ οὗ ταῦτα λέγεται· ἀληθῶς δὲ ἐξέστησαν καὶ ἐξηπορήθησαν ἐπ' αὐτῷ πολλοί, ἄνθρωπον ἑαυτοῖς ὅμοιος (ὁμοίως) αὐτὸν ὑπειληφότες· καὶ ἐξέστησάν γε μηδεμίαν ὑπεροχὴν ἢ δόξαν κοσμικὴν περιβεβλημένον αὐτὸν ἑωρακότες, ὅτε, τὴν τοῦ Θεοῦ μορφὴν ἀποθέμενος, ἑαυτόν τε κενώσας καὶ δούλου ἀνειληφὼς μορφήν, ἐξε(σ)τάσεως ἄξια καὶ καταπλήξεως ἀπετέλει παράδοξα, ὡς τοὺς θεωροῦντας αὐτὰ καταπληττομένους λέγειν· «Οὐκ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; οὐχὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰσι παρ' ἡμῖν;[3]» Καὶ εἰς δεῦρο δὲ πλεῖστοι ἐπ' αὐτὸν ἐξίστανται καὶ ἐξαποροῦνται, τὴν διδασκαλίαν αὐτοῦ διαδραμοῦσαν καὶ ἔτι νῦν διατρέχουσαν ἐφ' ὅλην ὁρῶντες τὴν οἰκουμένην, τῶν τε εἰς αὐτὸν πεπιστευκότων τὴν ἀκλινῆ καὶ ἀμετάθετον διάθεσιν κατανοοῦντες. Ταῦτα δὲ θαυμάζοντες οὐ συν-

---

1. Ἡσ. 53, 1-12. 2. Ἡσ. 54, 1. 3. Πρβλ. Ἰω. 6, 42. Ματθ. 13, 55.

ίασι τὴν θείαν δύναμιν καθ' ἣν ἐνήργησέ τε καὶ εἰσέτι νῦν ἐνεργεῖν τὰ τηλικαῦτα δεδύνηται· συνέσχον δὲ ἀληθῶς καὶ συνέστειλαν ἐπ' αὐτὸν βασιλεῖς τὸ στόμα αὐτῶν, εἴτε οἱ συναχθέντες κατὰ τὸ πάθος αὐτοῦ, περὶ ὧν ἐλέχθη τό· «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό [1]», εἴτε καὶ οἱ κατὰ καιροὺς ἄρχοντες τῶν ἐθνῶν· καὶ συνέσχον γε στόμα ἑαυτῶν τῷ πολλάκις μὲν αὐτοὺς ἐπιχειρῆσαι κωλῦσαι τὸν λόγον αὐτοῦ καὶ τὴν διδασκαλίαν, οὐδὲν δὲ ἧττον ὑπερισχύειν αὐτὸν καὶ διαλάμπειν δοξαζόμενον καὶ εἰς ὕψος αἰρόμενον, ὡς φανερὸν ἑαυτὸν καθιστάναι οὐ μόνοις τοῖς τὰς περὶ αὐτοῦ προφητείας ἐκ πατέρων παρειληφόσιν, ἀλλά, τὸ παραδοξότατον, οἷς οὐδεπώποτε ἀνηγγέλη τι περὶ αὐτοῦ, τοῦτ' ἔστιν ἡμῖν τοῖς ἔθνεσιν· οἳ καὶ μηδ' ὅλως παρὰ τῶν προγόνων ἀκηκοότες τι, μηδὲ προμεμαθηκότες περὶ τῆς αὐτοῦ παρουσίας, συνήκαμεν αὐτὸν ἐλθόντα, καὶ τὰς περὶ αὐτοῦ προφητείας κατεδεξάμεθα. Ταῦτα δὲ προϊδὼν ὁ προφήτης ἐν πνεύματι ἀναφωνεῖ ἀποθαυμαστικῶς λέγων τό· «Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν;» Ὅπερ οὐκ ἔστι ταὐτὸν τῷ· Οὐδεὶς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν· σαφῶς γάρ τοι πολλὰ πλήθη τῶν ἐξ ἐθνῶν, καὶ αὐτῶν δή τινες τῶν ἐκ περιτομῆς, πεπιστεύκασι τῇ περὶ τοῦ Χριστοῦ ἀκοῇ· καὶ «ὁ βραχίων δέ», φησί, «Κυρίου», τοῦτ' ἔστιν ὁ προὼν τοῦ Θεοῦ Λόγος, «τίνι ἀπεκαλύφθη;» Αὐτὸς ὁ λόγος ἐν ἀρχῇ τῆς προφητείας διδάσκει λέγων· «Καὶ ἀποκαλύψει Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν.» Ἑξῆς αὐτοῖς λέγεται· «Ἀνηγγείλαμεν ἐνώπιον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα, καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος», καὶ τὰ ἑξῆς, ἃ καὶ αὐτὰ πεπλήρωται, ὅτε κενώσας ἑαυτὸν τῆς τοῦ Θεοῦ μορφῆς, οὐδὲ τὴν ὡς ἐν ἀνθρώποις εὐειδῆ καὶ εὐσχήμονα κατελέξατο προσωποποιίαν, οὐδὲ μὲν δόξῃ τῇ παρ' ἀνθρώποις ἢ κοσμικῆς τινος ὑπεροχῆς περιβολῇ τὸν ἀνθρώπινον διεξῆλθε βίον, μορφὴν δὲ δούλου καὶ διακόνου λαβὼν ἐταπείνωσεν ἑαυτὸν καὶ γέγονεν ὡς ἄνθρωπος, ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ἀπέστραπτο δὲ καὶ ἀποκέκρυπτο τῆς θεότητος αὐτοῦ τὸ ἔνδοξον καὶ θεϊκὸν πρόσωπον· δι' ὃ καὶ ἠτιμάσθη παρὰ τοῖς τὸ ἀνθρώπινον αὐτοῦ μόνον κατανενοηκόσι, παρ' οἷς καὶ οὐκ ἐλογίσθη οὐχ ὅπως εἰς Υἱὸν Θεοῦ, ἀλλ' οὐδ' εἰς τὸν τυχόντα δίκαιον. Φασὶ δ' οἱ τῷ πνεύματι τούτων αὐτῶν συνησθημένοι, ὡσπερεὶ διηγούμενοι καὶ τὴν αἰτίαν τῆς τοιαύτης οἰκονομίας διδάσκοντος(τες) τό· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται·» ἑώρων γάρ, οἷα δὴ προφῆται, τίνα τρόπον γενήσεται ἀμνὸς τοῦ Θεοῦ, «αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.[2]» Ἐπιφέρεται τούτοις· «Ἡμεῖς δὲ ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἀνομίας

1. Ψαλμ. 2, 2. 2. Ἰω. 1, 29.

ἡμῶν·» δυνάμει γὰρ καὶ ἐτραυματίσθη, ὅτε ἦραν λίθους βαλεῖν ἐπ' αὐτόν· καὶ «μεμαλάκισται» δέ, φησί, «διὰ τὰς ἁμαρτίας ἡμῶν.» Μᾶλλον γὰρ Παύλου τοῖς ἀσθενέσι συνασθενήσας Χριστός, εἶπεν ἂν τό· «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;[1]» Ταῦτα δὲ πάντα ὁμολογεῖ ὁ προφήτης δι' αὐτόν τε καὶ τὸν πάντα λαὸν πείσεσθαι τὸν περὶ οὗ ὁ λόγος· «Ἐτραυματίσθη» γάρ, φησί,«διὰ τὰς ἀνομίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν·» συγκαταλέγων τε ἑαυτὸν ἐπιφέρει λέγων· «Τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.» Σαφῶς τε ἐνορῶν τὴν γενομένην ἐπ' αὐτῷ παντὶ τῷ ἐκ περιτομῆς λαῷ πλάνην, καὶ ὅτι μὴ ἔστιν ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, κἂν ὁ πάντων δικαιότατος εἶναι δοκῇ, ἐπιλέγει· «Πάντες ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τὴν ὁδὸν αὐτοῦ ἐπλανήθη· καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν·» καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ἀναμφιλόγως ἐπὶ μόνου τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ πέρας εἰληφότα δείκνυται· ὅθεν καὶ θαυμάζειν ἄξιον τῆς πωρώσεως τοὺς μὴ προσιεμένους αὐτὸν τοῦ προτέρου λαοῦ προφάσει δι' ὧν ἐπεδείξαντο κατ' αὐτοῦ, ἐφ' οἷς ἐπιγελᾶν καὶ διασύρειν αὐτοῖς ἔθος, ὡς μὴ ἄξια πεπονθότα τῆς τοῦ Θεοῦ περὶ αὐτοῦ φροντίδος· σαφῶς πρὸς τοῖς εἰρημένοις ἀναβοῶντος τοῦ προφήτου περὶ αὐτοῦ, ὅτι τὸ «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ·» καὶ ὅτι «αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.» Τίς δ' οὐκ ἂν ἀποθαυμάσειε πᾶσι τοῖς προκατειλεγμένοις ἐπιφερόμενον, ἀκούων πρὸς τοῦ προφήτου λέγοντος τό· «Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον;» ἢ τί δ' ἂν πρὸς ταῦτα εὑρεσιλογήσειεν οἱ τὸ ὄντως (;) ἀκοῇ ἀκούσαντες τῆς τοῦ Χριστοῦ φωνῆς, καὶ μὴ συνέντες, αὐτοῖς τε ὀφθαλμοῖς ἐμβλέψαντες εἰς τὴν παρουσίαν αὐτοῦ, καὶ μὴ ἰδόντες; Τίνα γὰρ ἄλλον ἔχοιεν ἂν τῶν δικαίων παραστῆσαι ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἀχθέντα εἰς θάνατον; Ἢ τίς τοιοῦτος γεγένηται, ὡς τὰς ἁμαρτίας παντὸς τοῦ λαοῦ καὶ αὐτῶν τῶν προφητῶν φέρειν, καὶ ὀδυνᾶσθαι περὶ αὐτῶν, ὥστε τῷ μώλωπι αὐτοῦ ἰᾶσθαι πάντας αὐτοὺς ὁμολογεῖν, φάσκοντας· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν;» Τίς δ' ἀνθρωπίνης λαχὼν φύσεως γένοιτ' ἂν τοιοῦτος, ὥστε μήτε λόγῳ μήτε ἔργῳ ἡμαρτῆσθαί τι αὐτῷ, ὡς ἀληθεύειν λέγουσαν περὶ αὐτοῦ τὴν θείαν Γραφήν, ὅτι «ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ;» Ἐπὶ ποίᾳ δὲ αἰτίᾳ τὸν ἐπὶ τούτοις μαρτυρούμενον ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθήσεσθαι, καὶ ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ τὴν ἐπὶ θανάτῳ κατακριθήσεσθαι ὁ λόγος προαγορεύει; Λεγέτωσαν δὲ καὶ εἰ προσδοκώμενος αὐτοῖς ἥξειν Χριστὸς ταῦτα πάντως πείσεται, ἅπερ αἱ προφητεῖαι περὶ αὐτοῦ θεσπίζουσιν, ἢ οὐδέν τι τοιοῦτον περὶ ἐκεῖνον ἔσται. Ἀλλ' εἰ διὰ τὰ συμβεβηκότα τῷ Σωτῆρι

---

1. Β' Κορ. 11, 29.

ἡμῶν προσκόπτουσι τῇ εἰς αὐτὸν πίστει, οὐκ ἂν φείσαιεν (φήσαιεν) περὶ οὗ προσδοκῶσι τὰ τοιαῦτα. Ὥρα οὖν ἀτελεῖς κατ' αὐτοὺς καὶ δηλαδὴ ψευδεῖς ἀποφαίνεσθαι τὰς θείας φωνάς· ἀλλ' οὐ καθ' ἡμᾶς γε τοὺς οἷς οὐκ ἀνηγγέλη μὲν ἐκ πατέρων· οὐδὲ παρεδόθη τὰ περὶ αὐτοῦ, θεωρήσαντας δ' ὅμως αὐτὸν καὶ παραδεξαμένους κατὰ τὸ ἐν ἄλλοις εἰρημένον· «Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου·» καὶ δι' ὅλης δὲ τῆς προφητείας πλατύτερον καὶ τηλαυγέστερον τὰ κατ' αὐτὸν ἐμφέρεται, καὶ τὰ περὶ τοῦ κατειληφότος δὲ ὀλέθρου τοὺς ἐπιβεβουλευκότας αὐτῷ δηλοῦται διὰ τοῦ· «Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ·» ἐπὶ γὰρ τοιοῦτον ὄντα, φησίν, ἀνεῖλον τούτου χάριν τὰ τοιαδὶ πείσοντα. Τούτοις ἑξῆς αὖθις ἡ ἐξ ἐθνῶν Ἐκκλησία εὐαγγελίζεται συγκρινομένη καὶ προκρινομένη τοῦ προτέρου λαοῦ διὰ τοῦ· «Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.» Πολλῆς δὲ δεομένων ἐρευνήσεως καὶ ἐξετάσεως τῶν κατὰ τὸν τόπον, ᾧ μέλει τῆς τοῦ Σωτῆρος ἐντολῆς λεγούσης· «Ἐρευνᾶτε τὰς Γραφάς, ἐν αἷς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν· καὶ αὗταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ [1]», ἐπιμελέστερον οὗτος ἐρευνήσας τὰ ἐν αὐτοῖς εἴσεται.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

«Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου· εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαυὶδ τὰ πιστά. Ἰδού, μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτόν, ἄρχοντα καὶ προστάσσοντα ἐν ἔθνεσιν· ἰδοὺ ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, καὶ λαοί, οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε.[2]» Τούτοις τὰ λεγόμενα συνιεῖσιν ὑποδεχόμενος ὁ λόγος πνευματικὰς τροφάς, θείαν τε καὶ οὐράνιον τρυφήν, ἔτι τε ζωὴν οὐ τὴν σαρκὸς ἀδιάφορον, ἀλλὰ τὴν ἀΐδιον τῆς ψυχῆς, προσυπισχνεῖται τοῖς αὐτοῖς διαθήκην αἰώνιον διαθήσεσθαι, ἥντινά φησι «τὰ ὅσια Δαυὶδ τὰ πιστὰ» περιέξειν. Τίς ἂν οὖν καὶ αὕτη μετὰ τὴν πρὸς καιρὸν τὴν διὰ Μωϋσέως καινή τις καὶ αἰώνιος Διαθήκη δοθήσεσθαι τούτοις, πρὸς οὓς ὁ λόγος, προφητευομένη; Ἡ καινὴ τῶν ἱερῶν Εὐαγγελίων Γραφή, τὰ ὅσια Δαυὶδ περιέχουσα διὰ τὸν ἐκ σπέρματος αὐτοῦ γενόμενον Ἰησοῦν τὸν Χριστὸν τοῦ Θεοῦ· τοῦτον δὲ καὶ μαρτύριον δεδωκέναι φησὶν ὁ Θεὸς οὐχὶ τῷ Ἰσραήλ, ἀλλὰ τοῖς ἔθνεσιν, ἄρξοντα τούτων καὶ τούτοις προστάξοντα,

---

1. Ἰω. 5, 39. 2. Ἡσ. 55, 2-5.

οὐχὶ δὲ τῷ προτέρῳ τῷ ἐκ περιτομῆς λαῷ. Ταῦτα δὲ τὰ ἔθνη, πρότερον οὐδαμῶς αὐτὸν ἐπιστάμενα, ὅτι ἔγνω αὐτὸν Υἱὸν τοῦ Θεοῦ τυγχάνοντα, Σωτῆρα καὶ Θεὸν ἐπεκαλέσατο αὐτόν· ἀλλὰ καὶ οἱ μηδεπώποτε αὐτὸν ἐπεγνωκότες ἡμεῖς κατεφύγομεν ἐπ' αὐτόν, τῆς προτέρας ἀποφυγόντες πλάνης, καὶ ὑπὸ τὰς ἀντικειμένας ἐνεργείας δουλείας. Ταῦτα δέ, φησὶν ἡ προφητεία, γενήσεσθε ἕνεκεν Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ὅτι ἐδόξασεν αὐτόν· σαφὲς δ' ὅπως ἐδόξασεν αὐτὸν ὁ Πατὴρ κατὰ τὴν ἐνεχθεῖσαν πρὸς αὐτὸν ἐξ οὐρανοῦ φωνήν, τήν· «Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.[1]» Ὅρα δ' εἰ μὴ συγγενῆ τυγχάνει τοῖς ἐνθάδε ῥητοῖς φάσκουσι τό· «Ἔθνη ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἔγνωσάν σε, ἐπὶ σὲ καταφεύξονται», τὰ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ, ἔνθα ἐλέγετο, ὅτι «οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσι.» Τούτοις ὅμοια τυγχάνει καὶ τὰ ἐν ἑπτακαιδεκάτῳ ψαλμῷ ἐκ προσώπου τοῦ Χριστοῦ κατὰ τό· «Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι.[2]» Ἡμεῖς μὲν οὖν ἀληθεῖς πιστεύοντες τὰς προφητείας πεπληρῶσθαι αὐτὰς ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν παρουσίᾳ πεπείσμεθα, συναισθόμενοι ὅπως ἡμεῖς αὐτοί, πλανώμενα ἔθνη τὸ πάλαι τυγχάνοντες, ἐλαυνόμενοί τε ὑπὸ χαλεπῶν δαιμόνων κατὰ πᾶσαν εἰδωλολατρείαν, καὶ μήτε τὸν μόνον ἀληθῆ Θεὸν ἐπιστάμενοι, μήτε προφητικῆς ἐπαΐοντες φωνῆς, διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ διδασκαλίας ἐπὶ τὴν γνῶσιν τοῦ Θεοῦ τῶν ὅλων παρεληλύθαμεν, πεπιστεύκαμέν τε ταῖς θεοπνεύστοις Γραφαῖς, καὶ τὸν προφητευθέντα τοῦ Θεοῦ Λόγον παραδεδέγμεθα, μηδ' ὅλως αὐτὸν τὸ πρὶν ἐπιστάμενοι. Τοσαῦτα δὴ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν εὐεργετηθέντες διδασκαλίας, πῶς οὐκ ἂν δικαίως παραδεχοίμεθά τε καὶ ἐκθειάζοιμεν αὐτόν, ἅτε Υἱὸν Θεοῦ ἡμῶν τε αὐτῶν τυγχάνοντα Σωτῆρα;

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

«Ἴδετε, ὡς ὁ δίκαιος αἴρεται, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ, καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ· ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος, ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ μέσου· ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. Ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν; Οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρμα ἄνομον;[3]» Ὁ Χριστὸς τοῦ Θεοῦ μόνος κατ' ἀλήθειαν παρὰ πάντας τοὺς πώποτε χρηματίσαντας δικαίους τοιοῦτος ἀναδέδεικται· διὸ καὶ κυρίως μόνος ἂν αὐτὸς χρηματίζοι δίκαιος, ὥστε περὶ αὐτοῦ λέγειν τὴν προφητείαν· «Ἴδετε, ὡς ὁ δίκαιος αἴρεται·» ἀπὸ τίνος δὲ αἴρεται, ἐπιφέρει ἐν τῷ· «Ἀπὸ γὰρ προσώπου ἀδικίας

1. Ἰω. 12, 28. 2. Ψαλμ. 17, 44-45. 3. Ἠσ. 57, 1-4.

ἦρται ὁ δίκαιος·» τίς δὲ καὶ ὁ αἴρων αὐτὸν αὐτοῦ ἔστιν ἀκοῦσαι λέγοντος· «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[1]» Εἶτά φησιν· «Ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ.» Ἔνθα σημειωτέον, ὅτι οὐ μόνον τὰ περὶ τοῦ θανάτου, ἀλλὰ καὶ τὰ περὶ τῆς ταφῆς αὐτοῦ ἡ προφητικὴ σημαίνει Γραφή· ὅθεν καὶ ὁ ἱερὸς Ἀπόστολος γράφων Κορινθίοις φησί· «Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, καὶ ὅτι ἐτάφη.[2]» Ποίας δὲ Γραφάς, ἢ τὰς φασκούσας· «Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον, καὶ ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ;» Οὐ μόνος δὲ ὁ προειρημένος ἡμῖν δίκαιος ἦρται ἐκ μέσου ἀδικίας, ἀλλὰ καὶ «ἄνδρες δίκαιοι», φησίν, «αἴρονται», οἳ καὶ αὐτοὶ εἶεν ἂν οἱ ἱεροὶ τοῦ Χριστοῦ ἀπόστολοι, καὶ οἱ θαυμάσιοι αὐτοῦ μάρτυρες, οἱ μετοχῇ τῆς αὐτοῦ δικαιοσύνης δίκαιοι καὶ αὐτοὶ χρηματίζοντες· τούτων δ' ἐπιτελουμένων οὐδείς, φησίν, ἔβλεπε, καὶ οὐδεὶς κατενόει, τῶν παχυνθέντων, δῆλον δ' ὅτι τὴν καρδίαν, καὶ τῶν μυσάντων τοὺς ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, πρὸς οὓς τὰ ἑξῆς τῆς προφητείας λέγεται, τὰ ἀπὸ τοῦ· «Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης.»

ΚΕΦΑΛΑΙΟΝ Λʹ.

«Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα Κυρίου, καὶ οἱ ἀπ' ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον· ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ Κυρίου, ἥξει μετὰ θυμοῦ. Καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ, εἶπε Κύριος. Καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη· Τὸ Πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα, ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου, εἶπε Κύριος, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.[3]» Πάλιν τὰ τῆς κλήσεως τῆς διὰ τοῦ Σωτῆρος ἡμῶν συστάσης ἐξ ἐθνῶν Ἐκκλησίας καὶ διὰ τούτων ὁ λόγος προφητεύει. Τίνες γὰρ ἄλλοι εἶεν οἱ λεγόμενοι «ἀπὸ δυσμῶν», ἢ διὰ τίνος ἐφοβήθησαν τὸ ὄνομα Κυρίου τὰ παντοδαπὰ ἔθνη, τὰ διὰ τῆς Ἰησοῦ διδασκαλίας καταλείψαντα μὲν τὴν προτέραν τοῦ κατὰ τὴν ἄγνοιαν σκότους πλάνην, ἐπὶ δὲ τὸν τῶν ὅλων Θεὸν καταπεφευγότα; Τίς δ' ὁ ἥξειν προφητευόμενος ἐκ Σιών, ῥυσόμενος καὶ ἀποστρέψων τῆς προτέρας ἀσεβείας τὸν Ἰακώβ, ἢ ὁ σῶσαι παραγενόμενος τὰ ἀπολωλότα καὶ ἐν ἀσεβείᾳ γεγονότα πρόβατα οἴκου Ἰσραήλ, οἷς διαθήσεσθαί φησι τὸ ἐν Χριστῷ Πνεῦμα ῥήματα τῆς αἰωνίου ζωῆς, ἃ δέδωκεν ὁ Πατὴρ εἰς τὸ τοῦ Υἱοῦ στόμα· ἃ καί φησι μήτε ἐξ αὐτοῦ, μήτε μὴν ἐκ τοῦ στόματος τοῦ σπέρματος αὐτοῦ δια-

1. Ἰω. 10, 18. 2. Αʹ Κορ. 15, 3-4. 3. Ἡσ. 59, 19-21.

λείψειν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον; Ταῦτα δ' ἂν εἴη τὰ ῥήματα τοῦ Εὐαγγελίου τῆς Καινῆς Διαθήκης, ἅ, καίτοι τοσούτων ἐπιβουλευσάντων τε πάλαι καὶ ἔτι νῦν ἐπιβουλευόντων αὐτοῖς, οὐ διέλειπεν, οὐδὲ μὴν ἐπιλείψει ἐκ τοῦ στόματος τῆς ἐκ τοῦ λογικοῦ καὶ νοητοῦ σπέρματος τοῦ Χριστοῦ συστάσης Ἐκκλησίας· εἶπε γὰρ Κύριος καὶ ἀποπέφανται τοῦ μὴ ἐξαλείψειν αὐτὰ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· διὸ καὶ κατὰ τὸν Ἰωάννην «αἰώνιον Εὐαγγέλιον [1]» ὁρᾶται τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

«Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· Κύριος εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν· παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν.[2]» Ὁ ἐκ τῆς ῥίζης Ἰεσσαὶ προελθὼν Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ, ἐφ' ὃν ἀναπέπαυται τὰ ἑπτὰ τοῦ Θεοῦ πνεύματα, δικαιοσύνην ἀγαπήσας καὶ μισήσας ἀνομίαν, ἐχρίσθη ὑπὸ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ τῷ λεγομένῳ πνευματικῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ· ὃς καὶ λαβών ποτε μετὰ χεῖρας τὸν Ἡσαΐαν καθ' ὃν καὶ ἐνηνθρωπήκει χρόνον, ἀναγνούς τε τὴν προκειμένην περικοπήν, «πτύξας τὸ βιβλίον, φησί, Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη.[3]» Αὐτὸς γὰρ ἦν ὡς ἀληθῶς ὁ ἀπὸ τοῦ Πατρὸς ἀποσταλεὶς εὐαγγελίσασθαι τὴν βασιλείαν τῶν οὐρανῶν τοῖς τῷ πνεύματι πτωχοῖς, πρὸς οὓς καὶ ἔφασκεν· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· [4]» καὶ «ἰᾶσθαι τοὺς τὴν καρδίαν συντετριμμένους», περὶ ὧν εἴρηται· «Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.[5]» Πρὸς τούτοις δὲ καὶ κηρύξαι ἄφεσιν ἁμαρτιῶν ἐλήλυθε τοῖς ὑπὸ τῶν (τοῦ) νοητῶν (τοῦ) Ναβουχοδονόσορ αἰχμαλώτοις ἄφεσιν πάλαι γεγενημένος· διὸ καὶ θαρρῶν ἔλεγε τῷ παραλυτικῷ· «Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι· [6]» ἀλλὰ καὶ τοῖς τῆς διανοίας ὀφθαλμοὺς βεβλαμμένοις, καὶ ὑπὸ τῶν νοητῶν ἀλλοφύλων καὶ Βαβυλωνίων ὁμοίως τῷ Σαμψὼν καὶ τῷ Σεδεκίᾳ ἐκτυφλωθεῖσιν, ἀνάβλεψιν ἐλήλυθε παρέξων· ἐν μέρει δὲ τῶν ὑπ' αὐτοῦ θεραπευομένων ἦσαν καὶ οἱ σωματικοὶ τυφλοί, οὓς ἀναβλέψαι πεποίηκε πιστεύσαντας εἰς αὐτόν, καὶ μετὰ βοῆς εἰρηκότας· «Ἐλέησον ἡμᾶς, υἱὲ Δαυίδ· [7]» οὗτος δέ ἐστιν ὁ καλέσας «τὸν δεκτὸν

---

1. Ἀποκ. 14, 6. 2. Ἡσ. 61, 1-3. 3. Πρβλ. Λουκ. 4, 21. 4. Ματθ. 5, 3. 5. Ψαλμ. 50, 19. 6. Ματθ. 9, 2. 7. Ματθ. 20, 31.

ἐνιαυτὸν τοῦ Κυρίου», ὃν ἐκήρυξεν μετὰ τὴν εἰς τὸ δεσμωτήριον τοῦ Ἰωάννου κάθειρξιν, καὶ ὁ διδάξας τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τὰ περὶ τῆς ἡμετέρας κρίσεως, ἐν ᾗ ἑκάστῳ τῶν πεπραγμένων ἡ κατ' ἀξίαν ἀποδοθήσεται δίκη. Πρὸς τούτοις δ' ἐλήλυθε παρακαλέσαι τοὺς πενθοῦντας τὸ κατὰ Θεὸν ἐπαινετὸν πένθος· οἷς καὶ μακαρισμὸν ἐπήγγελται εἰπών· «Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.[1]» Ἦλθε δὲ ἐπὶ τούτοις καὶ ὑπὲρ τοῦ δοθῆναι «τοῖς πενθοῦσι Σιὼν δόξαν.» Τίνες δ' ἂν εἶεν καὶ οὗτοι, ἢ οἱ τὴν ἑαυτῶν πατρίδα ζητοῦντες, καὶ τῆς ἐπουρανίου πόλεως εἰσαεὶ τὴν μνήμην ἀναζωπυροῦντες; οἷος ἦν ἐκεῖνος, ὃς πάροικον καὶ παρεπίδημον ἐπὶ τῆς γῆς ἑαυτὸν ἐπιστάμενος, καὶ τὸ «Οἴμοι», ἀνοιμώζων, «ὅτι ἡ παροικία μου ἐμακρύνθη·[2]» ἔτι τε οἱ ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος κλαίοντες ἐν τῷ μνησθῆναι αὐτοὺς τῆς Σιών·[3] τούτοις γὰρ οὖν ὁ Χριστὸς τοῦ Θεοῦ πληρῶν, ἣν τοῖς πενθοῦσι ὑπέσχετο παράκλησιν, δόξαν ἀποδώσει ἀπαλλαγεῖσι τοῦ πένθους, καὶ ἀντὶ τῆς σποδοῦ ἧς ἐκονίσαντο κατὰ τὸν ἐνταῦθα βίον πενθήσαντες, ἄλειμμα εὐφροσύνης παρέξει, χρίων καὶ αὐτοὺς ἐλαίῳ ἀγαλλιάσεως, ἵνα γένωνται τῆς αὐτοῦ μέτοχοι χρίσεώς τε καὶ βασιλείας, ὥστε καὶ αὐτοὺς εἰπεῖν· «Μέτοχοι γὰρ τοῦ Χριστοῦ γεγόναμεν.[4]» Ἔτι πρὸς τούτοις δώσειν ὁ Χριστὸς τοῖς πενθοῦσι Σιὼν προφητεύεται «καταστολὴν δόξης, ἀντὶ τοῦ πνεύματος τῆς ἀκηδίας», ἐπὶ (εἰ) τοῖς τοῦ βίου πράγμασιν ἠκηδίασαν, ὥσπερ δυσαρεστούμενοι ταῖς τῶν ἀνθρώπων πράξεσι· καὶ ταύτῃ μάλιστα πενθοῦντες, οὐ μόνον διὰ τὸ πόρρωθεν θεωρεῖν τὰς τοῦ Θεοῦ ἐπαγγελίας, ἀλλὰ καὶ διὰ τὸ συμπαθὲς καὶ φιλάνθρωπον συμπάσχοντες καὶ συναλγοῦντες τοῖς ἀσθενοῦσιν ἑαυτῶν μέλεσι, καὶ μονονουχὶ βοῶντες τῇ τοῦ Ἀποστόλου διαθέσει, τῷ, «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;[5]»

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

